Ταύτην δὴ οὖν τὴν διαίρεσιν μὴ νομίσῃς ἰδίαν εἶναι δυνάμεων ἢ ἐνεργειῶν ἢ οὐσίας, μηδὲ χωρὶς διαλαβὼν ἐφ' ἑνὸς αὐτῶν ἐπισκόπει, κοινῇ δὲ κατὰ πάντων αὐτὴν διατείνας τούτων, τὸ τέλεον ἀποδώσεις τῇ ἀποκρίσει περὶ ὧν ἐπεζήτησας θείων τε καὶ δαιμονίων καὶ ἡρωικῶν καὶ τῶν ἐν ταῖς ψυχαῖς ἰδιωμάτων.

Κατ' ἄλλην δὲ αὖθις ἀφορμὴν τὸ μὲν ἡνωμένον πᾶν, ὅσον ἂν ᾖ καὶ ὁποῖον καὶ τὸ μονίμως ἱδρυμένον ἐν ἑαυτῷ, τό τε τῶν ἀμερίστων οὐσιῶν αἴτιον τὸ ἀκίνητον, οὕτω νοούμενον ὡς αἴτιον εἶναι πάσης κινήσεως, τό τε ὑπερέχον τῶν ὅλων καὶ μηδ' ὁτιοῦν ἔχον κοινὸν πρὸς αὐτά, καὶ δὴ καὶ τὸ ἄμικτον καὶ χωριστὸν ἐν τῷ εἶναί τε καὶ δύνασθαι καὶ ἐνεργεῖν κοινῶς νοούμενον, πάντα δὲ τὰ τοιαῦτα τοῖς θεοῖς ἀνατιθέναι ἄξιον. τὸ δ' εἰς πλῆθος ἤδη διακρινόμενον καὶ δυνάμενον ἑαυτὸ διδόναι ἄλλοις, δεχόμενόν τε ἀφ' ἑτέρων τὸ πέρας ἐν ἑαυτῷ, καὶ ἱκανὸν μὲν ἐν ταῖς διανομαῖς ὂν τῶν μεριστῶν, ὥστε καὶ ταῦτα ἀποπληροῦν, κινήσεως δὲ πρωτουργοῦ καὶ ζωοποιοῦ

1. ταύτῃ B. 2. μὴ δὲ C. 4. ἀποδόσεις D. 7. ὑφορμὴν D. 8. νομίμως O. 9. τὸ alterum] καὶ τὸ ACD. 12. ἄμυκτον D. 13. δὲ] δεῖ O. 18. προτουργοῦ O.

Hanc igitur distinctionem cave putes proprie oriri aut a potentiis aut ab operationibus aut ab essentia: neque seorsim sume et in uno eorum aliquo duntaxat genere considera, sed in communi per omnia eam extende; ita demum perfectam tibi responsionem dabis de proprietatibus deorum geniorum heroum et animarum.

Rursus ut iterum alio modo exordiamur, diis oportet ascribere unitatem omnimodam, deinde permanentem in se stabilitatem, immobilitatem quoque quae quidem indivisibilium essentiarum causa est, ita tamen ut omnis motus causa credatur, ut exeedant cetera omnia nihilque habeant cum iis commune, sed immisti separatique sint communiter loquendo et in essentia et in potentia et operatione: haec omnia et talia diis aequum est ascribere. contra vero in multa divisibilitatem possibilitatemque se aliis communicandi terminosque suos ab aliis mutuandi, deinde plurimum esse in distributionibus et gradibus naturarum divisibilium, easque saepe perficere, porro aliunde motum primum et vivificum recipere, societatem tueri cum omnibus

μέτοχον, κοινωνίαν τε ἔχον πρὸς ὅλα τὰ ὄντα καὶ τὰ γιγνόμενα, σύμμιξίν τε ἀπὸ πάντων παραλαμβάνον, καὶ σύγκρασιν ἀφ' ἑαυτοῦ ἐπὶ πάντα παρεχόμενον, καὶ ταῦτα δι' ὅλων τῶν ἐν ἑαυτῷ δυνάμεών τε καὶ οὐσιῶν καὶ ἐνεργειῶν διατεῖνον τὰ ἰδιώματα, τοῦτο δὴ πᾶν ἔμφυτον ταῖς ψυχαῖς ἀποδῶμεν ἀληθῆ λέγοντες.

Τί οὖν δὴ περὶ τῶν μέσων ἐροῦμεν; ἡγοῦμαι μὲν 6
αὐτὰ εἶναι κατάδηλα πᾶσιν ἀπὸ τῶν προειρημένων· συμπληροῖ γὰρ καὶ ταῦτα τῶν ἄκρων τὴν ἀλληλουχίαν ἀδιαίρετον· οὐ μὴν ἀλλὰ δεῖ καὶ ἐπεξελθεῖν τῷ λόγῳ. τίθεμαι δὴ οὖν τὸ μὲν δαιμόνιον φῦλον ἐν τῷ ἑνὶ πληθυόμενον καὶ συμμιγνύμενον ἀμιγῶς, καὶ τἄλλα πάντα τὰ καταδεέστερα κατὰ τὴν τοῦ βελτίονος ἰδέαν προσειληφός, τὸ δ' αὖ τῶν ἡρώων προστησάμενον μὲν προχειρότερον τὴν διαίρεσιν λέγω καὶ τὸ πλῆθος, τήν τε κίνησιν καὶ τὴν σύμμιξιν καὶ τὰ συγγενῆ τούτοις, ἄνωθεν δ' ἐφεστηκότα καὶ οἷον ἀποκρυπτόμενα εἰς τὸ ἔσω τὰ βελτίονα παραδεχόμενον, ἕνωσίν φημι καὶ καθαρότητα καὶ τὴν μό-

2. γιγνόμενα] sic A, γινόμενα O. ‖ παραλαμβάνοντες B. 8. 9. συμπληροῖ] sic AD. καὶ συμπληροῖ O. 9. ταῦτα] ἐνταῦτα ACD. 11. φίλον ACD. 13. προσειληφός] sic AC, προσειληφώς O. 16. συγγενεῖ D. 17. ἔσω] εἴσω A.

tum ingenitis tum genitis, miscellamque ab omnibus admittere, omnibusque vicissim de se contemperationem largiri, deindeque haec idiomata extendere per omnes in se potestates et essentias et operationes, hoc tamquam animabus proprium et naturale attribuimus, nec sine veritate.

Quid igitur de mediis dicemus? opinor illa satis omnibus esse 6
perspicua ex iis quae attulimus; complent enim extremorum hinc inde indivulsam quam diximus connexionem. nihilominus et haec sermone percurramus. pono igitur daemonum gentem multiplicari, sed unite, et misceri, sed impermiste, et inferiora cetera omnia continere in se sub idea melioris. contra heroicum genus foras et in publicum quidem profitetur divisibilitatem et multiplicitatem, motum quoque et mistionem et cetera quae his sunt affinia, interim tamen recipit desuper dona illa eminentia introrsumque conversa recondit, unitatem dico et puritatem et stabilitatem naturae et identitatem in-

νιμον κατάστασιν, ταυτότητά τε ἀμέριστον καὶ ὑπεροχὴν τῶν ἄλλων, ἅτε γὰρ ἑκατέρου τούτων τῶν γενῶν προσεχοῦς ὄντος ἑκατέρῳ τῶν ἄκρων, τοῦ μὲν τῷ πρωτίστῳ, τοῦ δὲ τῷ ἐσχάτῳ· εἰκότως δὲ κατὰ συνεχεῖς συγγενείας τὸ μὲν ἀρχόμενον ἀπὸ τῶν ἀρίστων πρόεισιν ἐπὶ τὰ ἐλάττονα, τὸ δὲ προβαλλόμενον πρώτως τὴν πρὸς τὰ ἔσχατα συναφὴν ἐπικοινωνεῖ πως καὶ τῶν ὑπερεχόντων· τὴν μέντοι συμπλήρωσιν καὶ ἀπὸ τούτων ἄν τις κατανοήσειε τῶν πρώτων τε καὶ τελευταίων γενῶν, καὶ ταύτην ὁλόκληρον συμφυομένην ὁμοίως μὲν ἐν τῷ ὑπάρχειν ὁμοίως δὲ καὶ ἐν τῷ δύνασθαί τε καὶ ἐνεργεῖν· ὁπότε δὴ οὖν ἐπὶ τῶν δύο τούτων ἐφόδων τελείαν ἀπεπληρώσαμεν τὴν τῶν τεττάρων γενῶν διαίρεσιν, ἐπὶ τῶν ἄλλων συντομίας ἕνεκα, καὶ διότι φανερά πώς ἐστι τό λοιπὸν ἡ τῶν μέσων περίληψις, ἐξαρκεῖν οἰόμεθα μόνα τὰ ἄκρα παραδεικνῦναι ἰδιώματα, τὰ δὲ μέσα ὡς ἂν ὄντα ἀπ' αὐτῶν γνώριμα παραλείψομεν, ὧδέ πως αὐτῶν ποιούμενοι διὰ βραχυτάτων τὸν ἀφορισμόν.

2. ἑκάτερα A. 3. 4. τὸ μὲν et τὸ, δὲ O. 3. προτίστῳ D. 9. γεννῶν D. 13. post συντομίας C add. τοῦ, D add. τούς, sed delet pr man. 17. βραχύτατον C. 18. τὸν] sic Gale not.; om. O.

divisam et super cetera excellentiam; quippe quod utrumque horum generum continuatum sit utrique extremorum, illud primo hoc autem infimo. consentaneum est igitur, ut iuxta has continuas cognationes illud quod ab optimis orditur descendat ad inferiora, hoc autem primo porrigens ad inferiora connexionem etiam de superioribus aliquo modo participet. atque ex his mediis possit quis illorum et extremorum completionem intelligere, eamque integre connatam in essentiis in potentiis et operationibus. quando quidem igitur duabus his rationibus perfectam quattuor istorum generum complexi sumus divisionem, de reliquis et brevitatis gratia et quoniam quodammodo perspicua est reliquorum coniectatio, sola si ostenderimus extremorum idiomata sufficere existimabimus, media vero veluti ex ipsis satis manifesta praetermittemus. sic igitur quam brevissime eorum definitionem concipiemus.

7 Τὸ μέν ἐστιν ἄκρον καὶ ὑπερέχον καὶ ὁλοτελές, τὸ δὲ τελευταῖον καὶ ἀπολειπόμενον καὶ ἀτελέστερον· καὶ τὸ μὲν πάντα δύναται ἅμα ἐν τῷ νῦν μονοειδῶς, τὸ δὲ οὔτε ὅλα οὔτε ἀθρόως οὔτε ἐξαίφνης οὔτε ἀμερίστως. καὶ τὸ μὲν ἀκλινῶς ἀπογεννᾷ πάντα καὶ ἐπιτροπεύει, τὸ δ' ἔχει φύσιν ἐπινεύειν καὶ ἐπιστρέφεσθαι πρὸς τὰ γινόμενά τε καὶ διοικούμενα. καὶ τὸ μὲν ἀρχικὸν καὶ αἴτιον προκατάρχει πάντων, τὸ δ' ἐξ αἰτίας ἠρτημένον, τῆς τῶν θεῶν βουλήσεως, ἐξ ἀιδίου συνυφέστηκε. καὶ τὸ μὲν κατὰ μίαν ὀξεῖαν ἀκμὴν τὰ τέλη τῶν ἐνεργειῶν ὅλων καὶ οὐσιῶν συνείληφε, τὸ δ' ἀπ' ἄλλων εἰς ἄλλα μεταβαίνει, καὶ ἀπὸ τοῦ ἀτελοῦς προχωρεῖ εἰς τὸ τέλειον. ἔτι τῷ μὲν ὑπάρχει τὸ ἀκρότατον καὶ ἀπερίληπτον, κρεῖττόν τε παντὸς μέτρου, καὶ ἀνείδεον οὕτως ὡς ὑπ' οὐδενὸς εἴδους περιωρισμένον, τὸ δὲ καὶ ῥοπῇ καὶ σχέσει καὶ νεύσει κρατεῖται, ὀρέξεσί τε τοῦ χείρονος καὶ οἰκειώσει τῶν δευτέρων κατέχεται, λοιπὸν δὲ καὶ παντοδαποῖς καὶ τοῖς ἀπ' αὐτῶν μέτροις εἰδοποιεῖται· νοῦς τοίνυν ἡγεμὼν καὶ βασιλεὺς

1. ὁλοτελές] sic A, ἀτελές BCD, ἐντελές O. 3. μονοιδῶς B. 7. καὶ ante αἴτιον om. A. ‖ αἴτιον B. 8. πάντα O. 10. „post ὅλων deest forte μετὰ τῶν ἀρχῶν ὅλων" Gale not. 15. δὲ καὶ] δὲ D, τε A.

7 Illud superum est et excellens et prorsus perfectum, hoc ultimum deficiens et imperfectius. illud omnia potest simul in momento uniformiter, hoc neque omnia neque simul neque subito neque indivisibiliter. illud omnia generat absque ulla inflexione ad ea et gubernat, hoc naturaliter inclinat et convertitur ad ea quae generat et administrat. dii tamquam causa principalis omnibus imperitant, animae a deorum voluntate tamquam a causa pendent aeterneque subsistunt. dii una eademque acerrima vigoris acie fines operationum omnium et essentiarum continentur; animae vero ab aliis ad alia transeunt, ab imperfecto progredientes ad perfectum. adhuc diis adest summa vis et incomprehensibilis atque omni commensuratione superior, et eatenus sine forma ut sub nulla forma determinetur, anima vero inclinatione et habitudine et propensione superatur, appetitu in peius familiarique ad inferiora vergit amore, ita demum ut omnifariam ab iis colores et species accipiat. intellectus rerum existentium

τῶν ὄντων, τέχνη τε δημιουργικὴ τοῦ παντὸς τοῖς μὲν θεοῖς ὡσαύτως ἀεὶ πάρεστι τελέως καὶ ἀνενδεῶς, κατὰ μίαν ἐνέργειαν ἑστῶσαν ἐν ἑαυτῇ καθαρῶς, ἡ δὲ ψυχὴ νοῦ τε μετέχει μεριστοῦ καὶ πολυειδοῦς, εἰς τὴν τοῦ ὅλου τε προστασίαν ἀναποβλέποντος, καὶ αὐτὴ τῶν ἀψύχων ἐπιμελεῖται ἄλλοτε ἐν ἄλλοις εἴδεσιν ἐγγιγνομένη.

Ἀπὸ δὴ τῶν αὐτῶν αἰτίων τοῖς μὲν κρείττοσιν αὐτὴ ἡ τάξις αὐτὸ τὸ κάλλος συνυπάρχει, ἢ εἰ οὕτως τις βούλοιτο ὑποτίθεσθαι, ἡ αἰτία τούτων συνυφέστηκεν, τῇ δὲ ψυχῇ νοερᾶς τάξεως καὶ θείου κάλλους μεταλαγχάνειν ἀεὶ σύνεστι· καὶ τοῖς μὲν τὸ μέτρον τῶν ὅλων ἢ τὸ τοῦδε αἴτιον σύνδρομον πάρεστι διὰ παντός, ἡ δὲ τῷ θείῳ πέρατι ἀφορίζεται, καὶ τούτου μετέχει μεριστῶς. καὶ τοῖς μὲν ἐξαρκεῖν ἐφ' ὅλα τὰ ὄντα τῇ τῆς αἰτίας δυνάμει καὶ τῇ ἐπικρατείᾳ εὐλόγως ἂν ἀποδοίη τις, ἡ δ' ἔχει τινὰ πέρατα διειλημμένα μέχρις ὅσων ἐπάρχειν δύναται.

Τοιούτων δὴ ὄντων τῶν διαφόρων ἰδιωμάτων ἐν τοῖς

1. τε om. O. 2. τελέως καὶ ἀνενδεῶς] τελέως καὶ αὐτ (αὖ C, ἂν D) ...... καὶ ἀνενδέως ABCD. 6. ἐγγινομένη AD. 8. ἢ om. A. || οὕτω AC. 11. αἰεὶ D. 14. ἐξαρκεῖν] sic D, ἐξαρχεῖ A, ἐξαρκεῖ C, ἐξαρχεῖν O. 16. ἐπαρχεῖν] sic A, ἐπάρχειν vel ἐπάρχην C, ἐπάρχη D, ἐπάρχῃ O.

dux et rex, universi ratio opifex, diis quidem adest semper eodem modo, perfecte et sine indigentia, secundum unam operationem in se ipsa pure constantem: anima autem mentis particeps est partibilis multiformisque et ad gubernationem universi accommodatae, ipsa etiam inanimata curat, alias aliis figuris affecta.

Ab istis causis superioribus adest diis ordo summus et ipsa pulchritudo, aut si quis sic malit existimare, horum causa utrorumque; animae vero obtigit, ordinis intellectualis divinaeque pulchritudinis esse participem. et diis proprium semper est coniunctumque universi mensura vel eius causa; anima divino fine excidit deque eo aliquatenus participat. diis non immerito tribuas ad omnia sufficientiam propter causalitatis suae vim et potentiam: anima habet quosdam limites praescriptos, ad quos, non ultra, eius ditio extendi possit.

Haec igitur cum sint extremorum idiomata, possit quis facile

ἄκροις, οὐ χαλεπῶς ἄν τις, ὃ δὴ νῦν ἐλέγομεν, καὶ τὰ μέσα αὐτῶν ἰδιώματα τὰ τῶν δαιμόνων τε καὶ ἡρώων ἐννοήσειε, σύνεγγυς ὄντα ἑκατέρῳ τῶν ἄκρων, ἔχοντα ὁμοιότητα πρὸς ἑκάτερον καὶ ἀπ᾽ ἀμφοτέρων ἀφιστάμενα πρὸς τὸ μέσον, σύμμικτόν τε ἀπ᾽ αὐτῶν τὴν ὁμονοητικὴν κοινωνίαν συμπλέκοντα καὶ πρὸς αὐτὴν ἐν μέτροις τοῖς προσήκουσι συμπλεκόμενα. τοιαῦτα δὴ οὖν νοείσθω τῶν πρώτων θείων γενῶν τὰ ἰδιώματα.

Οὐ μέντοι τὴν ὑπὸ σοῦ διάκρισιν ὑποτεινομένην αὐ- 8
τῶν προσιέμεθα, ἥτις τὴν πρὸς τὰ διαφέροντα σώματα κατάταξιν, οἷον θεῶν μὲν πρὸς τὰ αἰθέρια, δαιμόνων δὲ πρὸς τὰ ἀέρια, ψυχῶν δὲ τῶν περὶ γῆν, αἰτίαν εἶναί φησι τῆς νυνὶ ζητουμένης διαστάσεως. ἥτε γὰρ κατάταξις, οἷον τοῦ Σωκράτους εἰς τὴν φυλὴν ὅταν πρυτανεύῃ, ἀναξίως ὑπόκειται τῶν θείων γενῶν, ἅπερ ἀπόλυτα πάντα καὶ ἄφετα καθ᾽ ἑαυτὰ ὑπάρχει. καὶ τὸ κυριώτερα ποιεῖν τὰ σώματα πρὸς τὸ εἰδοποιεῖν τὰ ἑαυτῶν πρῶτα αἴτια,

1. τις] τι B. 3. ἐννοήσειε] sic ACD, ἐννοήσει O. || ἔχοντα] ἔχόν τε A, ἔχον τε B, ἐχόν τε C, ἔχοντε D. 9. ὑπὸ] sic AD, ἀπὸ O. 11. κατὰ τάξιν B. 14. Σωκράτους] „Susceptae personae videtur oblitus; sane Aegyptius sacerdos cur Socratis meminerit nulla ratio est.“ Gale not. 17. πρὸς τὸ] πρός τε A. || ἰδιοποιεῖν B.

quod iam monuimus media eorum nempe geniorum et heroum idiomata animadvertere, utpote quae sint utrique extremo affinia, cum alterutro similitudinem habentia et ab utroque ad medium approximantia, trahuntque societatem amicam ab iis, iterumque ad eam modis congruis retrahuntur. talia igitur primorum generum divinorum esse idiomata par est existimare.

Sed neque admittimus eorum quam allegas distinctionem: ait 8
enim illa praesentis quaesiti discriminis causam latere in habitudine et in ordine quodam ad corpora differentia, quod dii differant per habitudinem ad corpora aetherea, genii ad aërea, animae ad terrena. sed haec ordinatio indigna est divinis generibus, nec minus absurda quam si quis Socratem tribui subiiciat cum magistratum gerit, nam divina genera libera sunt ex natura sua et immunia. deinde nimis magna inscitia est corporibus tribuere, ut possint prima principia in

καὶ τοῦτο δὴ οὖν εἰς τὴν θήραν τῆς νυνὶ ζητουμένης ἰδιότητος ὑπεναντίως ἔχει.

Τὸ δ' ὅλον, πότερον ἓν γένος ἡγούμενος θεῶν, καὶ δαιμόνων ἕν, καὶ ἡρώων ὡσαύτως, καὶ ψυχῶν τῶν καθ' αὑτὰς ἀσωμάτων, ἀπαιτεῖς αὐτῶν τὴν κατὰ τὰ ἰδιώματα διάκρισιν, ἢ πολλὰ ἕκαστα τιθέμενος. εἰ μὲν γὰρ ἓν ἕκαστον ὑπολαμβάνεις, συγχεῖται πᾶσα τῆς ἐπιστημονικῆς θεολογίας ἡ διάταξις, εἰ δ' ὥσπερ ἐστὶν ἐμπλησθῆναι, τοῖς γένεσιν ἀφώρισται, καὶ οὐκ ἔστιν ἐπ' αὐτοῖς εἷς οὐσιώδης κοινὸς λόγος, ἀλλὰ τὰ πρότερον αὐτῶν ἀπὸ τῶν καταδεεστέρων ἐξῄρηται, οὔτε οἷόν τε κοινὰ αὐτῶν ἐξευρεῖν πέρατα· ἐάν τε καὶ ᾖ δυνατόν, αὐτὸ δὲ τοῦτο τὰ ἰδιώματα αὐτῶν ἀναιρεῖ· ταύτῃ μὲν οὖν οὐκ ἄν τις εὕροι τὸ ἐπιζητούμενον· τὴν δὲ ἀνὰ τὸν αὐτὸν λόγον ταυτότητα ἐπὶ τῶν ἀναφερόντων λογιζόμενος, οἷον ἐπὶ τῶν πολλῶν ἐν τοῖς θεοῖς γενῶν, καὶ αὖθις ἐπὶ τῶν ἐν τοῖς δαίμοσι καὶ ἥρωσι, καὶ τὸ τελευταῖον ἐπὶ τῶν ψυχῶν, δύναιτο ἄν τις αὐτῶν ἀφορίζεσθαι τὴν ἰδιότητα.

3. *ἡγούμενοι* B. 7. *ὑπολαμβάνῃς* D. 8. *ἐστὶν*] sic ACD, om. O. ‖ *ἐμπληθῆναι*, et in margine *ὅπερ ἐστιν ἀληθὲς* B, *ἐμπλαθῆναι* (corr. *ἐμπλησθῆναι*) D. 9. *ἀφόρισται* O. 15. *ἀναφερόντων*] *ἀνωτέρων* O. ‖ *ἀναλογιζόμενος* ACD Fesch. Reg.

et hoc ad venandas proprietates a te quaesitas contrario ac credebas modo accidit.

Summa est, utrum deorum unum esse genus concedens et geniorum unum et heroum similiter et animarum corporibus adhuc expertium, an tamquam multa haec reputans singula, eorum ita quaeras differentiam per idiomata. nam si haec omnia tamquam unum habeas, totus theologiae scientialis ordo confunditur. si vero ut reputandum est generibus discernuntur, neque communi essentiae ratione conveniunt, sed eorum priora disterminantur ab inferioribus, sane non est possibile communes eorum reperire terminos; vel si possibile sit, hoc ipsum proprietates eorum necesse est ut tollat. quare nec hac via possit quis quod quaeritur invenire. si quis autem inter superiora analogicam identitatem observet, scilicet inter varia deorum itemque daemonum et heroum genera, et denique inter animas similiter, possit inquam hoc pacto proprietates singulorum distinguere.

Τίς μὲν οὖν ὀρθότης ἦν τῆς παρούσης ἐρωτήσεως καὶ διορισμὸς αὐτῆς, πῶς ἀδύνατος καὶ πῶς δυνατὴ γενέσθαι, διὰ τοῦτο ἡμῖν παραδεδείχθω· ἴωμεν δ' ἐφεξῆς ἐπὶ τὴν ἀπόκρισιν ὧν ἐπεζήτησας. ἔστι δὴ οὖν τἀγαθὸν τότε ἐπέκεινα τῆς οὐσίας καὶ τὸ κατ' οὐσίαν ὑπάρχον· ἐκείνην λέγω τὴν οὐσίαν τὴν πρεσβυτάτην καὶ τιμιωτάτην καὶ καθ' αὑτὴν οὖσαν ἀσώματον, θεῶν ἰδίωμα ἐξαίρετον καὶ κατὰ πάντα τὰ γένη τὰ περὶ αὐτοὺς ὄντα, τηροῦν μὲν οὖν αὐτῶν τὴν οἰκείαν διανομὴν καὶ τάξιν καὶ οὐκ ἀποσπώμενον ταύτης, τὸ αὐτὸ δ' ὅμως ἐν ὅλοις ὡσαύτως ὑπάρχον.

Ψυχαῖς δὲ ταῖς ἀρχούσαις τῶν σωμάτων καὶ προηγουμέναις αὐτῶν τῆς ἐπιμελείας καὶ πρὸ τῆς γενέσεως τεταγμέναις ἀιδίοις καθ' ἑαυτὰς οὐσία μὲν τοῦ ἀγαθοῦ οὐκ ἔτι πάρεστιν, οὐδ' αἰτία τοῦ ἀγαθοῦ προτέρα οὖσα καὶ τῆς οὐσίας, ἐποχὴ δέ τις ἀπ' αὐτοῦ καὶ ἕξις παραγίνεται· οἵα θεωροῦμεν τὴν τοῦ κάλλους καὶ τῆς ἀρετῆς μετουσίαν πολὺ διάφορον οὖσαν ἢ οἵαν νοοῦμεν ἐπὶ τῶν

2. 3. γίνεσθαι A. 4. ἐπέτησας B. 5. καὶ om. B. 5. 6. ὑπάρχων C. 9. οὖν om. AC. 10. ἀποσπόμενον D. 12. τῶν om. O. 13. πρὸ] πρὸς D. 14. αὐτὰς A. ‖ τοῦ om. O. 16. ἀποχὴ (corr. pr. m. ἐποχὴ) D, μετοχὴ Taylor. ‖ ἀπ'] ἐπ' A. 17. οἷαν AD. 18. ἢ] εἰς AC.

Quid igitur recte se habuit in hac quaestione et quaenam erat eius iusta determinatio, quatenus possibilis et quatenus impossibilis factu, hoc modo a nobis demonstratum sit; veniamus deinceps ad solutionem eorum quae quaesivisti. est bonum transcendens essentiam, et est bonum secundum essentiam; essentiam dico antiquissimam illam et nobilissimam et per se incorpoream, deorum illud idioma eximium, quod per omnia deorum genera servat iis debitam distributionem et ordinem, et ab hac deorum essentia non divellitur, et idem simul in omnibus eodem modo existit.

Animabus vero, sive iam corpora gubernent sive eorum curam meditentur sive ante generationem suapte natura aeternae sint, essentiale bonum non adest neque causa boni quae prior est essentia, sed quaedam eis portio et acquisitio a bono advenit: quemadmodum videmus pulchritudinis et virtutis possessionem longe aliam esse ab

ἀνθρώπων· αὕτη μὲν γὰρ ἀμφίβολός τις καὶ ὥσπερ ἐπίκτητος ἐν τοῖς συνθέτοις παραγίνεται, ἡ δὲ ἀμετάστατος ἐνίδρυται ταῖς ψυχαῖς καὶ ἀνέκλειπτος, οὔτε αὐτή ποτε ἐξισταμένη ἀφ' ἑαυτῆς, οὐθ' ὑπ' ἄλλων τινῶν ἀφαιρουμένη.

Ἀρχῆς δὴ οὖν καὶ τελευτῆς τοιαύτης οὔσης ἐν τοῖς θείοις γένεσι, δύο τῶν ἄκρων ὅρων τούτων μεταξὺ νόει μεσότητα, ὑψηλοτέραν μὲν τῆς τῶν ψυχῶν τάξεως, τὴν τῶν ἡρώων ἐπιτεταγμένην, δυνάμει καὶ ἀρετῇ, κάλλει τε καὶ μεγέθει, καὶ πᾶσι τοῖς περὶ τὰς ψυχὰς ἀγαθοῖς οὖσι παντελῶς αὐτὴν ὑπερέχουσαν, προσεχῆ δ' ὁμῶς αὐταῖς συναπτομένην διὰ τὴν τῆς ζωῆς ὁμοειδῆ συγγένειαν· τῆς δὲ τῶν θεῶν ἐξηρτημένην τὴν τῶν δαιμόνων, μακρῷ δή τινι καταδεεστέραν αὐτῆς, συνακολουθοῦσαν, ἅτε δὴ οὐ πρωτουργὸν οὖσαν, ὑπηρετικὴν δέ τινα τῆς ἀγαθῆς βουλήσεως τῶν θεῶν συνεπομένην, ἐκφαίνουσαν εἰς ἔργον τὸ ἀφανὲς αὐτῶν ἀγαθόν, ἀπεικαζομένην τε πρὸς αὐτό, καὶ τὰ δημιουργήματα ἐπιτελοῦσαν πρὸς τὸ αὐτὸ ἀφομοιοῦ-

2. ἀμετάστασις B. 7. ἄκρω A. 8. μεσότητα] sic AC, μεσότητος B, μεσότητος (corr. pr. m. μεσότητας) D. μεσότητας O. 10. οὖσι] ὦσι O. 12. ὁμοειδῆ] sic ACD et Gale not., ὁμοειδοῦς O. 15. προτουργὸν O. 16. καὶ ἐκφαίνουσαν AC.

ea quam in hominibus observare possumus. haec enim quasi ambiguum quid et adventitium compositis adest, illa vero in animabus sedet immobilis et indefectibilis, neque unquam aut ipsa a se ipsa recedit, neque aliud quid est quod eam possit avellere.

Cum igitur principium et finis in generibus divinis sic se habeant, inter hos duos extremos terminos cogita medium quoddam, nempe heroum ordinem, animarum ordine excelsiorem; superioremque potestate virtute pulchritudine et magnitudine, omnibusque ad animas bonis pertinentibus longe ditiorem, proxime animabus coniunctum propter vitae quae est in utrisque similitudinem et affinitatem. ex altera parte cogita geniorum ordinem pendentem quidem a diis ipsis, longe tamen infra eos subsistentem, eos proxime sequentem, non quidem auctorem et principem, sed ministrum bonae voluntati divinae facile obsequentem; idem illud medium in opus producit eorum inconspicuam bonitatem, quam etiam imitatur, opera

μενα, τό τε γὰρ ἄρρητον αὐτοῦ ῥητὸν καὶ τὸ ἀνείδεον ἐν εἴδεσι διαλάμπουσαν, καὶ τὸ ὑπὲρ πάντα λόγον αὐτοῦ εἰς λόγους φανεροὺς προσάγουσαν, καὶ δεχομένην μὲν ἤδη τῶν καλλῶν τὴν μετουσίαν συμπεφυκυῖαν, παρέχουσαν δ' αὐτὴν ἀφθόνως τοῖς μεθ' ἑαυτὴν γένεσι καὶ διαπορθμεύουσαν.

Ταῦτα δὲ οὖν τὰ γένη μέσα συμπληροῦνται τὸν κοινὸν σύνδεσμον θεῶν τε καὶ ψυχῶν, καὶ ἀδιάλυτον αὐτῶν τὴν συμπλοκὴν ἀπεργάζεται, μίαν τε συνέχειαν ἄνωθεν μέχρι τοῦ τέλους συνδεῖ, καὶ ποιεῖ τῶν ὅλων τὴν κοινωνίαν εἶναι ἀδιαίρετον, κρᾶσιν τε ἀρίστην καὶ σύμμιξιν τοῖς ὅλοις ἔχειν σύμμετρον, πρόοδόν τε ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ ἐλάττονα καὶ ἀναγωγὴν ἀπὸ τῶν ὑποδεεστέρων ἐπὶ τὰ πρότερα, ἀναβιβάζει πως ἐξ ἴσου τάξιν τε καὶ μέτρα τῆς κατιούσης μεταδόσεως ἀπὸ τῶν ἀμεινόνων, καὶ τῆς ἐγγιγνομένης ὑποδοχῆς ἐν τοῖς ἀτελεστέροις, ἐντίθησι καὶ ποιεῖ πάντα πᾶσι προσήγορα καὶ συναρμόζοντα, ἄνωθεν τὰς τούτων ὅλων αἰτίας ἀπὸ τῶν θεῶν παραδεχόμενα.

1. αὐτοῦ ῥητόν om. C. 3. φανερὰν B. 7. τὸν] τὸ A. 8. καὶ ante ἀδιάλυτον om. C. 11. ἀδιαίρητον O. 12. σύμπηξιν B. || ἔχει AD. 14. δεεστέρων A. || διαβιβάζει A.

que sua praestat quam potest ei conformia. quod est in bono divino inenarrabile enarrat, quodque adhuc formis non vestitur facit in formis comparere, quicquid in eo rationem omnem superat in apertas rationes profert; excipit bonorum portionem sibi connaturalem, communicatque illam sine invidia et quasi traiicit ad genera quae se sequuntur.

Haec igitur duo media genera deos et animas communi vinculo nectunt, indissolubilem inter eos complicationem efficiunt, unaque connexione prima ultimis colligant, universorumque communionem indivulsam procurant, temperiem optimam et miscellam iustam per omnia operantur, semitamque a melioribus ad deteriora sternunt iterumque ascensum a posterioribus ad priora, aequo quodam modo ordinem et mensuras statuunt, quibus tum descendet a melioribus communicatio, tum modum iuxta quem naturaliter imperfectiora eam recipient, omnia prorsus omnibus conciliant et uniunt, causas omnium a diis desuper accipientia.

Ταύτην δὴ οὖν τὴν διαίρεσιν μὴ νομίσῃς ἰδίαν εἶναι δυνάμεων ἢ ἐνεργειῶν ἢ οὐσίας, μηδὲ χωρὶς διαλαβὼν ἐφ' ἑνὸς αὐτῶν ἐπισκόπει, κοινῇ δὲ κατὰ πάντων αὐτὴν διατείνας τούτων, τὸ τέλεον ἀποδώσεις τῇ ἀποκρίσει περὶ ὧν ἐπεζήτησας θείων τε καὶ δαιμονίων καὶ ἡρωικῶν καὶ τῶν ἐν ταῖς ψυχαῖς ἰδιωμάτων.

Κατ' ἄλλην δὲ αὖθις ἀφορμὴν τὸ μὲν ἡνωμένον πᾶν, ὅσον ἂν ᾖ καὶ ὁποῖον καὶ τὸ μονίμως ἱδρυμένον ἐν ἑαυτῷ, τό τε τῶν ἀμεριστῶν οὐσιῶν αἴτιον τὸ ἀκίνητον, οὕτω νοούμενον ὡς αἴτιον εἶναι πάσης κινήσεως, τό τε ὑπερέχον τῶν ὅλων καὶ μηδ' ὁτιοῦν ἔχον κοινὸν πρὸς αὐτά, καὶ δὴ καὶ τὸ ἄμικτον καὶ χωριστὸν ἐν τῷ εἶναί τε καὶ δύνασθαι καὶ ἐνεργεῖν κοινῶς νοούμενον, πάντα δὲ τὰ τοιαῦτα τοῖς θεοῖς ἀνατιθέναι ἄξιον. τὸ δ' εἰς πλῆθος ἤδη διακρινόμενον καὶ δυνάμενον ἑαυτὸ διδόναι ἄλλοις, δεχόμενόν τε ἀφ' ἑτέρων τὸ πέρας ἐν ἑαυτῷ, καὶ ἱκανὸν μὲν ἐν ταῖς διανομαῖς ὂν τῶν μεριστῶν, ὥστε καὶ ταῦτα ἀποπληροῦν, κινήσεως δὲ πρωτουργοῦ καὶ ζωοποιοῦ

1. ταύτῃ B. 2. μὴ δὲ C. 4. ἀποδόσεις D. 7. ὑφορμὴν D. 8. νομίμως O. 9. τὸ alterum] καὶ τὸ ACD. 12. ἄμυκτον D. 13. δὲ] δεῖ O. 18. προτουργοῦ O.

Hanc igitur distinctionem cave putes proprie oriri aut a potentiis aut ab operationibus aut ab essentia: neque seorsim sume et in uno eorum aliquo duntaxat genere considera, sed in communi per omnia eam extende; ita demum perfectam tibi responsionem dabis de proprietatibus deorum geniorum heroum et animarum.

Rursus ut iterum alio modo exordiamur, diis oportet ascribere unitatem omnimodam, deinde permanentem in se stabilitatem, immobilitatem quoque quae quidem indivisibilium essentiarum causa est, ita tamen ut omnis motus causa credatur, ut exeedant cetera omnia nihilque habeant cum iis commune, sed immisti separatique sint communiter loquendo et in essentia et in potentia et operatione: haec omnia et talia diis aequum est ascribere. contra vero in multa divisibilitatem possibilitatemque se aliis communicandi terminosque suos ab aliis mutuandi, deinde plurimum esse in distributionibus et gradibus naturarum divisibilium, easque saepe perficere, porro aliunde motum primum et vivificum recipere, societatem tueri cum omnibus

μέτοχον, κοινωνίαν τε ἔχον πρὸς ὅλα τὰ ὄντα καὶ τὰ γιγνόμενα, σύμμιξίν τε ἀπὸ πάντων παραλαμβάνον, καὶ σύγκρασιν ἀφ' ἑαυτοῦ ἐπὶ πάντα παρεχόμενον, καὶ ταῦτα δι' ὅλων τῶν ἐν ἑαυτῷ δυνάμεών τε καὶ οὐσιῶν καὶ ἐνεργειῶν διατεῖνον τὰ ἰδιώματα, τοῦτο δὴ πᾶν ἔμφυτον ταῖς ψυχαῖς ἀποδῶμεν ἀληθῆ λέγοντες.

Τί οὖν δὴ περὶ τῶν μέσων ἐροῦμεν; ἡγοῦμαι μὲν 6
αὐτὰ εἶναι κατάδηλα πᾶσιν ἀπὸ τῶν προειρημένων· συμπληροῖ γὰρ καὶ ταῦτα τῶν ἄκρων τὴν ἀλληλουχίαν ἀδιαίρετον· οὐ μὴν ἀλλὰ δεῖ καὶ ἐπεξελθεῖν τῷ λόγῳ. τίθεμαι δὴ οὖν τὸ μὲν δαιμόνιον φῦλον ἐν τῷ ἑνὶ πληθυόμενον καὶ συμμιγνύμενον ἀμιγῶς, καὶ τἄλλα πάντα τὰ καταδεέστερα κατὰ τὴν τοῦ βελτίονος ἰδέαν προσειληφός, τὸ δ' αὖ τῶν ἡρώων προστησάμενον μὲν προχειρότερον τὴν διαίρεσιν λέγω καὶ τὸ πλῆθος, τήν τε κίνησιν καὶ τὴν σύμμιξιν καὶ τὰ συγγενῆ τούτοις, ἄνωθεν δ' ἐφεστηκότα καὶ οἷον ἀποκρυπτόμενα εἰς τὸ ἔσω τὰ βελτίονα παραδεχόμενον, ἕνωσίν φημι καὶ καθαρότητα καὶ τὴν μό-

2. γιγνόμενα] sic A, γινόμενα O. || παραλαμβάνοντες B. 8. 9. συμπληροῖ] sic AD. καὶ συμπληροῖ O. 9. ταῦτα] ἐνταῦτα ACD. 11. φίλον ACD. 13. προσειληφός] sic AC, προσειληφώς O. 16. συγγενεῖ D. 17. ἔσω] εἴσω A.

tum ingenitis tum genitis, miscellamque ab omnibus admittere, omnibusque vicissim de se contemperationem largiri, deindeque haec idiomata extendere per omnes in se potestates et essentias et operationes, hoc tamquam animabus proprium et naturale attribuimus, nec sine veritate.

Quid igitur de mediis dicemus? opinor illa satis omnibus esse 6
perspicua ex iis quae attulimus; complent enim extremorum hinc inde indivulsam quam diximus connexionem. nihilominus et haec sermone percurramus. pono igitur daemonum gentem multiplicari, sed unite, et misceri, sed impermiste, et inferiora cetera omnia continere in se sub idea melioris. contra heroicum genus foras et in publicum quidem profitetur divisibilitatem et multiplicitatem, motum quoque et mistionem et cetera quae his sunt affinia, interim tamen recipit desuper dona illa eminentia introrsumque conversa recondit, unitatem dico et puritatem et stabilitatem naturae et identitatem in-

νιμον κατάστασιν, ταυτότητά τε ἀμέριστον καὶ ὑπεροχὴν τῶν ἄλλων, ἅτε γὰρ ἑκατέρου τούτων τῶν γενῶν προσεχοῦς ὄντος ἑκατέρῳ τῶν ἄκρων, τοῦ μὲν τῷ πρωτίστῳ, τοῦ δὲ τῷ ἐσχάτῳ· εἰκότως δὲ κατὰ συνεχεῖς συγγενείας τὸ μὲν ἀρχόμενον ἀπὸ τῶν ἀρίστων πρόεισιν ἐπὶ τὰ ἐλάττονα, τὸ δὲ προβαλλόμενον πρώτως τὴν πρὸς τὰ ἔσχατα συναφὴν ἐπικοινωνεῖ πως καὶ τῶν ὑπερεχόντων· τὴν μέντοι συμπλήρωσιν καὶ ἀπὸ τούτων ἄν τις κατανοήσειε τῶν πρώτων τε καὶ τελευταίων γενῶν, καὶ ταύτην ὁλόκληρον συμφυομένην ὁμοίως μὲν ἐν τῷ ὑπάρχειν ὁμοίως δὲ καὶ ἐν τῷ δύνασθαί τε καὶ ἐνεργεῖν· ὁπότε δὴ οὖν ἐπὶ τῶν δύο τούτων ἐφόδων τελείαν ἀπεπληρώσαμεν τὴν τῶν τεττάρων γενῶν διαίρεσιν, ἐπὶ τῶν ἄλλων συντομίας ἕνεκα, καὶ διότι φανερά πώς ἐστι τό λοιπὸν ἡ τῶν μέσων περίληψις, ἐξαρκεῖν οἰόμεθα μόνα τὰ ἄκρα παραδεικνῦναι ἰδιώματα, τὰ δὲ μέσα ὡς ἂν ὄντα ἀπ᾽ αὐτῶν γνώριμα παραλείψομεν, ὧδέ πως αὐτῶν ποιούμενοι διὰ βραχυτάτων τὸν ἀφορισμόν.

2. ἑκάτερα A. 3. 4. τὸ μὲν et τὸ δὲ O. 3. προτίστῳ D. 9. γεννῶν D. 13. post συντομίας C add. τοῦ, D add. τοὺς, sed delet pr man. 17. βραχύτατον C. 18. τὸν] sic Gale not.; om. O.

divisam et super cetera excellentiam; quippe quod utrumque horum generum continuatum sit utrique extremorum, illud primo hoc autem infimo. consentaneum est igitur, ut iuxta has continuas cognationes illud quod ab optimis orditur descendat ad inferiora, hoc autem primo porrigens ad inferiora connexionem etiam de superioribus aliquo modo participet. atque ex his mediis possit quis illorum et extremorum completionem intelligere, eamque integre connatam in essentiis in potentiis et operationibus. quando quidem igitur duabus his rationibus perfectam quattuor istorum generum complexi sumus divisionem, de reliquis et brevitatis gratia et quoniam quodammodo perspicua est reliquorum coniectatio, sola si ostenderimus extremorum idiomata sufficere existimabimus, media vero veluti ex ipsis satis manifesta praetermittemus. sic igitur quam brevissime eorum definitionem concipiamus.

Τὸ μὲν ἐστιν ἄκρον καὶ ὑπερέχον καὶ ὁλοτελές, τὸ δὲ τελευταῖον καὶ ἀπολειπόμενον καὶ ἀτελέστερον· καὶ τὸ μὲν πάντα δύναται ἅμα ἐν τῷ νῦν μονοειδῶς, τὸ δὲ οὔτε ὅλα οὔτε ἀθρόως οὔτε ἐξαίφνης οὔτε ἀμερίστως. καὶ τὸ μὲν ἀκλινῶς ἀπογεννᾷ πάντα καὶ ἐπιτροπεύει, τὸ δ' ἔχει φύσιν ἐπινεύειν καὶ ἐπιστρέφεσθαι πρὸς τὰ γινόμενά τε καὶ διοικούμενα. καὶ τὸ μὲν ἀρχικὸν καὶ αἴτιον προκατάρχει πάντων, τὸ δ' ἐξ αἰτίας ἠρτημένον, τῆς τῶν θεῶν βουλήσεως, ἐξ ἀιδίου συνυφέστηκε. καὶ τὸ μὲν κατὰ μίαν ὀξεῖαν ἀκμὴν τὰ τέλη τῶν ἐνεργειῶν ὅλων καὶ οὐσιῶν συνείληφε, τὸ δ' ἀπ' ἄλλων εἰς ἄλλα μεταβαίνει, καὶ ἀπὸ τοῦ ἀτελοῦς προχωρεῖ εἰς τὸ τέλειον. ἔτι τῷ μὲν ὑπάρχει τὸ ἀκρότατον καὶ ἀπερίληπτον, κρεῖττόν τε παντὸς μέτρου, καὶ ἀνείδεον οὕτως ὡς ὑπ' οὐδενὸς εἴδους περιωρισμένον, τὸ δὲ καὶ ῥοπῇ καὶ σχέσει καὶ νεύσει κρατεῖται, ὀρέξεσί τε τοῦ χείρονος καὶ οἰκειώσει τῶν δευτέρων κατέχεται, λοιπὸν δὲ καὶ παντοδαποῖς καὶ τοῖς ἀπ' αὐτῶν μέτροις εἰδοποιεῖται· νοῦς τοίνυν ἡγεμὼν καὶ βασιλεὺς 7

1. ὁλοτελές] sic A, ἀτελές BCD, ἐντελές O. 3. μονοιδῶς B. 7. καὶ ante αἴτιον om. A. ‖ ἄιτιον B. 8. πάντα O. 10. „post ὅλων deest forte μετὰ τῶν ἀρχῶν ὅλων“ Gale not. 15. δὲ καὶ] δὲ D, τε A.

Illud superum est et excellens et prorsus perfectum, hoc ultimum deficiens et imperfectius. illud omnia potest simul in momento uniformiter, hoc neque omnia neque simul neque subito neque indivisibiliter. illud omnia generat absque ulla inflexione ad ea et gubernat, hoc naturaliter inclinat et convertitur ad ea quae generat et administrat. dii tamquam causa principalis omnibus imperitant, animae a deorum voluntate tamquam a causa pendent aeterneque subsistunt. dii una eademque acerrima vigoris acie fines operationum omnium et essentiarum continentur; animae vero ab aliis ad alia transeunt, ab imperfecto progredientes ad perfectum. adhuc diis adest summa vis et incomprehensibilis atque omni commensuratione superior, et eatenus sine forma ut sub nulla forma determinetur, anima vero inclinatione et habitudine et propensione superatur, appetitu in peius familiarique ad inferiora vergit amore, ita demum ut omnifariam ab iis colores et species accipiat. intellectus rerum existentium 7

τῶν ὄντων, τέχνη τε δημιουργικὴ τοῦ παντὸς τοῖς μὲν θεοῖς ὡσαύτως ἀεὶ πάρεστι τελέως καὶ ἀνενδεῶς, κατὰ μίαν ἐνέργειαν ἑστῶσαν ἐν ἑαυτῇ καθαρῶς, ἡ δὲ ψυχὴ νοῦ τε μετέχει μεριστοῦ καὶ πολυειδοῦς, εἰς τὴν τοῦ ὅλου τε προστασίαν ἀναποβλέποντος, καὶ αὐτὴ τῶν ἀψύχων ἐπιμελεῖται ἄλλοτε ἐν ἄλλοις εἴδεσιν ἐγγιγνομένη.

Ἀπὸ δὴ τῶν αὐτῶν αἰτίων τοῖς μὲν κρείττοσιν αὐτὴ ἡ τάξις αὐτὸ τὸ κάλλος συνυπάρχει, ἢ εἰ οὕτως τὶς βούλοιτο ὑποτίθεσθαι, ἡ αἰτία τούτων συνυφέστηκεν, τῇ δὲ ψυχῇ νοερᾶς τάξεως καὶ θείου κάλλους μεταλαγχάνειν ἀεὶ σύνεστι· καὶ τοῖς μὲν τὸ μέτρον τῶν ὅλων ἢ τὸ τοῦδε αἴτιον σύνδρομον πάρεστι διὰ παντός, ἡ δὲ τῷ θείῳ πέρατι ἀφορίζεται, καὶ τούτου μετέχει μεριστῶς. καὶ τοῖς μὲν ἐξαρκεῖν ἐφ' ὅλα τὰ ὄντα τῇ τῆς αἰτίας δυνάμει καὶ τῇ ἐπικρατείᾳ εὐλόγως ἂν ἀποδοίη τις, ἡ δ' ἔχει τινὰ πέρατα διειλημμένα μέχρις ὅσων ἐπάρχειν δύναται.

Τοιούτων δὴ ὄντων τῶν διαφόρων ἰδιωμάτων ἐν τοῖς

1. τε om. O. 2. τελέως καὶ ἀνενδέως] τελέως καὶ αὐτ (αὖ C, ἀυ D) ...... καὶ ἀνενδέως ABCD. 6. ἐγγινομένη AD. 8. ἢ om. A. || οὔτω AC. 11. ἀιεὶ D. 14. ἐξαρκεῖν] sic D, ἐξαρχεῖ A, ἐξαρκεῖ C, ἐξαρχεῖν O. 16. ἐπαρχεῖν] sic A, ἐπάρχειν vel ἐπάρχην C, ἐπάρχη D, ἐπάρχῃ O.

dux et rex, universi ratio opifex, diis quidem adest semper eodem modo, perfecte et sine indigentia, secundum unam operationem in se ipsa pure constantem: anima autem mentis particeps est partibilis multiformisque et ad gubernationem universi accommodatae, ipsa etiam inanimata curat, alias aliis figuris affecta.

Ab istis causis superioribus adest diis ordo summus et ipsa pulchritudo, aut si quis sic malit existimare, horum causa utrorumque; animae vero obtigit, ordinis intellectualis divinaeque pulchritudinis esse participem. et diis proprium semper est coniunctumque universi mensura vel eius causa; anima divino fine excidit deque eo aliquatenus participat. diis non immerito tribuas ad omnia sufficientiam propter causalitatis suae vim et potentiam: anima habet quosdam limites praescriptos, ad quos, non ultra, eius ditio extendi possit.

Haec igitur cum sint extremorum idiomata, possit quis facile

ἄκροις, οὐ χαλεπῶς ἄν τις, ὃ δὴ νῦν ἐλέγομεν, καὶ τὰ μέσα αὐτῶν ἰδιώματα τὰ τῶν δαιμόνων τε καὶ ἡρώων ἐννοήσειε, σύνεγγυς ὄντα ἑκατέρῳ τῶν ἄκρων, ἔχοντα ὁμοιότητα πρὸς ἑκάτερον καὶ ἀπ᾽ ἀμφοτέρων ἀφιστάμενα πρὸς τὸ μέσον, σύμμικτόν τε ἀπ᾽ αὐτῶν τὴν ὁμονοητικὴν κοινωνίαν συμπλέκοντα καὶ πρὸς αὐτὴν ἐν μέτροις τοῖς προσήκουσι συμπλεκόμενα. τοιαῦτα δὴ οὖν νοείσθω τῶν πρώτων θείων γενῶν τὰ ἰδιώματα.

Οὐ μέντοι τὴν ὑπὸ σοῦ διάκρισιν ὑποτεινομένην αὐ- 8
τῶν προσιέμεθα, ἥτις τὴν πρὸς τὰ διαφέροντα σώματα κατάταξιν, οἷον θεῶν μὲν πρὸς τὰ αἰθέρια, δαιμόνων δὲ πρὸς τὰ ἀέρια, ψυχῶν δὲ τῶν περὶ γῆν, αἰτίαν εἶναί φησι τῆς νυνὶ ζητουμένης διαστάσεως. ἥτε γὰρ κατάταξις, οἷον τοῦ Σωκράτους εἰς τὴν φυλὴν ὅταν πρυτανεύῃ, ἀναξίως ὑπόκειται τῶν θείων γενῶν, ἅπερ ἀπόλυτα πάντα καὶ ἄφετα καθ᾽ ἑαυτὰ ὑπάρχει. καὶ τὸ κυριώτερα ποιεῖν τὰ σώματα πρὸς τὸ εἰδοποιεῖν τὰ ἑαυτῶν πρῶτα αἴτια,

1. τις] τι B. 3. ἐννοήσειε] sic ACD, ἐννοήσει O. ‖ ἔχοντα] ἔχόν τε A, ἔχον τε B, ἐχόν τε C, ἔχοντε D. 9. ὑπὸ] sic AD, ἀπὸ O. 11. κατὰ τάξιν B. 14. Σωκράτους] „Susceptae personae videtur oblitus; sane Aegyptius sacerdos cur Socratis meminerit nulla ratio est.“ Gale not. 17. πρὸς τὸ] πρός τε A. ‖ ἰδιοποιεῖν B.

quod iam monuimus media eorum nempe geniorum et heroum idiomata animadvertere, utpote quae sint utrique extremo affinia, cum alterutro similitudinem habentia et ab utroque ad medium approximantia, trahuntque societatem amicam ab iis, iterumque ad eam modis congruis retrahuntur. talia igitur primorum generum divinorum esse idiomata par est existimare.

Sed neque admittimus eorum quam allegas distinctionem: ait 8
enim illa praesentis quaesiti discriminis causam latere in habitudine et in ordine quodam ad corpora differentia, quod dii differant per habitudinem ad corpora aetherea, genii ad aërea, animae ad terrena. sed haec ordinatio indigna est divinis generibus, nec minus absurda quam si quis Socratem tribui subiiciat cum magistratum gerit, nam divina genera libera sunt ex natura sua et immunia. deinde nimis magna inscitia est corporibus tribuere, ut possint prima principia in

δεινὴν ἀτοπίαν ἐμφαίνει· δουλεύει γὰρ ταῦτα ἐκείνοις καὶ ὑπερετεῖ πρὸς τὴν γένεσιν. ἔτι οὐδὲ ἔνεστι τοῖς σώμασι τὰ γένη τῶν κρειττόνων, ἀλλ' ἔξωθεν αὐτῶν ἡγεμονεύει· οὐκ ἄρα συναλλοιοῦται τοῖς σώμασιν· ἔτι δίδωσι μὲν ἀφ' ἑαυτῶν εἰς τὰ σώματα πᾶν ὅσον δύναται δέξασθαι ἐκεῖνα ἀγαθόν, αὐτὰ δὲ ἀπὸ τῶν σωμάτων οὐδὲν παραδέχεται, ὥστε οὐδ' ἀπ' αὐτῶν δέξαιτο ἄν τινα ἰδιώματα. εἰ μὲν γὰρ ὡς ἕξεις τῶν σωμάτων ἢ ὡς ἔνυλα εἴδη ἢ ἄλλον τρόπον σωματοειδῆ ἦν, ἐδύνατο ἂν ἴσως καὶ αὐτὰ τὰς τῶν σωμάτων διαφορὰς συμμεταβάλλεσθαι, εἰ δὲ χωριστὰ ἀπὸ τῶν σωμάτων καὶ ἀμιγῆ καθ' ἑαυτὰ προϋπάρχει, τίς ἂν γένοιτο ἀπὸ τῶν σωμάτων ἐπεισιοῦσα εὔλογος εἰς αὐτὰ διάκρισις;

Πρὸς δὴ τούτοις τὰ σώματα κρείττω ποιεῖ τῶν θείων γενῶν οὗτος ὁ λόγος, εἴπερ αὐτὰ τὴν ἕδραν παρέχει τοῖς κρείττοσιν αἰτίοις, καὶ τὰ κατ' οὐσίαν ἰδιώματα ἐν αὐτοῖς τίθησιν. εἰ δ' ἄρα τὶς καὶ λήξεις καί διανομὰς καὶ συγ-

2. ἔνεστι] sic A, ἔνεστιν ἐν O. ‖ τοῖς om. C. 3. ἀλλ' ἔξωθεν] sic A, ἔξωθεν ἐξ C, ἔξωθεν δὲ O. 3. 4. ἡγουμενεύει BD. 4. συναλλοιοῦνται O. 6. ἐκεῖνο AC. 10. αὐτὰς A. 11. ἀμηγῆ B. 12. ἐπεισιοῦσα] ἐμποιοῦσα O. 14. τὰ σώματα κρείττω ποιεῖ] πρεσβύτερα ποιεῖ τὰ σώματα AC, τὰ σώματα καὶ ἡττοποιεῖ D. 16. τὰ om. O. ‖ ἑαυτοῖς B. 17. ἐντίθησιν ACD.

sua specie constituere: corpora enim illis serviunt et in generatione peragenda ministrant. porro non insunt in corporibus superiorum genera sed ipsa regunt ab extra: quare non permutantur una cum corporibus. praeterea dant corporibus ex se ipsis quicquid boni possunt capere, ipsa vicissim a corporibus nihil accipiunt: sane idiomata ab ipsis nulla mutuantur. si enim dii vel habitus essent corporum, vel formae materiales, vel quovis alio modo corporei, possent utique et ipsi transmutari una cum corporum differentiis. at enim cum sint dii separati a corporibus et praeexistant puri in se ipsis, quo fingi potest probabilis differentia ad hos ab ipsis permanare?

Adde his, quod huiusmodi disputatio diis faciat corpora praestantiora, si quidem haec causis melioribus stabilitatem suppeditent et differentias essentiales iis impertiant. si igitur quis sortes et conditiones et provincias gubernatorum ordinet super ea quae guber-

κληρώσεις συντάττοι τῶν διοικούντων πρὸς τὰ διοικούμενα, οὗτος δῆλον ὅτι καὶ κῦρος ἀποδώσει τοῖς βελτίοσι· διότι γάρ ἐστι τοιαῦτα τὰ ἐφεστηκότα, διὰ τοῦτο αἱρεῖται τὴν τοιαύτην λῆξιν καὶ εἰδοποιεῖ ταύτην καθ' ἑαυτήν, ἀλλ' οὐκ αὐτὴ πρὸς τὴν τῆς ὑποδοχῆς φύσιν ἀφομοιοῦται.

Ἐπὶ μὲν οὖν τῶν ἐν μέρει, λέγω δὲ τῆς κατὰ μέρος ψυχῆς, συγχωρεῖν δεῖ τὸ τοιοῦτον. οἷον γὰρ προὔβαλε βίον ἡ ψυχὴ πρὶν καὶ εἰς ἀνθρώπινον σῶμα εἰσκριθῆναι, καὶ οἷον εἶδος πρόχειρον ἐποιήσατο, τοιοῦτον καὶ ὀργανικὸν σῶμα ἔχει πρὸς ἑαυτὴν συνηρτημένον, καὶ φύσιν παραπλησίαν συνακολουθοῦσαν, ἥτις ὑποδέχεται αὐτῆς τὴν τελειοτέραν ζωήν. ἐπὶ δὲ τῶν κρειττόνων καὶ τῶν ὡς ὅλων περιεχόντων τὴν ἀρχήν, ἐν τοῖς κρείττοσι τὰ χείρονα καὶ ἐν τοῖς ἀσωμάτοις τὰ σώματα καὶ ἐν τοῖς δημιουργοῦσι τὰ δημιουργούμενα παράγεται, καὶ ἐν αὐτοῖς τε κύκλῳ περιέχουσι κατευθύνεται· αἵ τε οὖν τῶν οὐρανίων

2. οὗτος] καὶ οὗτος AC. ‖ καὶ] sic A, om. O. 7. 8. προὔβαλε βίον] „Eugubinus lib. 9. de Peren. Phil. c. 27 hunc locum producens legit προὔλαβε βίον, sed nihil mutandum. Simplic. in Categ. p. 95 προβάλλει τινὰς ζωὰς περὶ ἑαυτὴν ἡ ψυχή, et totus locus merito perlustrandus, est enim ex Jamblicho." Gale not. 10. καὶ] sic BC, γὰρ (corr. καὶ) D, γὰρ O. 11. τὴν om. O. 14. σώματα] ἀσώματα BD. 14. 15. δημηουργοῦσι C. 16. post περιέχουσι A add. καὶ.

nantur, is manifesto et auctoritatem tribuet melioribus naturis: nam quod tales sunt superiores natura, tales sortiuntur provincias, quas sibi porro fingunt similes; ipsa interim ad naturam receptaculi sui minime conformantur.

Hoc igitur oportet admittere de particularibus scilicet animabus. qualem enim vitam anima acceperat priusquam corpori humano addicebatur, qualemque speciem in actum eduxerat, tale etiam organicum corpus habet sibi adaptatum, talemque consequentem sibi naturam, quae ab ea perfectiorem vitam excipit quod autem attinet ad ea quae meliora sunt et tamquam universalia, ea continent in se reliquorum originem: in praestantioribus viliora in incorporeis corpora in opificibus opificia producuntur, et in illis circulariter continentibus diriguntur: unde et caelestes circuitus in animae aethereae circuitiones caelestes originaliter insitae semper eis insunt, et animae

περιφοραὶ εἰς τὰς οὐρανίας περιφορὰς τῆς αἰθερίας ψυχῆς ἐντεθεῖσαι τὸ πρῶτον ἀεὶ ἐνυπάρχουσι, καὶ αἱ ψυχαὶ τῶν κόσμων εἰς τὸν νοῦν ἑαυτῶν ἀνήκουσαι περιέχονται ὑπ' αὐτοῦ τελείως καὶ ἐν αὐτῷ πρώτως ἀπογεννῶνται· καὶ ὁ νοῦς ὅ τε μεριστὸς ὡσαύτως καὶ ὁ πᾶς ἐν τοῖς κρείττοσι γένεσι συνείληπται. ἀεὶ οὖν ἐπιστρεφομένων τῶν δευτέρων ἐπὶ τὰ πρῶτα καὶ τῶν ἀνωτέρων ὡς παραδειγμάτων ἐξηγουμένων τῶν ὑποδεεστέρων, ἀπὸ τῶν κρειττόνων τοῖς χείροσιν ἥ τε οὐσία καὶ τὸ εἶδος παραγίνεται, ἐν αὐτοῖς τε τοῖς βελτίοσι πρώτως παράγεται τὰ ὕστερα, ὥστε ἀπ' αὐτῶν ἐφήκει καὶ ἡ τάξις καὶ τὸ μέτρον τοῖς χείροσι καὶ αὐτὰ ἅπερ ἐστὶν ἕκαστα, ἀλλ' οὐχὶ ἀνάπαλιν ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ προέχοντα αὐτῶν ἐπιρρεῖ τὰ ἰδιώματα.

Ἀποδέδεικται μὲν οὖν διὰ τούτων ψευδὴς οὖσα ἡ τοιαύτη σωματοειδὴς διαίρεσις. ἔδει δέ που μάλιστα μὲν μηδὲν ὑποθέσθαι τοιοῦτον· εἰ δ' ἄρα σοι τοῦτο ἔδοξε, μὴ ἀξιοῦν τὸ ψεῦδος λόγου. ἐπεὶ οὐκ εὐπορία τοῦτ' ἔστιν ἐλέγχων, ἀλλὰ μάτην τις ἑαυτὸν κόπτει, εἰ τὰ ψευδῆ

1. *αἰθρίας* A. 3. *περιέχοντας* B. 4. *ἐν αὐτῷ*] *αὐτός* B. 5. *ὅ τε*] *ὅταν* AC. ‖ *πᾶς*] *παῖς* C. 7. *ἀνωτέρω* BD. 9. *τοῖς* om. C. 10. *τε*] *τὸ* BD. 12. *μέτρον*] *ἄμετρον* BCD. 14. *ἐπιρρεῖται* O. 18. *ἀπορία* B. 19. *κόπει* O.

mundorum pertingentes ad intellectum suum perfecte ab eo continentur, inque eo primo progenerantur: porro intellectus tum particularis tum etiam universalis in naturis melioribus comprehenditur. cum igitur semper convertantur secunda ad prima, et superiora tamquam exemplaria ducant inferiora, a melioribus tum essentia tum forma ad deteriora derivatur, inque praestantioribus primo producuntur posteriora, adeo ab illis mensuram et ordinem adipiscuntur deteriora et quicquid tandem sint, non vice versa ab indigentioribus ad eminentiora promanant idiomata.

Per haec igitur esse falsam demonstravimus illam a corporibus petitam distinctionem. oportuit autem inprimis nihil huiusmodi proposuisse, vel si id tibi videbatur, non tamen disputatione dignum existimasse quod falsum est; hoc enim non est copia argumentorum abundare, sed inaniter se quis fatigat, cum quae falsa sunt proponat,

ὑποθέμενος ἀναιρεῖν ἐπιχειρεῖ ταῦτα ὡς οὐκ ἀληθῆ. πόθεν γὰρ δὴ χωρίζεται ἡ ἀσώματος καθ' ἑαυτὴν οὐσία τοῖς ποίοις σώμασιν, ἡ μηδὲν ἔχουσα κοινὸν πρὸς τὰ μετέχοντα αὐτῆς σώματα; πῶς δὲ δὴ ἡ μὴ τοπικῶς παροῦσα τοῖς σώμασι τοῖς σωματικοῖς τόποις διακρίνεται; καὶ ἡ μὴ διειργομένη μερισταῖς περιγραφαῖς ὑποκειμένων κατέχεται μεριστῶς ὑπὸ τῶν μερῶν τοῦ κόσμου; τί δὲ δὴ καὶ τὸ διακωλῦόν ἐστι τοὺς θεοὺς προϊέναι πανταχοῦ; καὶ τί τὸ ἀνεῖργον αὐτῶν τὴν δύναμιν, ὥστε ἰέναι μέχρι τῆς οὐρανίας ἀψῖδος; ἰσχυροτέρας γὰρ ἂν εἴη τοῦτο αἰτίας ἔργον, τῆς κατακλειούσης αὐτοὺς καὶ περιγραφούσης ἔν τισι μέρεσι. καὶ τὸ μὲν ὄντως ὂν καὶ καθ' ἑαυτὸ ἀσώματον πανταχοῦ ἐστιν ὅπου περ ἂν βούληται, τὸ δὲ θεῖον καὶ πάντα ὑπερέχον, εἰ περιέχεται ὑπὸ τῆς τοῦ ὅλου κόσμου τελειότητος, καὶ ὡς ἐν μέρει τινὶ ὑπ' αὐτοῦ περιείληπται, ἐλαττοῦται ἄρα καὶ τοῦ κατὰ τὸ σῶμα μεγέθους.

8. 9. τί τὸ] sic Velsenius, τὸ AD, τί O. 9. ἰέναι] εἶναι CD. 10. 11. αἰτίας ἔργον] sic AC, ἔργον αἰτίας O, ἔργον D. 11. αὐτοὺς] sic A, αὐτὰς O. 12. μερίσι O. || οὕτως C. || καθ' αὐτὸ AC. 13. ἐστὶν] εἰσὶν, et in marg. εἴσιν D. || δὲ] τε B. || ὑπερέχον om. et add. pr. man. in marg. D. 14. εἰ περιέχεται] sic margo B, ὑπερέχεται O. 14. 15. ὅλου κόσμου] sic AC, κόσμου ὅλου O. 15. ἐν om. AC.

deinde tamquam non vera refutare satagat. qui enim potest substantia per se incorporea corporibus qualibus distingui, quae quidem nihil cum istis sui participibus commune habet? qui potest locis ad corpora pertinentibus discerni quae corporibus localiter non adest? et quae non cohibetur particularibus circumscriptionibus subiectorum, quomodo a partibus mundi partibiliter continetur? quid autem illud tandem est quod possit prohibere, quo minus dii ubique adsint? quid impedit eorum vim quo minus ad caeli fornicem pertingat? sane maioris hoc esset munus potestatis, quae concludat eos et circumscribat certis aliquibus partibus. sed enim quod vere est perque se incorporeum, ibi est ubi vult. divinitas autem, quae omnia superat si superatur ab ipsa mundi totius perfectione, et tamquam pars quaedam sub ea comprehenditur; magnitudine corporea deterior statuitur. sed non video equidem quemadmodum haec inferiora fieri formarique pos-

οὐχ ὁρῶ δὲ ἔγωγε καὶ τίνα τρόπον δημιουργεῖται τὰ τῇδε καὶ εἰδοποιεῖται, εἴ γε μηδεμία θεία δημιουργία καὶ τῶν θείων εἰδῶν μετουσία διατείνεται διὰ παντὸς τοῦ κόσμου.

Ὅλως δὲ τῆς ἱερᾶς ἁγιστείας καὶ τῆς θεουργικῆς κοινωνίας θεῶν πρὸς ἀνθρώπους ἀναίρεσίς ἐστιν αὕτη ἡ δόξα, τὴν τῶν κρειττόνων παρουσίαν ἔξω τῆς γῆς ἐξορίζουσα. οὐδὲν γὰρ ἄλλο λέγει ἢ ὅτι ἀπῴκισται τῶν περὶ γῆν τὰ θεῖα καὶ ὅτι ἀνθρώποις οὐ συμμίγνυνται καὶ ὡς ἔρημος αὐτῶν ἐστιν ὁ τῇδε τόπος· οὐδὲ ἡμεῖς οὖν οἱ ἱερεῖς οὐδὲν παρὰ τῶν θεῶν μεμαθήκαμεν κατὰ τοῦτον τὸν λόγον, οὐδὲ σὺ ὀρθῶς ἡμᾶς ἐρωτᾷς ὡς εἰδότας τι περιττότερον, ἐπείπερ μηδὲν τῶν ἄλλων ἀνθρώπων διαφέρομεν.

Ἀλλ' οὐδέν ἐστι τούτων ὑγιές· οὔτε γὰρ οἱ θεοὶ κρατοῦνται ἔν τισι τοῦ κόσμου μέρεσιν, οὔτε τὰ περὶ γῆν ἄμοιρα αὐτῶν καθέστηκεν. ἀλλ' οἱ μὲν κρείττονες ἐν αὐτῷ ὡς ὑπὸ μηδενὸς περιέχονται καὶ περιέχουσι πάντα ἐν ἑαυτοῖς· τὰ δ' ἐπὶ γῆς ἐν τοῖς πληρώμασι τῶν θεῶν

2. μὴ δὲ μία C. 6. 7. ἐξορίσουσα B. 8. ὅταν ACD. || συμμίγνυται A. 9. 10. ἱεροῖς D. 12. ἐπείπερ] εἴπερ ACD, ἔτι περ B. || μηδένα CD. || τῶν] ἀπὸ τῶν A. 12. 13. διαφερόμενον B 15. τὰ] τῷ B. 17. καὶ om. ACD. 18. αὐτοῖς O.

sint, si nullum divinum opificium, nulla specierum divinarum communicatio per universum mundum pervadat.

Adde quod haec opinio quae naturas divinas a terris ablegat, tollit prorsus omnem religionem et theurgicam illam quam cum diis homines habent societatem. nihil enim aliud dicit, quam quod divinae naturae a terris remotae habitant, quod nunquam cum hominibus versantur, quod omnino desertus ab iis sit hicce noster orbis; unde et sacerdotes nos ex hac sententia nihil a diis didicimus, neque tu recte, tamquam plus ceteris mortalibus sciamus, nos consulis, siquidem nihil aliis praestemus.

Enimvero haec nihil recti habent. neque enim dii compinguntur ullis mundi regionibus, neque inferiora haec eorum praesentia destituuntur. sed dii in hoc maxime excellunt, quod a nullo contineantur, ipsi autem omnia in se contineant: quae autem sunt terrestria, a deo-

ἔχοντα τὸ εἶναι, ὁπόταν ἐπιτήδεια πρὸς τὴν θείαν μετοχὴν γένηται, εὐθὺς ἔχει πρὸ τῆς οἰκείας ἑαυτῶν οὐσίας προϋπάρχοντας ἐν αὐτῇ τοὺς θεούς.

Ὅτι μὲν οὖν ἡ ὅλη διαίρεσις αὕτη ψευδής ἐστι καὶ ἡ ἔφοδος ἐπὶ τὴν τῶν ἰδιωμάτων θήραν παράλογος καὶ τὸ διοικίζειν ἔν τινι τόπῳ τοὺς θεοὺς οὐκ ἀντιλαμβάνεται τῆς ὅλης ἐν αὐτοῖς οὐσίας καὶ δυνάμεως, διὰ τούτων παρεστήσαμεν. ἦν μὲν οὖν ἄξιον παραλιπεῖν τὴν ἐξέτασιν τῶν ὑπὸ σοῦ πρὸς ταύτην τὴν διανομὴν τῶν κρειττόνων ἀντειρημένων, ὡς οὐδὲν πρὸς ἔπος τοῖς ἀληθέσι νοήμασιν ἀντιλέγουσαν· ἀλλ' ἐπεὶ δεῖ τοῦ λόγου στοχάζεσθαι μᾶλλον καὶ τῆς θείας ἐπιστήμης, ἀλλὰ μὴ πρὸς ἄνδρα διαλέγεσθαι, καὶ ἡμεῖς διὰ τοῦτο ἐναρμόζομεν τὴν ἀπηρτημένην ἀμφισβήτησιν πρὸς εὔλογόν τινα καὶ θεολογικὴν ἀντίληψιν.

Τίθημι δὴ οὖν ἐρωτῶντά σε, οὗ κἀκεῖνο τὸ ἀπό- 9
ρημα, διὰ τί ἐν οὐρανῷ κατοικούντων τῶν θεῶν μόνον, χθονίων καὶ ὑποχθονίων εἰσὶ παρὰ τοῖς θεουργικοῖς κλή-

1. ὁπότ' ἂν A. 4. ἡ om. A. 7. ἐν αὐτοῖς] ἐν αὐτῇ D Fesch. Reg., αὐτῶν Gale not. 10. ἀντειρημένων] sic AC, ἀντειρημένην O. 11. ἐπεὶ δεῖ] ἐπειδὴ BD. 13. ἐναρμόσομεν O. ‖ ἐπηρτημένην O. 16. οὗ] οὐ BD. 17. μόνως ACD.

rum pleromasi habent suam essentiam, deosque hic existentes ante naturas suas proprias statim sortiuntur, quamprimum ad eos participandos idonea sint.

Quod igitur tota haec divisio vana sit, quod methodus quam ad indaganda idiomata instituisti ratione careat, quod denique qui deos certo alicui loco affigat totam eorum essentiam et potestatem non commode tuebitur, his quae dicta sunt probavimus. recte autem fecissem si totam oppositam disquisitionem de hac divinorum distributione, ut quae veris notionibus satis inscite contradicat, praetervolassem. verum quoniam oportet mentem dirigere ad rationem et theologicam scientiam, non autem adversus hominem disputare, dubitationem separatam revocamus nos ad disceptationem probabilem et theologicam.

Pono igitur te quaerentem, est enim tuum et hoc dubium, cum 9
dii habitent duntaxat in caelo, quare terrestrium et subterraneorum

σεις; οὐδὲ γάρ ἐστιν ἀληθὲς τὸ ἐν ἀρχῇ, ὡς κατ' οὐρανὸν μόνον οἱ θεοὶ περιπολοῦσι· πάντα γὰρ αὐτῶν ἐστὶ πλήρη. ἀλλὰ πῶς ἐνύδριοί τινες λέγονται καὶ ἀέριοι, τόπους τε διειλήχασιν ἄλλοι ἄλλους, καὶ σωμάτων μοίρας διεκληρώσαντο κατὰ περιγραφήν, καίτοι δύναμιν ἄπειρον ἔχοντες καὶ ἀμέριστον καὶ ἀπερίληπτον; πῶς τε αὐτῶν ἔσται ἡ ἕνωσις πρὸς ἀλλήλους, μερῶν μερισταῖς περιγραφαῖς διειργομένων, καὶ καθ' ἑτερότητα τῶν τόπων καὶ τῶν ὑποκειμένων σωμάτων διειλημμένων;

Πάντων δὴ οὖν τούτων καὶ ἄλλων παραπλησίων ἀπεράντων ζητημάτων μία ἀρίστη λύσις, κατιδεῖν τὸν τρόπον τῆς θείας λήξεως. αὕτη τοίνυν ἐάν τε μοίρας τινὰς τοῦ παντός, οἷον οὐρανὸν ἢ γῆν, ἐάν τε πόλεις ἱερὰς ἢ χώρας, ἐάν τε καὶ τεμένη τινὰ ἢ ἱερὰ ἀγάλματα διαλαγχάνῃ, πάντα ἔξωθεν ἐπιλάμπει, καθάπερ ὁ ἥλιος ἔξωθεν φωτίζει πάντα ταῖς ἀκτῖσιν. ὥσπερ οὖν τὸ φῶς περιέχει τὰ φωτιζόμενα, οὑτωσὶ καὶ τῶν θεῶν ἡ δύναμις τὰ μεταλαμβάνοντα αὐτῆς ἔξωθεν περιείληφε. καὶ ὥσπερ ἀμιγῶς

1. ἀρχῶν AC. 3. ἔνυδροι A. 6. ἐστιν AC. 7. ἕνωσις B. || μεριστὰς περιγραφὰς O. 7. 8. διειργουμένων D. 9. σωμάτων διειλημμένων om. et add. in marg. D. 11. ἀρίστης B.

invocationes sacrificuli usurpant? non est illud quod primo dicis verum, quasi in caelo duntaxat dii versentur, omnia enim deorum plena sunt. verum quomodo ex iis quidam aquei quidam aërei dicantur, locosque alii alios sortiti sint, corporumque portiones cum circumscriptione occupent, potentiamque interim infinitam indivisibilem incomprehensibilem possideant? item quomodo unionem inter se tuebuntur qui partium circumscriptionibus privatim disterminantur, locorumque et corporum subiectorum diversitate separantur?

Harum igitur et similium infinitarum quaestionum una eaque optima solutio occurret, si consideremus quomodo dii se rebus administrandis applicent. divinitas igitur sive partes aliquas universi sortiatur, puta caelum vel terram, sive urbes sacras et regiones et saltus aliquos aut statuas sacras, solet haec omnia extrinsecus irradiare, quomodo sol suis radiis omnia extrinsice collustrat. quemadmodum igitur lux continet ea quae illuminantur, sic et deorum potestas ea quae de se participant. et quemadmodum aëri adest lux,

πάρεστι τῷ ἀέρι τὸ φῶς (δῆλον δὲ ἐκ τοῦ μηδὲν ἐν αὐτῷ καταλείπεσθαι φῶς, ἐπειδὰν ἅπαξ τὸ ἐλλάμπον ἀναχωρήσῃ, καίτοι θερμότητος αὐτῷ παρούσης, ἐπειδὰν τὸ θερμαῖνον ἐκποδὼν ἀπέλθῃ), οὕτω καὶ τῶν θεῶν τὸ φῶς ἐλλάμπει χωριστῶς, ἐν ἑαυτῷ τε μονίμως ἱδρυμένον προχωρεῖ διὰ τῶν ὄντων ὅλων. καὶ μὴν τό γε φῶς τὸ ὁρώμενον ἕν ἐστι συνεχές, πανταχοῦ τὸ αὐτὸ ὅλον, ὥστε μὴ οἷόν τε εἶναι χωρὶς ἀποτέμνεσθαί τι αὐτοῦ μόριον μηδὲ κύκλῳ περιλαβεῖν μηδὲ ἀποστῆσαί ποτε τοῦ παρέχοντος τὸ φῶς.

Κατὰ τὰ αὐτὰ δὴ οὖν καὶ ὁ σύμπας κόσμος μεριστὸς ὢν περὶ τὸ ἓν καὶ τὸ ἀμέριστον τῶν θεῶν φῶς διαιρεῖται. τὸ δ' ἔστιν ἓν καὶ αὐτὸ πανταχοῦ ὅλως, ἀμερίστως τε πάρεστι πᾶσι τοῖς δυναμένοις αὐτοῦ μετέχειν, παντελεῖ τε δυνάμει πεπλήρωκε πάντα, καὶ ἀπείρῳ δή τινι τῇ κατὰ αἰτίαν ὑπεροχῇ συμπεραίνει τὰ ὅλα ἐν αὑτῷ, συνήνωταί τε πανταχοῦ πρὸς ἑαυτὸ καὶ τὰ τέλη ταῖς ἀρχαῖς συνάπτει· ὅπερ δὴ καὶ ὁ σύμπας μιμούμενος οὐρανὸς καὶ κόσμος τὴν ἐγκύκλιον περιφορὰν περιπολεῖ, συνήνωταί

2. *ἐλάμπον* BD. 5. *ἐν αὐτῷ τε* AD. ‖ *μονύμως* D. 6. *ὅλως* O.
7. *ἓν ἐστι*] *ἔνεστι* AC. 8. *ἀποτεμέσθαι* D. ‖ *τι*} *τε* O.
11. *τὸ* ante *ἀμέριστον* om. C. 12. *ὅλως*] sic AC, *ὅλον* O.
15. *αὐτῷ* AD. 16. *τέλη*] *τέλει* D.

θεῶν πρὸς δαίμονας· λέγεις γὰρ θεοὺς εἶναι νόας καθαρούς, ὡς ἐν ὑποθέσει προτείνων τὴν δόξαν ἢ ὥς τισιν ἀρέσκουσαν αὐτὴν ἀφηγούμενος, νοῦ δὲ μετόχους ψυχικοὺς ὄντας τοὺς δαίμονας ἀπολογιζόμενος. ὅτι μὲν οὖν φιλοσόφων τοῖς πολλοῖς ταῦτα δοκεῖ, οὐδ' ἐμὲ λέληθε· πρὸς δὲ σὲ οὐκ οἶμαι δεῖν ἀποκρύπτεσθαι τὸ φαινόμενον ἀληθές. ὑποσυγκέχυται γὰρ πάντα τὰ τοιαῦτα δοξάσματα, ἀπὸ μὲν τῶν δαιμόνων ἐπὶ τὰς ψυχὰς ἀποφερόμενα (νοῦ

1. *τὸ ταὐτὸν*] sic D, *τοσαυτὸν* O. 2. *καὶ ἐμμένει*] sic AC, *ἐμμένει* O. 4. *σὺ* om. O. 7. *ἀπεδείξαμεν*] „Ubi sodes?“ Gale. 8. *μεταβαίνει* B. || *ἀντιαίρεσιν* B. 9. *δαίμονα* B. || *νόους καθαρὰς* B. 10. *ὡς ἐν*] *ὡς ὁ ἐν* O. 11. *ψυχικὰς* AC. 16. *ἀπὸ μὲν τῶν δαιμόνων ἐπὶ*] *ἀπὸ δαιμόνων μὲν εἰς* O. || *ἀποφερόμενοι* A, om. O.

et quoniam secundum idem, eodemque modo intra eosdem fines continetur, in eodem statu permanet et nunquam evagatur. per haec igitur omnia contrarium ac tu opinabaris accidit. est enim inflexibile impatibile et coactionis nescium divinum numen, si revera tales sint in theurgia potentiae, quales nos demonstravimus.

Post hanc distinctionem patibilis et impatibilis transis ad aliam 15
inter deos et daemonas; ais enim deos esse intelligentias puras; sed eam opinionem per modum suppositionis in medium affers, et tamquam aliorum placitum non tuum enarras; daemonas autem mentis esse participes, sed et animales affirmas. et sane quod de his ita plerisque philosophorum videatur non sum nescius: te vero quid mihi verum videatur non celabo. omnia huiusmodi dogmata magnopere se ipsa confundunt, nam a geniis ad animas quoque pertingunt, ut quae intellectus quoque sunt participes, a diis vero abeunt ad

γὰρ μέτοχοί εἰσιν αὗται) ἀπὸ δὲ τῶν θεῶν ἐπὶ τὸν κατ' ἐνέργειαν ἄυλον νοῦν ἀποπίπτοντα, οὗ δὴ παντελῶς οἱ θεοὶ προέχουσι. τί οὖν δεῖ ταῦτα τὰ ἰδιώματα ἀπονέμειν, ἅπερ οὐδ' ὅλως εἰσὶν αὐτοῖς οἰκεῖα; τὸ μὲν δὴ τῆς διαιρέσεως (πάρεργον γάρ ἐστιν ἄλλως) μέχρι τοσούτου μνήμης ἀξιούσθω. ἃ δὲ καὶ πρὸς ταύτην ἀπορεῖς, ἐπείπερ ἅπτεται τῆς ἱερατικῆς θεραπείας, λόγου τυγχανέτω τοῦ προσήκοντος.

Ἔτι γὰρ μᾶλλον ἀκλίτους καὶ ἀμιγεῖς αἰσθητοῖς εἰπὼν εἶναι τοὺς καθαροὺς νόας ἀπορεῖς, εἰ δεῖ πρὸς αὐτοὺς εὔχεσθαι. ἐγὼ δ' οὐδ' ἄλλοις τισὶν ἡγοῦμαι δεῖν εὔχεσθαι. τὸ γὰρ θεῖον ἐν ἡμῖν καὶ νοερὸν καὶ ἕν, ἢ εἰ νοητὸν αὐτὸ καλεῖν ἐθέλεις, ἐγείρεται τότε ἐναργῶς ἐν ταῖς εὐχαῖς, ἐγρόμενον δὲ ἐφίεται τοῦ ὁμοίου διαφερόντως καὶ συνάπτεται πρὸς αὐτοτελειότητα. εἰ δέ σοι ἄπιστον εἶναι καταφαίνεται, πῶς φωνῆς ἀκούει τὸ ἀσώματον καὶ ὡς αἰσθήσεως προσδεήσεται καὶ δι' ὤτων τὰ λεγόμενα ὑφ' ἡμῶν ἐν ταῖς προσευχαῖς, ἑκὼν ἐπιλανθάνῃ τῆς τῶν πρώτων

3. δεῖ] δὴ D. ‖ τὰ addidit Velsenius. 4. εἰσὶν] ἐστὶν AC. 5. ἄλλως] ἄγγεως A. 9. ἀκλήτους B, ἀκηλήτους Gale not. 11. ἐγὼ οὐδ' D. 12. νοερὸν] sic Gale not. et Tail. νοητὸν O. 13. ἐθέλοις CD. 18. προσευχαῖς] εὐχαῖς AD. ‖ ἐπιλανθάνει A, ἐπιλανθάνει (corr. ἐπιλανθάνῃ) D.

intellectum actu purum a materia, super quem tamen dii omnino evehuntur. quid igitur opus est haec iis tribuere, quae nullo modo iis sunt propria? sed de hac distinctione (nam supervacaneum foret plura) hactenus meminisse sufficiat: quae vero occasione huius distinctionis in dubium vocas, quandoquidem ad sacerdotalem cultum pertinent, sermone iusto dignabimur.

Postquam ergo inflexiles et sensibilibus rebus impermiscibiles dixisti mentes puras, dubitas num oporteat ad eas preces nuncupare. ego vero censeo his, nullis aliis supplicandum esse. nam quod in nobis est divinum, quod intellectuale est, quod unum, vel si mavis vocare intelligibile, expergiscitur plane inter precandum, experrectum vero appetit vehementer quod sibi simile est, et copulatur suae ipsius perfectioni. verum si tibi incredibile videatur, ut res incorporea vocem percipere possit, si contendas sensu indigere et auribus, ut

αἰτίων περιουσίας ἔν τε τῷ εἰδέναι καὶ τῷ περιέχειν ἐν ἑαυτοῖς τὰ ὑφ' ἑαυτῶν πάντα· ἐν ἑνὶ γὰρ δήπου συνείληφεν ἐν ἑαυτοῖς ὁμοῦ τὰ ὅλα· οὔτε δὴ οὖν διὰ δυνάμεων οὔτε δι' ὀργάνων εἰσδέχονται εἰς ἑαυτοὺς οἱ θεοὶ τὰς εὐχάς, ἐν ἑαυτοῖς δὲ περιέχουσι τῶν ἀγαθῶν τὰς ἐνεργείας τῶν λόγων, καὶ μάλιστα ἐκείνων οἵτινες διὰ τῆς ἱερᾶς ἁγιστείας ἐνιδρυμένοι τοῖς θεοῖς καὶ συνηνωμένοι τυγχάνουσιν· ἀτεχνῶς γὰρ τηνικαῦτα αὐτὸ τὸ θεῖον πρὸς ἑαυτὸ σύνεστι, καὶ οὐδ' ὡς ἕτερον πρὸς ἕτερον κοινωνεῖ τῶν ἐν ταῖς εὐχαῖς νοήσεων.

Ἀλλ' αἱ λιτανεῖαι, ὡς φῄς, ἀλλότριαί εἰσι προσφέρεσθαι πρὸς τὴν τοῦ νοῦ καθαρότητα. οὐδαμῶς· δι' αὐτὸ γὰρ τοιοῦτο, διότι τῇ δυνάμει καὶ καθαρότητι καὶ τοῖς πᾶσι τῶν θεῶν ἀπολειπόμεθα, ἐγκαιρότατόν ἐστι πάντων ἱκετεύειν αὐτοὺς εἰς ὑπερβολήν. ἡ μὲν γὰρ συναίσθησις τῆς περὶ ἑαυτοὺς οὐδενείας, εἴ τις ἡμᾶς παραβάλλων τοῖς θεοῖς κρίνοι, ποιεῖ τρέπεσθαι πρὸς τὰς λιτὰς αὐτοφυῶς· ἀπὸ δὲ τῆς ἱκετείας κατὰ βραχὺ πρὸς τὸ ἱκε-

2. 3. τὰ ὑφ' — ἑαυτοῖς sic AC, om. O. 3. οὔτε] sic ACD, οὐ O. 4. τὰς] τὰ O. 6. τῶν om. O. 9. πρὸς ἕτερον] sic AC, πρὸς τὸ ἕτερον D, om. O. 12. *καθαρότητα .... οὐδαμῶς .... δι'* A.

intelligantur quae a nobis dicuntur in precibus, libens obliviseeris quae sit primarum causarum praestantia, tum quod cognoscant tum quod contineant quae iis subiacent; omnia enim in se simul complectuntur. non igitur per potentias aliquas aut organa dii preces ad se recipiunt, immo vero in se continent orationum religiosorum hominum effecta, et eorum praecipue qui per puritatem et religionem diis ipsis consecrati sunt et uniti; tunc enim plane divinum numen sibi ipsi praesens est, nec ut alienum quid versus alienum precum percipit sensa.

Atqui, inquis tu, ut supplicationes ei offerantur, mentis puritate alienum est. nullo modo. sed ob hanc ipsam causam, quoniam et potentia et puritate et ceteris rebus omnibus dii nos exuperant, opportunissime facimus, si iis supplicemus quam possumus maxime. propria enim conscientia quod nihili sumus, si quis nos cum diis conferat, naturaliter nos ad preces vertit: iam vero a supplicationi-

τευόμενον ἀναγόμεθα, καὶ τὴν πρὸς αὐτὸ ὁμοιότητα ἀπὸ τοῦ συνεχῶς αὐτῷ προσομιλεῖν κτώμεθα, τελειότητά τε θείαν ἠρέμα προσλαμβάνομεν ἀπὸ τοῦ ἀτελοῦς.

Εἰ δέ τις ἐννοήσειε καὶ τὰς ἱερατικὰς ἱκετείας, ὡς ἀπ' αὐτῶν τῶν θεῶν ἀνθρώποις κατεπέμφθησαν, καὶ ὅτι τῶν θεῶν αὐτῶν εἰσὶ συνθήματα καὶ μόνοις τοῖς θεοῖς ὑπάρχουσιν γνώριμοι, τρόπον τέ τινα καὶ αὗται τὴν αὐτὴν ἔχουσι δύναμιν τοῖς θεοῖς, πῶς ἂν ἔτι αἰσθητὴν τὴν τοιαύτην ἀλλ' οὐ θείαν καὶ νοερὰν ὑπολάβοι δικαίως εἶναι ἱκετείαν; ἢ τί ἂν εἰκότως πάθος εἰς αὐτὴν παρεμπίπτοι, εἰς ἣν οὐδ' ἀνθρώπινον ἦθος σπουδαῖον δύναται ῥᾳδίως ἀποκαθαίρεσθαι;

Ἀλλὰ τὰ προσαγόμενα φῂς ὡς πρὸς αἰσθητικοὺς καὶ ψυχικοὺς προσάγεται. εἴγε σωματικαῖς δυνάμεσι καὶ συνθέτοις μόναις συμπεπλήρωτο ἢ ὥσπερ εἰς ὑπηρεσίαν ὀργάνων ψιλὴν ὑποκειμέναις· ἐπεὶ δὲ καὶ ἀσωμάτων εἰδῶν μετέχουσι τὰ προσαγόμενα καὶ λόγων τινῶν καὶ μέτρων ἁπλουστέρων, κατ' αὐτὸ τοῦτο μόνον τῶν προσαγομένων

4. ἱερετικὰς D. 7. τέ] δέ A. 13. φῂς] φησὶν ACD. 15. συνεπλήρωτο AC. 17. τὰ προσαγόμενα om. AC.

bus brevi adducimur ad id cui supplicamus, et similitudinem ipsius acquirimus ex iugi cum eo conversatione, et pro imperfectione nostra divinam paulatim adsciscimus perfectionem.

Porro si quis consideraverit, quod preces sacrae ab ipsis diis hominibus missae sint, et quod ipsorum tesserae quaedam sint et a solis diis intelligantur, et quod parem ipsis diis quodammodo potentiam habeant, qui potest ultra credere huiusmodi supplicationes sensiles esse, non autem divinas merito et intellectuales? aut quae tandem possit in eas passio cadere, cuius puritatem facile aequare non possint mores hominum quantumlibet puri?

Sed quae adhibentur, inquis, in supplicationibus materialia sunt, et tamquam sensu et anima praeditis offeruntur. sane si ex potentiis corporeis et compositis solis et ad organorum ministerium duntaxat accommodatis constarent quae offeruntur; sed cum de speciebus incorporeis et proportionibus quibusdam et mensuris simplicioribus aliquatenus participent, penes hoc solum convenientia eorum quae

θεωρεῖται ἡ οἰκειότης, καὶ εἴ τις ἐγγύθεν ἢ πόρρωθεν συγγένεια ἢ ὁμοιότης πάρεστιν, ἐξαρκεῖ καὶ αὕτη πρὸς ἣν νυνὶ λέγομεν συναφήν· οὐδὲ γάρ ἐστί τι τῶν κατὰ βραχὺ προσῳκειωμένων τοῖς θεοῖς, ᾧ μὴ πάρεισιν εὐθὺς οἱ θεοὶ καὶ συνάπτονται. οὐκ ἄρα ὡς πρὸς αἰσθητικοὺς ἢ ψυχικούς, κατ' αὐτὰ δὲ τὰ θεῖα εἴδη καὶ πρὸς αὐτοὺς τοὺς θεοὺς γίγνεται αὐτῶν ἡ κατὰ τὸ δυνατὸν ἐπιπλοκή. ὥστε καὶ περὶ ταύτης τῆς διαιρέσεως ἀποχρώντως ἀντειρήκαμεν.

Ἔχεται δὲ ταύτης ἐν τοῖς σοῖς γράμμασιν ἡ σώματι 16
καὶ ἀσωματίᾳ θεοὺς δαιμόνων χωρίζουσα, μακρῷ δή τινι κοινοτέρα οὖσα τῆς πρότερον, καὶ τοσοῦτον ἀπέχουσα τοῦ τὰ ἰδιώματα αὐτῶν τῆς οὐσίας φράζειν, ὥστε μηδ' εἰκάσαι εἶναι περὶ αὐτῶν μηδὲ τῶν συμβεβηκότων αὐτοῖς ὁτιοῦν· οὐδὲ γὰρ αὐτὸ τοῦτο, εἰ ζῷά ἐστιν ἢ μὴ ζῷα καὶ πότερον ἐστέρηται ζωῆς ἢ οὐδ' ὅλως αὐτῆς δεῖται, δυνατὸν ἀπὸ τούτων κατανοῆσαι. ἔτι τοίνυν οὐδὲ πῶς λέγεται ταῦτα

2. πάρεισιν D. 6. εἴδη] ἤδη D. 8. καὶ om. O. || ἀποχράντως B. 11. δή] δέ D. 12. καινότερα B. 12. 13. τοῦ τὰ] ταῦτα AC, ταῦτα (corr. τοῦ τὰ) D. 13. μὴ δικάσαι D. || εἰκάσας B. 14. αὐτοῖς] νῦν τοῖς B, αὐτοῖς τοῖς margo B. 15. πότερον] πρότερον D.

offeruntur cum diis spectari debet, et si qua reperiatur sive maior sive minor affinitas et similitudo, sufficit illa ad quam quaerimus connexionem: nihil enim quidquam est vel minima accedens ad deos congruitate, quin ei sese dii statim praesentes accommodent. fit igitur connexus iste precum cum diis quatenus fas est, nec tamen deos tamquam sensibiles aut animales respiciunt, sed prout revera dii sunt, nec alio modo quam per illa quae in se latent divina semina. itaque de hac distinctione quod satis est respondimus.

Cohaeret cum isthac alia in scriptis tuis differentia, quae deos 16
a daemonibus per corporeitatem et incorporeitatem distinguit, longe quidem communior priori illa, quaeque tantum abest ut eorum proprietates essentiales exprimat, ut ex ea ne hariolari quidem sit de iis, nec de accidentibus eorum quibuscunque; ne hoc quidem, utrum animalia sint necne, et utrum vita priventur an ea omnino opus non habeant, possit quis ex his perspicere. amplius non est coniectura

τὰ ὀνόματα, εἴτε κοινῶς εἴτε κατὰ πλειόνων διαφερόντων, ῥᾴδιον συμβαλεῖν· εἰ μὲν κοινῶς, ἄτοπον, εἰ ὑπὸ ταὐτὸ γένος ἐστὶ τὸ ἀσώματον, γραμμή τε καὶ χρόνος καὶ θεός, δαίμονές τε καὶ πῦρ καὶ ὕδωρ, εἰ δὲ κατὰ πλειόνων, τί μᾶλλον θεοὺς ἢ σημεῖα δηλοῖς, ὅταν ἀσώματον εἴποις; ἢ ὅταν σῶμα, τίς οὐκ ἂν ὑπολάβοι γῆν μᾶλλον εἰρῆσθαι ἢ δαίμονας; οὐδὲ γὰρ αὐτὸ τοῦτο διώρισται, εἰ ἔχουσι σώματα ἢ ἐποχοῦνται σώμασιν ἢ χρῶνται αὐτοῖς ἢ περιέχουσιν αὐτὰ ἢ μόνον ταὐτό εἰσι σώματι. ἀλλ' ἴσως οὐ δεῖ πάνυ τι βασανίζειν τὴν ἀντιδιαστολὴν ταύτην· οὐδὲ γὰρ ὡς σαυτοῦ γνώμην ταύτην προτείνεις, ἀλλ' ὡς ἑτέρων αὐτὴν δόξαν ἀποφαίνεις.

17 Μεταλάβωμεν οὖν ἀντὶ ταύτης ἅπερ ἠπόρησας πρὸς τὴν παροῦσαν δόξαν. πῶς γὰρ δὴ ἥλιός τε καὶ σελήνη κατὰ τὸν σὸν λόγον καὶ οἱ ἐν οὐρανῷ ἐμφανεῖς ἔσονται θεοί, εἰ ἀσώματοί εἰσι μόνως οἱ θεοί; ὅτι δὴ οὐ περιέχονται ὑπὸ τῶν σωμάτων, φαμὲν ἡμεῖς, ἀλλὰ ταῖς θείαις

1. τὰ om. O. || εἴτε καὶ κατὰ A. 4. 5. τί μᾶλλον bis habet C. 5. εἴπης A. 6. ὅταν] ὅτε Fesch., om. O. || οὐκ ἂν] οὖν D. 9. ταὐτό εἰσι] sic Velsenius, τοῦτό ἐστι O. || σώματι] σώματα AC, σῶμα Fesch., σώμασι (corr. σώματι) D. 12. ἀποφαίνῃ AC, ἀποφαίνει BD. 16. εἰσι om. O. 17. φασμὲν D.

facilis quomodo haec nomina dicantur, utrum communiter an generice an de pluribus differentibus. si enim communiter, erit perabsurdum, si sub eodem genere sit incorporeo et linea et tempus et deus et genii et ignis et aqua. si de pluribus intelligi velis quando incorporeum dixeris, quid est cur deos potius quam puncta significare te existimem? aut quando corpus dixeris, quis non terram existimet significari potius quam genios? sed ne hoc quidem determinatur, utrum corpora habeant an corporibus inequitent an eis utantur an illa contineant, sive solum idem sint cum corpore. sed forte non oportet nimis severe examinare hanc distinctionem, quam non ut tuam sententiam proponebas, sed tamquam aliorum dogma protulisti.

17 Omissa ergo hac distinctione veniamus ad ea ventilanda quae tu in dubium vocas, occasione sumpta ex hac prae manibus opinione. quomodo enim sol et luna, prout tu disputas, et caelestis conspicuus chorus dii possunt haberi, si soli dii sint incorporei? dicimus igitur

ζωαῖς καὶ ἐνεργείαις περιέχουσι τὰ σώματα· καὶ ὅτι οὐ πρὸς τὸ σῶμα ἐπιστρέφονται, ἀλλὰ τὸ σῶμα ἔχουσιν ἐπιστρεφόμενον εἰς τὴν θείαν αἰτίαν· καὶ ὅτι τὴν νοερὰν αὐτῶν καὶ ἀσώματον τελειότητα οὐκ ἐμποδίζει τὸ σῶμα οὐδὲ μεταξὺ παρεμπῖπτον πράγματα αὐτῇ παρέχει· ὅθεν δὴ οὐδὲ δεῖται πλείονος ἐπιμελείας, αὐτοφυῶς δὲ καὶ τρόπον τινὰ αὐτοκινήτως συνέπεται οὐκ αὐτουργικῆς δεόμενον ἐπιστασίας, τῇ δὲ πρὸς τὸ ἓν τῶν θεῶν ἀναγωγῇ καὶ αὐτὸ ὑφ' ἑαυτοῦ μονοειδῶς συνεπαιρόμενον.

Εἰ δὲ δεῖ καὶ τοῦτο εἰπεῖν, τὸ οὐράνιον σῶμα πρὸς αὐτὴν τὴν ἀσώματον οὐσίαν τῶν θεῶν ἐστὶ συγγενέστατον. μιᾶς μὲν γὰρ ἐκείνης οὔσης αὐτὸ ἁπλοῦν ἐστίν, ἀμερίστου δὲ ἀδιαίρετον καὶ ἀτρέπτου ὡσαύτως ἀναλλοίωτον. εἰ δὲ καί τις τὰς ἐνεργείας αὐτῶν μονοειδῶς ὑποτίθεται, καὶ τοῦτο ἔχει μίαν τὴν περιφοράν· μιμεῖται δ' αὐτῶν καὶ τὴν ταὐτότητα τῇ κατ' αὐτὰ καὶ ὡσαύτως καὶ

1. *περιέχουσι*] sic AC, *παρέχουσι* O. 2. *ἐπιστρέφεται* (corr. *ἐπιστρέφονται*) A. 5. *μεταξὺ* om. D. ‖ *αὐτὴ* B. 8. *ἐπαστασίας* D. 13. *ἄτρεπτον* B. 14. *τις*] om. ABCD, sed AC ponunt post *ἐνεργείας*. ‖ *τὰς*] sic AC, om. O.

nos, quod caelestes sol et luna non continentur intra illa sua corpora, sed divinis suis vitis et operationibus continent ipsa corpora; quod ipsi ad corpora non propendent, sed corpora ad divinam causam adspirant; quod intellectualem et incorpoream eorum perfectionem non interpellat corpus, nec interventu suo quidquam ei molestiae affert, unde nec ulteriori cura indiget, sed sponte sua et sua ipsius motione, quodammodo sine omni peculiari gubernatione deos suos consequitur, et uniformiter a se ipso evehitur per vim illam anagogicam ad unitatem quae est in diis omnibus.

Immo si id addere oporteat, caeleste corpus valde est cognatum deorum immateriali substantiae. nam ut est illa una, sic hoc est simplex, illa indivisibilis, hoc quoque indivisibile; illa immutabilis, hoc invariabile. quod si quis deorum actiones uniformes esse asseveret, sane et hoc corpus unam habet circulationem: quinimo imitatur deorum identitatem et vitam divinam; illam aeterno suo motu, quo currit secundum eadem, ad eadem, eodem modo, iuxta eandem

ἔχει τοῖς ἱερεῦσι, τί δήποτε παθῶν τις αὐτῇ προσάπτει; οὐ γὰρ τοὺς ἀπαθεῖς καὶ καθαροὺς εἰς τὸ παθητὸν καὶ ἀκάθαρτον ἡ τοιαύτη κλῆσις κατασπᾷ· τοὐναντίον δὲ τοὺς ἐμπαθεῖς γενομένους ἡμᾶς διὰ τὴν γένεσιν καθαροὺς καὶ ἀτρέπτους ἀπεργάζεται.

Ἀλλ' οὐδ' αἱ προσκλήσεις διὰ πάθους συνάπτουσι τοῖς θεοῖς τοὺς ἱερέας· διὰ δὲ τῆς θείας φιλίας τῆς συνεχούσης τὰ πάντα κοινωνίαν παρέχουσι τῆς ἀδιαλύτου συμπλοκῆς· οὐχ ὡς τοὔνομα, ὥς γε οὕτω δόξαι, αὐτόθεν ἐμφαίνει, τὸν νοῦν τῶν θεῶν προσκλίνουσαι τοῖς ἀνθρώποις, ἀλλὰ κατ' αὐτὸ τὸ ἀληθὲς ὡς βούλεται ἀναδιδάσκειν, τὴν γνώμην τῶν ἀνθρώπων ἐπιτηδείαν ἀπεργαζόμεναι πρὸς τὸ μετέχειν τῶν θεῶν, καὶ ἀνάγουσαι αὐτὴν πρὸς τοὺς θεοὺς καὶ διὰ πειθοῦς ἐμμελοῦς συναρμόζουσαι. ὅθεν δὴ καὶ ὀνόματα θεῶν ἱεροπρεπῆ καὶ τἆλλα θεῖα συνθήματα ἀναγωγὰ ὄντα πρὸς τοὺς θεοὺς συνάπτειν αὐτὰς δύναται.

1. παθῶν] πάθη ACD. 3. κλῆσις om. ACD. 5. ἀπεργάζεσθαι B. 6. οὐδὲ αἱ A. || προσκλίσεις Gale not. cf. infra v. 10. προσκλίνουσαι. 7. θείας] sic ACD, om. O. 9. οὐχ ὡς] sic ACD, οὐχ ὅπως O. || τὸ ὄνομα AD.

et ad principium divinum unionem, quid tandem patibile quisquam his affingere possit? neque enim deos puros et impatibiles istiusmodi impurae preces ad nos patibiles et impuros attraherent, e contra vero nos per genesin impuros et patibiles factos ad puritatem et ad immutabilitatem formant.

Sed neque invocationes diis per passionem connectunt sacerdotes, quinimo per amicitiam divinam quae universa continet indissolubilem connexionis communionem praestant. non quod inclinant ad homines deorum mentem, quemadmodum existimare nomen ipsum doceat, sed ut ipsa veritas docere vult, hominum voluntatem idoneam efficiunt ad participandos deos, ipsam ad eos adducentes et per suadelam dulcissimam connectentes. unde etiam et nomina deorum sacra, et cetera divina symbola, eo quod anagogica sunt, valent invocationes diis annectere.

Καὶ δὴ καὶ αἱ τῆς μήνιδος ἐξιλάσεις ἔσονται σαφεῖς, 13
ἐὰν τὴν μῆνιν τῶν θεῶν καταμάθωμεν. αὕτη τοίνυν οὐχ, ὡς δοκεῖ τισι, παλαιά τίς ἐστι καὶ ἔμμονος ὀργή, ἀλλὰ τῆς ἀγαθουργοῦ κηδεμονίας περὶ θεῶν ἀποστροφή, ἣν αὐτοὶ ἑαυτοὺς ἀποστρέψαντες, ὥσπερ ἐν μεσημβρίᾳ φωτὸς κατακαλυψάμενοι, σκότος ἑαυτοῖς ἐπηγάγομεν καὶ ἀπεστερήσαμεν ἑαυτοὺς τῆς τῶν θεῶν ἀγαθῆς δόσεως. δύναται οὖν ἡ ἐξίλασις ἡμᾶς ἐπιστρέψαι πρὸς τὴν κρείττονα μετουσίαν, καὶ τὴν ἀνεσταλμένην ἀφ' ἡμῶν θείαν κηδεμονίαν εἰς κοινωνίαν προσαγαγεῖν, καὶ συνδῆσαι συμμέτρως τὰ μετεχόμενά τε καὶ μεταλαμβάνοντα πρὸς ἄλληλα. τοσοῦτον οὖν ἀφέστηκε τοῦ διὰ πάθους ἐπιτελεῖν τὸ ἑαυτῆς ἔργον, ὥστε καὶ ἡμᾶς ἀφίστησι τῆς ἐμπαθοῦς καὶ ταραχώδους ἀπὸ τῶν θεῶν ἀποστροφῆς.

Αἱ δ' ἐκθύσεις ὅ τι πάρεστι κακὸν ἐν τοῖς περὶ γῆν τόποις ἰατρεύουσι καὶ παρασκευάζουσιν, ὥστε μηδεμίαν τροπὴν ἢ πάθος τι περὶ ἡμᾶς γενέσθαι. εἴτε οὖν διὰ θεῶν εἴτε διὰ δαιμόνων ἡ τοιαύτη γένοιτο, βοηθοὺς

4. ἀγαθουργοῦ] sic AC, ἀγαθοεργοῦ O. || κηδαιμονίας B. || περὶ] παρὰ margo A. 5. αὐτοὶ] αὐτὸς B. || ἑαυτοῖς O. 6. καταλυψάμενοι C. || ἐπιγάγομεν B. 7. ἀποστερήσωμεν B. 10. προαγαγεῖν ABD. 15. ἐκθέσεις B. 17. 18. εἴτε οὖν διὰ θεῶν om. C. 18. γίγνοιτο ACD.

Sed et irae divinae procurationes manifestae erunt, si recte intelligamus qualis sit deorum ira. atque ea quidem non est, ut nonnullis videtur, inveterata quaedam et permanens iracundia, sed beneficae deorum curae aversio quaedam, quam quidem curam ubi nosmetipsi averterimus a nobis, tamquam a luce meridiei nos abscondentes, tenebras nobis accersimus, et bona deorum indulgentia nos ipsi privamus. potest autem placatio nos iterum restituere in participationem divinam, et providentiam divinam a nobis divulsam iterum ad se communicandum invitare, et debito modo participantes cum participatis mutuo connectere. tantum igitur abest ut patibilitatis interventu opus suum expleat illa placatio, ut nos etiam revocet ab omni aversione a diis, quae passionibus et perturbationibus plena est.

Lustrationes autem, quoties locis terrae vicinis aliquid mali in- 13
cubat, medentur et tuentur, ut nulla mutatio aut passio possit in nos

ἐπικαλεῖ τε καὶ ἀλεξικάκους καὶ σωτῆρας τούτους, καὶ δι' αὐτῶν ἀποδιοπομπεῖται πᾶσαν ἐπιοῦσαν ἀπὸ τῶν παθημάτων βλάβην. οἱ δὴ τὰς πληγὰς ἀποτρέποντες τὰς γενεσιουργοὺς καὶ φυσικὰς οὐκ ἔστιν ὅπως ποτὲ διὰ παθῶν αὐτὰς ἀπείργουσιν. εἴ τε νενόμικέ τις τὴν ἀπόληψιν τῆς προστασίας ἐπεισάγειν τινὰ αὐτόματον βλάβην, ἡ διὰ τῆς ἐκθύσεως πειθὼ τῶν κρειττόνων εἰς κηδεμονίαν ἀνακαλουμένη πάλιν αὐτῶν τὴν εὐμένειαν καὶ ἀποτρέπουσα τὴν στέρησιν παντελῶς ἂν εἴη καθαρὰ καὶ ἄτρεπτος.

14 Ἔτι τοίνυν αἱ λεγόμεναι θεῶν ἀνάγκαι τὸ ὅλον τοῦτο θεῶν ἴδιαι ἀνάγκαι καὶ ὡς ἐπὶ θεῶν γίγνονται. οὐκ ἄρα ὡς ἔξωθεν οὐδ' ὡς κατὰ βίαν, ἀλλ' ὡς τἀγαθὸν ὠφελεῖ ἐξ ἀνάγκης, οὕτως ἔχουσι τῷ πάντῃ οὑτωσὶ καὶ μηδαμῶς ἄλλως διακεῖσθαι. βουλήσει ἄρα ἀγαθοειδεῖ συγκέκραται αὕτη καὶ ἐρωτός ἐστι φίλη ἡ τοιαύτη ἀνάγκη, τάξει τε

1. ἐπικαλεῖ τε] ἐπικαλεῖται ACD. 1. 2. δι' αὐτῶν] διὰ τῶν D. 5. ἀπείργουσιν] sic AC, ἀπείργειν O. ‖ ἀπόλειψιν Gale not. 6. αὐτόματον] ἀσώματον BD. 7. κηδαιμονίαν C. 8. αὐτῷ A. ‖ ἀποπρέπουσα O. 10. 11. τὸ ὅλον — ἀνάγκαι om. D et habet in marg. καὶ ὅλον τοῦτο θεῶν εἰσὶν ἀνάγκαι. 12. βίαν] μίαν D. ‖ ὠφέλει O. 13. τῷ] τὸ τῷ A, τὸ B.

incurrere. sive igitur per deos sive per daemones huiusmodi fiat lustratio, eos sane tamquam auxiliatores et malorum averruncatores et servatores invocat, et per eos procul ablegat omnem quae a passionibus possit ingruere noxam. interim qui plagas averruncant in genesin et naturam propendentes, non id faciunt per passiones utique. si quis autem existimet ipsam divinae providentiae a nobis interceptionem noxam sponte sua adferre, sane lustratio quae flectit iterum ad nostri curam deos, quae reconciliat eorum benevolentiam et privationem illam tollit, omnino ipsa pura atque immutabilis censeri debet.

14 Quod autem spectat ad necessitates quas aiunt deorum, summa est: necessitates sunt admodum propriae diis, et fiunt ita uti dignum est diis. quare nec ab extra nec tamquam per vim necessitantur, sed ut bonum prodest ex necessitate, sic se habent semper, atque ita ut nec alio modo velint se habere. haec ergo necessitas componitur ex voluntate ad bonum spectante, et dilectionis socia est, et per ordinem diis congruum identitatem et immutabilitatem habet,

οἰκείᾳ θεῶν ἔχει τὸ ταὐτὸν καὶ ἄτρεπτον, καὶ ὅτι κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἑνὶ ὅρῳ συνέχεται, καὶ ἐμμένει τούτῳ καὶ οὐδέποτε ἐξίσταται. διὰ πάντα δὴ οὖν ταῦτα τὸ ἐναντίον συμβαίνει οὗ σὺ συνελογίσω. ἀκήλητον καὶ ἀπαθὲς καὶ ἀβίαστον συμβαίνει εἶναι τὸ θεῖον, εἴπερ ὄντως ἀληθεῖς εἰσὶν αἱ τοιαίδε ἐν τῇ θεουργίᾳ δυνάμεις, οἵας ἡμεῖς ἀπεδείξαμεν.

Μετὰ δὲ ταύτην ἐπ' ἄλλην μεταβαίνεις ἀντιδιαίρεσιν 15
θεῶν πρὸς δαίμονας· λέγεις γὰρ θεοὺς εἶναι νόας καθαρούς, ὡς ἐν ὑποθέσει προτείνων τὴν δόξαν ἢ ὥς τισιν ἀρέσκουσαν αὐτὴν ἀφηγούμενος, νοῦ δὲ μετόχους ψυχικοὺς ὄντας τοὺς δαίμονας ἀπολογιζόμενος. ὅτι μὲν οὖν φιλοσόφων τοῖς πολλοῖς ταῦτα δοκεῖ, οὐδ' ἐμὲ λέληθε· πρὸς δὲ σὲ οὐκ οἶμαι δεῖν ἀποκρύπτεσθαι τὸ φαινόμενον ἀληθές. ὑποσυγκέχυται γὰρ πάντα τὰ τοιαῦτα δοξάσματα, ἀπὸ μὲν τῶν δαιμόνων ἐπὶ τὰς ψυχὰς ἀποφερόμενα (νοῦ

1. τὸ ταὐτὸν] sic D, τοσαυτὸν O. 2. καὶ ἐμμένει] sic AC, ἐμμένει O. 4. σὺ om. O. 7. ἀπεδείξαμεν] „Ubi sodes?“ Gale. 8. μεταβαίνει B. ‖ ἀντιαίρεσιν B. 9. δαίμονα B. ‖ νόους καθαρὰς B. 10. ὡς ἐν] ὡς ὁ ἐν O. 11. ψυχικὰς AC. 16. ἀπὸ μὲν τῶν δαιμόνων ἐπὶ] ἀπὸ δαιμόνων μὲν εἰς O. ‖ ἀποφερόμενοι A, om. O.

et quoniam secundum idem, eodemque modo intra eosdem fines continetur, in eodem statu permanet et nunquam evagatur. per haec igitur omnia contrarium ac tu opinabaris accidit. est enim inflexibile impatibile et coactionis nescium divinum numen, si revera tales sint in theurgia potentiae, quales nos demonstravimus.

Post hanc distinctionem patibilis et impatibilis transis ad aliam 15
inter deos et daemonas; ais enim deos esse intelligentias puras; sed eam opinionem per modum suppositionis in medium affers, et tamquam aliorum placitum non tuum enarras; daemonas autem mentis esse participes, sed et animales affirmas. et sane quod de his ita plerisque philosophorum videatur non sum nescius: te vero quid mihi verum videatur non celabo. omnia huiusmodi dogmata magnopere se ipsa confundunt, nam a geniis ad animas quoque pertingunt, ut quae intellectus quoque sunt participes, a diis vero abeunt ad

γὰρ μέτοχοί εἰσιν αὗται) ἀπὸ δὲ τῶν θεῶν ἐπὶ τὸν κατ' ἐνέργειαν ἄυλον νοῦν ἀποπίπτοντα, οὗ δὴ παντελῶς οἱ θεοὶ προέχουσι. τί οὖν δεῖ ταῦτα τὰ ἰδιώματα ἀπονέμειν, ἅπερ οὐδ' ὅλως εἰσὶν αὐτοῖς οἰκεῖα; τὸ μὲν δὴ τῆς διαιρέσεως (πάρεργον γάρ ἐστιν ἄλλως) μέχρι τοσούτου μνήμης ἀξιούσθω. ἃ δὲ καὶ πρὸς ταύτην ἀπορεῖς, ἐπείπερ ἅπτεται τῆς ἱερατικῆς θεραπείας, λόγου τυγχανέτω τοῦ προσήκοντος.

Ἔτι γὰρ μᾶλλον ἀκλίτους καὶ ἀμιγεῖς αἰσθητοῖς εἰπὼν εἶναι τοὺς καθαροὺς νόας ἀπορεῖς, εἰ δεῖ πρὸς αὐτοὺς εὔχεσθαι. ἐγὼ δ' οὐδ' ἄλλοις τισὶν ἡγοῦμαι δεῖν εὔχεσθαι. τὸ γὰρ θεῖον ἐν ἡμῖν καὶ νοερὸν καὶ ἕν, ἢ εἰ νοητὸν αὐτὸ καλεῖν ἐθέλεις, ἐγείρεται τότε ἐναργῶς ἐν ταῖς εὐχαῖς, ἐγρόμενον δὲ ἐφίεται τοῦ ὁμοίου διαφερόντως καὶ συνάπτεται πρὸς αὐτοτελειότητα. εἰ δέ σοι ἄπιστον εἶναι καταφαίνεται, πῶς φωνῆς ἀκούει τὸ ἀσώματον καὶ ὡς αἰσθήσεως προσδεήσεται καὶ δι' ὤτων τὰ λεγόμενα ὑφ' ἡμῶν ἐν ταῖς προσευχαῖς, ἑκὼν ἐπιλανθάνῃ τῆς τῶν πρώτων

3. *δεῖ*] *δὴ* D. ‖ *τὰ* addidit Velsenius. 4. *εἰσὶν*] *ἐστὶν* AC. 5. *ἄλλως*] *ἄγγεως* A. 9. *ἀκλήτους* B, *ἀκηλήτους* Gale not. 11. *ἐγὼ οὐδ'* D. 12. *νοερὸν*] sic Gale not. et Tail. *νοητὸν* O. 13. *ἐθέλοις* CD. 18. *προσευχαῖς*] *εὐχαῖς* AD. ‖ *ἐπιλανθάνει* A, *ἐπιλανθάνει* (corr. *ἐπιλανθάνῃ*) D.

intellectum actu purum a materia, super quem tamen dii omnino evehuntur. quid igitur opus est haec iis tribuere, quae nullo modo iis sunt propria? sed de hac distinctione (nam supervacaneum foret plura) hactenus meminisse sufficiat: quae vero occasione huius distinctionis in dubium vocas, quandoquidem ad sacerdotalem cultum pertinent, sermone iusto dignabimur.

Postquam ergo inflexiles et sensibilibus rebus impermiscibiles dixisti mentes puras, dubitas num oporteat ad eas preces nuncupare. ego vero censeo his, nullis aliis supplicandum esse. nam quod in nobis est divinum, quod intellectuale est, quod unum, vel si mavis vocare intelligibile, expergiscitur plane inter precandum, experrectum vero appetit vehementer quod sibi simile est, et copulatur suae ipsius perfectioni. verum si tibi incredibile videatur, ut res incorporea vocem percipere possit, si contendas sensu indigere et auribus, ut

αἰτίων περιουσίας ἔν τε τῷ εἰδέναι καὶ τῷ περιέχειν ἐν ἑαυτοῖς τὰ ὑφ' ἑαυτῶν πάντα· ἐν ἑνὶ γὰρ δήπου συνείληφεν ἐν ἑαυτοῖς ὁμοῦ τὰ ὅλα· οὔτε δὴ οὖν διὰ δυνάμεων οὔτε δι' ὀργάνων εἰσδέχονται εἰς ἑαυτοὺς οἱ θεοὶ τὰς εὐχάς, ἐν ἑαυτοῖς δὲ περιέχουσι τῶν ἀγαθῶν τὰς ἐνεργείας τῶν λόγων, καὶ μάλιστα ἐκείνων οἵτινες διὰ τῆς ἱερᾶς ἁγιστείας ἐνιδρυμένοι τοῖς θεοῖς καὶ συνηνωμένοι τυγχάνουσιν· ἀτεχνῶς γὰρ τηνικαῦτα αὐτὸ τὸ θεῖον πρὸς ἑαυτὸ σύνεστι, καὶ οὐδ' ὡς ἕτερον πρὸς ἕτερον κοινωνεῖ τῶν ἐν ταῖς εὐχαῖς νοήσεων.

Ἀλλ' αἱ λιτανεῖαι, ὡς φῄς, ἀλλότριαί εἰσι προσφέρεσθαι πρὸς τὴν τοῦ νοῦ καθαρότητα. οὐδαμῶς· δι' αὐτὸ γὰρ τοιοῦτο, διότι τῇ δυνάμει καὶ καθαρότητι καὶ τοῖς πᾶσι τῶν θεῶν ἀπολειπόμεθα, ἐγκαιρότατόν ἐστι πάντων ἱκετεύειν αὐτοὺς εἰς ὑπερβολήν. ἡ μὲν γὰρ συναίσθησις τῆς περὶ ἑαυτοὺς οὐδενείας, εἴ τις ἡμᾶς παραβάλλων τοῖς θεοῖς κρίνοι, ποιεῖ τρέπεσθαι πρὸς τὰς λιτὰς αὐτοφυῶς· ἀπὸ δὲ τῆς ἱκετείας κατὰ βραχὺ πρὸς τὸ ἱκε-

2. 3. τὰ ὑφ' — ἑαυτοῖς sic AC, om. O. 3. οὔτε] sic ACD, οὐ O. 4. τὰς] τὰ O. 6. τῶν om. O. 9. πρὸς ἕτερον] sic AC, πρὸς τὸ ἕτερον D, om. O. 12. καθαρότητα .... οὐδαμῶς .... δι' A.

intelligantur quae a nobis dicuntur in precibus, libens oblivisceris quae sit primarum causarum praestantia, tum quod cognoscant tum quod contineant quae iis subiacent; omnia enim in se simul complectuntur. non igitur per potentias aliquas aut organa dii preces ad se recipiunt, immo vero in se continent orationum religiosorum hominum effecta, et eorum praecipue qui per puritatem et religionem diis ipsis consecrati sunt et uniti; tunc enim plane divinum numen sibi ipsi praesens est, nec ut alienum quid versus alienum precum percipit sensa.

Atqui, inquis tu, ut supplicationes ei offerantur, mentis puritate alienum est. nullo modo. sed ob hanc ipsam causam, quoniam et potentia et puritate et ceteris rebus omnibus dii nos exuperant, opportunissime facimus, si iis supplicemus quam possumus maxime. propria enim conscientia quod nihili sumus, si quis nos cum diis conferat, naturaliter nos ad preces vertit: iam vero a supplicationi-

τευόμενον ἀναγόμεθα, καὶ τὴν πρὸς αὐτὸ ὁμοιότητα ἀπὸ τοῦ συνεχῶς αὐτῷ προσομιλεῖν κτώμεθα, τελειότητά τε θείαν ἠρέμα προσλαμβάνομεν ἀπὸ τοῦ ἀτελοῦς.

Εἰ δέ τις ἐννοήσειε καὶ τὰς ἱερατικὰς ἱκετείας, ὡς ἀπ' αὐτῶν τῶν θεῶν ἀνθρώποις κατεπέμφθησαν, καὶ ὅτι τῶν θεῶν αὐτῶν εἰσὶ συνθήματα καὶ μόνοις τοῖς θεοῖς ὑπάρχουσιν γνώριμοι, τρόπον τέ τινα καὶ αὗται τὴν αὐτὴν ἔχουσι δύναμιν τοῖς θεοῖς, πῶς ἂν ἔτι αἰσθητὴν τὴν τοιαύτην ἀλλ' οὐ θείαν καὶ νοερὰν ὑπολάβοι δικαίως εἶναι ἱκετείαν; ἢ τί ἂν εἰκότως πάθος εἰς αὐτὴν παρεμπίπτοι, εἰς ἣν οὐδ' ἀνθρώπινον ἦθος σπουδαῖον δύναται ῥᾳδίως ἀποκαθαίρεσθαι;

Ἀλλὰ τὰ προσαγόμενα φῂς ὡς πρὸς αἰσθητικοὺς καὶ ψυχικοὺς προσάγεται. εἴγε σωματικαῖς δυνάμεσι καὶ συνθέτοις μόναις συμπεπλήρωτο ἢ ὥσπερ εἰς ὑπηρεσίαν ὀργάνων ψιλὴν ὑποκειμέναις· ἐπεὶ δὲ καὶ ἀσωμάτων εἰδῶν μετέχουσι τὰ προσαγόμενα καὶ λόγων τινῶν καὶ μέτρων ἁπλουστέρων, κατ' αὐτὸ τοῦτο μόνον τῶν προσαγομένων

4. ἱερετικὰς D. 7. τέ] δέ A. 13. φῂς] φησὶν ACD. 15. συνεπλήρωτο AC. 17. τὰ προσαγόμενα om. AC.

bus brevi adducimur ad id cui supplicamus, et similitudinem ipsius acquirimus ex iugi cum eo conversatione, et pro imperfectione nostra divinam paulatim adsciscimus perfectionem.

Porro si quis consideraverit, quod preces sacrae ab ipsis diis hominibus missae sint, et quod ipsorum tesserae quaedam sint et a solis diis intelligantur, et quod parem ipsis diis quodammodo potentiam habeant, qui potest ultra credere huiusmodi supplicationes sensiles esse, non autem divinas merito et intellectuales? aut quae tandem possit in eas passio cadere, cuius puritatem facile aequare non possint mores hominum quantumlibet puri?

Sed quae adhibentur, inquis, in supplicationibus materialia sunt, et tamquam sensu et anima praeditis offeruntur. sane si ex potentiis corporeis et compositis solis et ad organorum ministerium duntaxat accommodatis constarent quae offeruntur; sed cum de speciebus incorporeis et proportionibus quibusdam et mensuris simplicioribus aliquatenus participent, penes hoc solum convenientia eorum quae

θεωρεῖται ἡ οἰκειότης, καὶ εἴ τις ἐγγύθεν ἢ πόρρωθεν συγγένεια ἢ ὁμοιότης πάρεστιν, ἐξαρκεῖ καὶ αὕτη πρὸς ἣν νυνὶ λέγομεν συναφήν· οὐδὲ γάρ ἐστί τι τῶν κατὰ βραχὺ προσῳκειωμένων τοῖς θεοῖς, ᾧ μὴ πάρεισιν εὐθὺς οἱ θεοὶ καὶ συνάπτονται. οὐκ ἄρα ὡς πρὸς αἰσθητικοὺς ἢ ψυχικούς, κατ' αὐτὰ δὲ τὰ θεῖα εἴδη καὶ πρὸς αὐτοὺς τοὺς θεοὺς γίγνεται αὐτῶν ἡ κατὰ τὸ δυνατὸν ἐπιπλοκή. ὥστε καὶ περὶ ταύτης τῆς διαιρέσεως ἀποχρώντως ἀντειρήκαμεν.

Ἔχεται δὲ ταύτης ἐν τοῖς σοῖς γράμμασιν ἡ σώματι 16 καὶ ἀσωματίᾳ θεοὺς δαιμόνων χωρίζουσα, μακρῷ δή τινι κοινοτέρα οὖσα τῆς πρότερον, καὶ τοσοῦτον ἀπέχουσα τοῦ τὰ ἰδιώματα αὐτῶν τῆς οὐσίας φράζειν, ὥστε μηδ' εἰκάσαι εἶναι περὶ αὐτῶν μηδὲ τῶν συμβεβηκότων αὐτοῖς ὁτιοῦν· οὐδὲ γὰρ αὐτὸ τοῦτο, εἰ ζῷά ἐστιν ἢ μὴ ζῷα καὶ πότερον ἐστέρηται ζωῆς ἢ οὐδ' ὅλως αὐτῆς δεῖται, δυνατὸν ἀπὸ τούτων κατανοῆσαι. ἔτι τοίνυν οὐδὲ πῶς λέγεται ταῦτα

2. πάρεσιν D. 6. εἴδη] ἤδη D. 8. καὶ om. O. || ἀποχράντως B. 11. δή] δέ D. 12. καινότερα B. 12. 13. τοῦ τὰ] ταῦτα AC, ταῦτα (corr. τοῦ τὰ) D. 13. μὴ δικάσαι D. || εἰκάσας B. 14. αὐτοῖς] νῦν τοῖς B, αὐτοῖς τοῖς margo B. 15. πότερον] πρότερον D.

offeruntur cum diis spectari debet, et si qua reperiatur sive maior sive minor affinitas et similitudo, sufficit illa ad quam quaerimus connexionem: nihil enim quidquam est vel minima accedens ad deos congruitate, quin ei sese dii statim praesentes accommodent. fit igitur connexus iste precum cum diis quatenus fas est, nec tamen deos tamquam sensibiles aut animales respiciunt, sed prout revera dii sunt, nec alio modo quam per illa quae in se latent divina semina. itaque de hac distinctione quod satis est respondimus.

Cohaeret cum isthac alia in scriptis tuis differentia, quae deos 16 a daemonibus per corporeitatem et incorporeitatem distinguit, longe quidem communior priori illa, quaeque tantum abest ut eorum proprietates essentiales exprimat, ut ex ea ne hariolari quidem sit de iis, nec de accidentibus eorum quibuscunque; ne hoc quidem, utrum animalia sint necne, et utrum vita priventur an ea omnino opus non habeant, possit quis ex his perspicere. amplius non est coniectura

τὰ ὀνόματα, εἴτε κοινῶς εἴτε κατὰ πλειόνων διαφερόντων, ῥᾴδιον συμβαλεῖν· εἰ μὲν κοινῶς, ἄτοπον, εἰ ὑπὸ ταὐτὸ γένος ἐστὶ τὸ ἀσώματον, γραμμή τε καὶ χρόνος καὶ θεός, δαίμονές τε καὶ πῦρ καὶ ὕδωρ, εἰ δὲ κατὰ πλειόνων, τί μᾶλλον θεοὺς ἢ σημεῖα δηλοῖς, ὅταν ἀσώματον εἴποις; ἢ ὅταν σῶμα, τίς οὐκ ἂν ὑπολάβοι γῆν μᾶλλον εἰρῆσθαι ἢ δαίμονας; οὐδὲ γὰρ αὐτὸ τοῦτο διώρισται, εἰ ἔχουσι σώματα ἢ ἐποχοῦνται σώμασιν ἢ χρῶνται αὐτοῖς ἢ περιέχουσιν αὐτὰ ἢ μόνον ταὐτό εἰσι σώματι. ἀλλ' ἴσως οὐ δεῖ πάνυ τι βασανίζειν τὴν ἀντιδιαστολὴν ταύτην· οὐδὲ γὰρ ὡς σαυτοῦ γνώμην ταύτην προτείνεις, ἀλλ' ὡς ἑτέρων αὐτὴν δόξαν ἀποφαίνεις.

17 Μεταλάβωμεν οὖν ἀντὶ ταύτης ἅπερ ἠπόρησας πρὸς τὴν παροῦσαν δόξαν. πῶς γὰρ δὴ ἥλιός τε καὶ σελήνη κατὰ τὸν σὸν λόγον καὶ οἱ ἐν οὐρανῷ ἐμφανεῖς ἔσονται θεοί, εἰ ἀσώματοί εἰσι μόνως οἱ θεοί; ὅτι δὴ οὐ περιέχονται ὑπὸ τῶν σωμάτων, φαμὲν ἡμεῖς, ἀλλὰ ταῖς θείαις

1. τὰ om. O. || εἴτε καὶ κατὰ A. 4. 5. τί μᾶλλον bis habet C. 5. εἴπῃς A. 6. ὅταν] ὅτε Fesch., om. O. || οὐκ ἂν] οὖν D. 9. ταὐτό εἰσι] sic Velsenius, τοῦτό ἐστι O. || σώματι] σώματα AC, σῶμα Fesch., σώμασι (corr. σώματι) D. 12. ἀποφαίνῃ AC, ἀποφαίνει BD. 16. εἰσι om. O. 17. φασμὲν D.

facilis quomodo haec nomina dicantur, utrum communiter an generice an de pluribus differentibus. si enim communiter, erit perabsurdum, si sub eodem genere sit incorporeo et linea et tempus et deus et genii et ignis et aqua. si de pluribus intelligi velis quando incorporeum dixeris, quid est cur deos potius quam puncta significare te existimem? aut quando corpus dixeris, quis non terram existimet significari potius quam genios? sed ne hoc quidem determinatur, utrum corpora habeant an corporibus inequitent an eis utantur an illa contineant, sive solum idem sint cum corpore. sed forte non oportet nimis severe examinare hanc distinctionem, quam non ut tuam sententiam proponebas, sed tamquam aliorum dogma protulisti.

17 Omissa ergo hac distinctione veniamus ad ea ventilanda quae tu in dubium vocas, occasione sumpta ex hac prae manibus opinione. quomodo enim sol et luna, prout tu disputas, et caelestis conspicuus chorus dii possunt haberi, si soli dii sint incorporei? dicimus igitur

ζωαῖς καὶ ἐνεργείαις περιέχουσι τὰ σώματα· καὶ ὅτι οὐ πρὸς τὸ σῶμα ἐπιστρέφονται, ἀλλὰ τὸ σῶμα ἔχουσιν ἐπιστρεφόμενον εἰς τὴν θείαν αἰτίαν· καὶ ὅτι τὴν νοερὰν αὐτῶν καὶ ἀσώματον τελειότητα οὐκ ἐμποδίζει τὸ σῶμα οὐδὲ μεταξὺ παρεμπῖπτον πράγματα αὐτῇ παρέχει· ὅθεν δὴ οὐδὲ δεῖται πλείονος ἐπιμελείας, αὐτοφυῶς δὲ καὶ τρόπον τινὰ αὐτοκινήτως συνέπεται οὐκ αὐτουργικῆς δεόμενον ἐπιστασίας, τῇ δὲ πρὸς τὸ ἓν τῶν θεῶν ἀναγωγῇ καὶ αὐτὸ ὑφ' ἑαυτοῦ μονοειδῶς συνεπαιρόμενον.

Εἰ δὲ δεῖ καὶ τοῦτο εἰπεῖν, τὸ οὐράνιον σῶμα πρὸς αὐτὴν τὴν ἀσώματον οὐσίαν τῶν θεῶν ἐστὶ συγγενέστατον. μιᾶς μὲν γὰρ ἐκείνης οὔσης αὐτὸ ἁπλοῦν ἐστιν, ἀμερίστου δὲ ἀδιαίρετον καὶ ἀτρέπτου ὡσαύτως ἀναλλοίωτον. εἰ δὲ καί τις τὰς ἐνεργείας αὐτῶν μονοειδῶς ὑποτίθεται, καὶ τοῦτο ἔχει μίαν τὴν περιφοράν· μιμεῖται δ' αὐτῶν καὶ τὴν ταὐτότητα τῇ κατ' αὐτὰ καὶ ὡσαύτως καὶ

1. περιέχουσι] sic AC, παρέχουσι O. 2. ἐπιστρέφεται (corr. ἐπιστρέφονται) A. 5. μεταξὺ om. D. || αὐτὴ B. 8. ἐπαστασίας D. 13. ἄτρεπτον B. 14. τις] om. ABCD, sed AC ponunt post ἐνεργείας. || τὰς] sic AC, om. O.

nos, quod caelestes sol et luna non continentur intra illa sua corpora, sed divinis suis vitis et operationibus continent ipsa corpora; quod ipsi ad corpora non propendent, sed corpora ad divinam causam adspirant; quod intellectualem et incorpoream eorum perfectionem non interpellat corpus, nec interventu suo quidquam ei molestiae affert, unde nec ulteriori cura indiget, sed sponte sua et sua ipsius motione, quodammodo sine omni peculiari gubernatione deos suos consequitur, et uniformiter a se ipso evehitur per vim illam anagogicam ad unitatem quae est in diis omnibus.

Immo si id addere oporteat, caeleste corpus valde est cognatum deorum immateriali substantiae. nam ut est illa una, sic hoc est simplex, illa indivisibilis, hoc quoque indivisibile; illa immutabilis, hoc invariabile. quod si quis deorum actiones uniformes esse asseveret, sane et hoc corpus unam habet circulationem: quinimo imitatur deorum identitatem et vitam divinam; illam aeterno suo motu, quo currit secundum eadem, ad eadem, eodem modo, iuxta eandem

πρὸς τὰ αὐτὰ καὶ καθ' ἕνα λόγον καὶ μίαν τάξιν ἀιδίῳ κινήσει, καὶ τὴν θείαν ζωὴν τῇ συμφύτῳ τοῖς αἰθερίοις σώμασι ζωῇ. διόπερ οὐδ' ὡς ἐξ ἐναντίων καὶ διαφερόντων οὔτε τὸ σῶμα αὐτῶν συγκέκραται, ὥσπερ δὴ τὸ ἡμέτερον συνίσταται σῶμα, οὔτε ἡ ψυχὴ πρὸς τὸ σῶμα συνεπάγη εἰς ἓν ἐκ δύο ζῶον, ἀλλ' ὅμοια πάντη καὶ συνηνωμένα δι' ὅλων τε ὅλα καὶ μονοειδῆ καὶ ἀσύνθετα τὰ κατ' οὐρανὸν τῶν θεῶν ἐστι ζῶα, τῶν μὲν γὰρ κρειττόνων ἐν αὐτοῖς ἀεὶ ὑπερεχόντων ὡσαύτως, τῶν δὲ ἐλαττόνων ἐξηρτημένων τῆς τῶν προτέρων ἀρχῆς καὶ οὐδέποτε αὐτὴν εἰς ἑαυτὰ κατατεινόντων, τῶν δ' ὅλων εἰς μίαν σύνταξιν καὶ μίαν συντέλειαν συναγομένων, καὶ τρόπον τινὰ πάντων ἀσωμάτων ὄντων καὶ θεῶν δι' ὅλου, διότι τὸ θεῖον εἶδος ἐν αὐτοῖς ἐπικρατοῦν δι' ὅλων τὴν αὐτὴν πανταχοῦ ὅλην μίαν οὐσίαν ἐντίθησιν.

Οὕτω μὲν οὖν οἱ κατ' οὐρανὸν ἐμφανεῖς θεοί τέ εἰσι
18 πάντες καὶ τρόπον τινὰ ἀσώματοι· ἡ δ' ἑξῆς ἐπιζήτησις ἡ σὴ διαπορεῖ, πῶς αὐτῶν οἱ μέν εἰσιν ἀγαθοποιοί, οἱ δὲ

1. 2. ἀιδίῳ κινήσει] sic Gale not., ἀιδίου κινήσεως O. 3. ζωήν B. 3. 4. διαφερόντως BD. 4. οὔτε] οὔτω D. 5. 6. συνεπάγει A. 6. ζῶων D. 7. ὅλων] ὅλως D. || κονοειδῆ D. 10. τῶν om. O. || προτέρων] κρειττόνων Fesch. 11. ὅλως ACD.

rationem et ordinem; hanc autem vita illa sua, quae est omnibus corporibus caelestibus naturalis. quare nec ex contrariis aut differentibus partibus eorum corpus componitur, ut quidem nostrum corpus constat: neque eorum anima cum corpore coaluit in unum ex duobus animal; sed animalia deorum caelestia similia prorsus sunt et unita, tota in totis uniformia et incomposita, eo quod quae sunt in iis superiora semper eodem modo supereminent, quae autem sunt inferiora pendent a priorum principatu, ita tamen ut ad se nunquam illum trahant; adeoque haec omnia ad unam ordinationem, unamque perfectionem colliguntur, et incorporea sunt quodammodo, diique in universum, quoniam divina natura quae in illis dominatur, unam eandemque essentiam ubique per omnia impertit.

Sic igitur caelites conspicui et dii sunt omnes, et aliquatenus
18 incorporei. proxima tua sciscitatio quaerit, quo pacto ex diis alii sint benefici alii malefici. sumitur autem a genethlialogis haec opi-

κακοποιοί. εἴληπται μὲν οὖν ἀπὸ τῶν γενεθλιαλόγων αὕτη ἡ δόξα, πάντη δὲ διαμαρτάνει τοῦ ὄντος. ἀγαθοί τε γάρ εἰσιν ἅπαντες καὶ ἀγαθῶν αἴτιοι ὡσαύτως πρὸς ἕν τι ἀγαθὸν ἀποβλέποντες ἑνοειδῶς περιάγονται κατὰ μόνον τὸ καλὸν καὶ ἀγαθόν. οὐ μὴν ἀλλὰ τά γε ὑποκείμενα αὐτοῖς σώματα καὶ αὐτὰ ἀμηχάνους ὅσας ἔχει δυνάμεις, τὰς μὲν ἐν αὐτοῖς τοῖς θείοις σώμασι μονίμως ἑστώσας, τὰς δ' ἀπ' αὐτῶν προϊούσας εἰς τὴν φύσιν τοῦ κόσμου καὶ αὐτὸν τὸν κόσμον, δι' ὅλης τε τῆς γενέσεως ἐν τάξει κατιούσας, καὶ μέχρι τῶν κατὰ μέρος διατεινούσας ἀκωλύτως.

Περὶ μὲν οὖν τῶν μενουσῶν κατ' οὐρανὸν ἐν τοῖς σώμασι τοῖς θείοις δυνάμεων οὐκ ἄν τις ἀμφισβητήσειεν ὡς εἰσιν ὅμοιαι πᾶσαι· λοιπὸν οὖν περὶ τῶν τῇδε καταπεμπομένων καὶ συμμιγνυμένων πρὸς τὴν γένεσιν διέλθωμεν. αὗται τοίνυν ἐπὶ μὲν σωτηρίᾳ τοῦ παντὸς διήκουσιν ὡσαύτως καὶ συνέχουσιν ὅλην τὴν γένεσιν κατὰ τὰ αὐτά. ἀπαθεῖς τέ εἰσι καὶ ἄτρεπτοι, καίτοι εἰς τὸ τρε-

4. τι] sic B, τε O. ‖ ἀποβλέποντες] sic ACD, ἄποντες B, ἅπαντες O. 5. μόνον] τὸ μόνον O. 8. εἰς om. D. 12. μὲν ex C additum. 14. λοιπῶν C. 15. συμμιγμένων D. 16. σωτηρίᾳ μὲν A.

nio, sed a veritate errat longe. sunt enim dii omnes benefici et bonorum etiam auctores, et ad bonum tantum respicientes uniformiter circumaguntur ex intuitu boni solius et pulchri. quinimo et subiecta ipsis corpora incredibiles quasdam habent virtutes, et ex iis quasdam semper in ipsis divinis corporibus permanentes, quasdam profluentes in mundi naturam, ipsumque adeo mundum, et per universam genesin ordine progredientes, et usque ad res particulares sine omni impedimento pertingentes.

Jam de virtutibus caelestibus quae in ipsis divinis corporibus manent, dubium esse potest nemini quin sint omnes similes: restat igitur percurramus eas virtutes, quae huc ad nos mittuntur et genesi immiscentur. eae igitur ad salutem universi eodem modo descendunt, et totam genesin eodem modo continent et administrant; impatibiles quoque sunt et immutabiles, etiamsi immisceantur rebus mutabilibus

πόμενον καὶ πάσχον καθήκουσιν. ἡ μέντοι γένεσις πολυειδὴς οὖσα καὶ ἐκ διαφερόντων συνισταμένη τῇ οἰκείᾳ μὲν ἐναντιώσει καὶ διαιρέσει μαχομένως καὶ μεριστῶς τὸ ἓν αὐτῶν καὶ ἀδιάφορον δέχεται· παθητικῶς δὲ χωρεῖ τὸ ἀπαθές, καὶ ὅλως κατὰ τὴν οἰκείαν φύσιν οὐ κατὰ τὴν ἐκείνων δύναμιν πέφυκεν αὐτῶν μετέχειν. ὥσπερ οὖν τὸ γιγνόμενον τοῦ ὄντος γεννητῶς καὶ τὸ σῶμα τοῦ ἀσωμάτου σωματοειδῶς μεταλαμβάνει, οὕτω καὶ τὰ ἐν τῇ γενέσει φυσικὰ καὶ ἔνυλα τῶν ἀύλων καὶ ὑπὲρ τὴν φύσιν καὶ γένεσιν αἰθερίων σωμάτων ἀτάκτως καὶ πλημμελῶς ἔστιν ὅπου μεταλαμβάνει. ἄτοποι οὖν οἵ τε χρῶμα καὶ σχῆμα καὶ ἁφὴν τοῖς νοητοῖς εἴδεσι προστιθέντες, διότι τὰ μεταλαμβάνοντα αὐτῶν εἰσὶ τοιαῦτα, καὶ οἱ τοῖς οὐρανίοις σώμασι κακίαν ἀνατιθέντες, διότι τὰ μετέχοντα αὐτῶν φύεται ἐνίοτε κακά. τὴν ἀρχὴν γὰρ οὐδ' ἂν ἦν μετοχὴ τὸ τοιοῦτον, εἰ μή τι καὶ παραλλάττον εἶχε τὸ μεταλαμβάνον. εἰ δ' ὡς ἐν ἑτέρῳ καὶ διαφέροντι δέχεται

3. μεχομένως D. 4. ἀδιαφόρων D. || δέχεται] μάχεται D. || παθητῶς ACD Fesch. Reg. 11. ἄτοπον BD. 13. 14. οὐρανίοις] ἀνθρωπίνοις A. 15. ἦν] sic AD, legebatur ᾖ.

et patibilibus. genesis enim multiformis cum sit et ex variis conflata, pro naturali sua contrarietate et distinctione deorum unitatem indivisibilitatemque recipit, non sine pugna quadam et divisibilitate; et quod est iis impatibile patibili modo admittit: et ut summatim dicam, potius iuxta naturae suae modulum quam pro deorum viribus de diis participat. quemadmodum igitur quod generatur participat de ente secundum modum generationi convenientem, et corpus de rebus incorporeis modo corporali, ita quae sunt in genesi naturalia et materialia, de immaterialibus et corporibus aethereis supra naturam et genesin positis aliquando hauriunt, sed confuse et irregulariter. absurde ergo faciunt qui colorem et figuram et tactum separatis speciebus tribuunt, eo quod quae de iis participant talia habeant: item qui malitiam corporibus caelestibus ascribunt, eo quod quae de eis participant aliquando mala sint. nam ista illa participatio iam tum ab initio fieri non posset, si id quod de alio participat ab eo non haberet aliquid differentiae; iam vero si quicquid participatur

τὸ μετεχόμενον, τοῦτο δήπου τὸ ὡς ἄλλο καὶ ἐν τοῖς περιγείοις ἐστὶ τὸ κακὸν καὶ ἄτακτον.

Ἥ τε οὖν μετάληψις αἰτία γίνεται τῆς ἐν τοῖς δευτέροις πολλῆς ἑτερότητος καὶ ἡ σύμμιξις τῶν ὑλικῶν πρὸς τὰς ἀύλους ἀπορροίας, καὶ ἔτι τὸ ἑτέρως διδόμενον ἑτέρως αὐτὰ τὰ τῇδε ὑποδέχεσθαι. οἷον ἡ τοῦ Κρόνου ἀπόρροιά ἐστι συνεκτική, ἡ δὲ τοῦ Ἄρεος κινητική· πλὴν ἔν γε τοῖς ἐνύλοις ἡ παθητικὴ γενεσιουργὸς ὑποδοχὴ τὴν μὲν κατὰ πῆξιν καὶ ψυχρότητα ἐδέξατο, τὴν δὲ κατὰ φλόγωσιν ὑπερβάλλουσαν τὸ μέτριον. οὐκοῦν τὸ φθοροποιὸν καὶ ἀσύμμετρον διὰ τὴν τῶν ὑποδεχομένων ἑτεροποιὸν καὶ ὑλικὴν καὶ παθητικὴν παρατροπὴν ἀπήντησεν; ἔτι τοίνυν ἡ ἀσθένεια τῶν ἐνύλων καὶ περιγείων τόπων τὴν ἀκραιφνῆ δύναμιν καὶ καθαρωτάτην ζωὴν τῶν αἰθερίων μὴ χωροῦσα

6. *αὐτὰς* ABD. ‖ *τοῦ* ante *Κρόνου* om. O. ‖ *Κρόνου*] *χρόνου* D. ‖ *Κρόνου — Ἄρεος*] *πῶς δὲ Κρόνον τε καὶ Ἄρην κακοποιοὺς λέγοντες πάλιν ποιοῦσιν ἀγαθούς.* Sallust. philos. c. 9. p. 34. Orelli. — Martem et Saturnum, qui intercidunt vitae rationem, si radiis suis ortum geniturae pulsaverint. Serv. ad Aen. 4, 610. 8. *παθητὴ* AC Fesch. Reg., *πατικὴ* (corr. *πατιτή*) D. 12. *παθητὴν* ACD Fesch. Reg. ‖ *ἡ* om. A. 14. *καθαιρωτάτην* D, *καθαροταίην* O.

recipitur tamquam in alia re et differenti, sane ista alia res in his quae sunt circa terram locis malum dicitur et inordinatum.

Haec igitur participatio causa est plurimae in inferioribus diversitatis, ut est miscella illa materialium cum immaterialibus influentiis; item quod inferiora haec aliter accipiant illud quod etiam alio modo dabatur. exempli gratia Saturni virtus est constipativa, Martis vero motiva: veruntamen sit, ut susceptaculum generationis patibile illam quidem Saturni vim per modum congelationis et frigoris intensissimi accipiat, hanc autem per modum ardoris immodici. nonne igitur quae oboritur corruptio et asymmetria merito tribui debeat susceptaculorum diversitati alteranti materiali patibili? quare imbecillitas rerum materialium et locorum terrestrium, cum nequeat capere simplicem illam vim vitamque aetheriorum purissimam, suas ipsius labes causis primis imputat: quemadmodum si quis corpore infirmus,

τὸ ἑαυτῆς πάθημα μεταφέρει ἐπὶ τὰ πρῶτα αἴτια· οἷον εἴ τις κάμνων τῷ σώματι καὶ μὴ δυνάμενος φέρειν τὴν ἡλίου ζωοποιὸν θερμότητα ἐτόλμα, ψευδόμενος ἀπὸ τῶν οἰκείων παθῶν εἰπεῖν, ὡς οὐ λυσιτελής ἐστιν ὁ ἥλιος πρὸς ὑγίειαν ἢ ζωήν.

Γένοιτο δ' ἄν τι καὶ τὸ τοιοῦτον ἐν τῇ τοῦ παντὸς ἁρμονίᾳ καὶ κράσει, ὡς τὰ αὐτὰ τῷ μὲν ὅλῳ καὶ παντὶ σωτήρια εἶναι διὰ τὴν τελειότητα τῶν τε ἐνόντων καὶ οἷς ἔνεστι, τοῖς δὲ μέρεσι βλαβερὰ διὰ τὴν μεριστὴν ἀσυμμετρίαν. καὶ ἐν τῇ τοῦ παντὸς οὖν κινήσει πᾶσαι μὲν αἱ περιφοραὶ τὸν πάντα κόσμον ὡσαύτως διαφυλάττουσιν, ἓν δέ τι τῶν ἐν μέρει πολλάκις θλίβεται ὑπ' ἄλλου μέρους, ὅπερ καὶ ἐν ὀρχήσει περιφανῶς ὁρῶμεν γιγνόμενον.

Πάλιν δὴ οὖν τὸ φθειρόμενον καὶ μεταβαλλόμενον πάθημα σύμφυτον γίνεται τῶν κατὰ μέρος, καὶ οὐ δεῖ οὐδὲ τοῦτο τοῖς ὅλοις καὶ πρώτοις αἰτίοις ἀνατιθέναι ἢ ὡς ἐν αὐτοῖς ὂν ἢ ὡς ἀπ' αὐτῶν εἰς τὰ τῇδε καθῆκον·

2. *κάμνων*] sic AD Fesch., *καμνόντων* O. 3. post *ψευδόμενος* AC add. *ἐπικαλεῖν*. 4. *εἰπεῖν* om. ABCD. ‖ *ὡς οὐ λυσιτελής ἐστιν* om. B. ‖ *ὁ ἥλιος* om. ABCD. 11. *ἐπιφοραὶ* A. 13. *περιφανῶς*] sic AC, om. O. 15. *σύμφητον* B. ‖ *γίγνεται* D. 17. *αὐτοῖς*] *αὐτῷ* ACD. ‖ *τὰ*] *τὸ* A.

solisque calorem vivificum tolerare nequiens, falso auderet, a suis infirmitatibus arguens, incusare solem tamquam ad salutem et vitam plane inutilem.

Quinimo in universi harmonia et crasi evenire potest, ut eadem quae sint salutaria toti universo propter convenientiam et perfectionem receptorum et recipientium, partibus interim sint damnosa propter particulares ineptitudines. omnes sane orbium circulationes, ut de universis loquar motibus, totum mundum similiter conservant, cum interim pars alia ab alia laedatur: quomodo saepe in saltationibus fieri videmus [ubi totius chori decor servatur, cum digitus aut pes interim offendatur].

Rursus naturale est rebus particularibus pati et permutari, non autem oportet hoc universis et primis causis impingere, ac si in ipsis locum haberet, vel ab ipsis ad haec inferiora promanaret. atque

διὰ δὴ τοσούτων ἀποδέδεικται, ὡς οὔτε αὐτοὶ οἱ ἐν οὐρανῷ θεοὶ οὔτε αἱ δόσεις αὐτῶν εἰσὶ κακοποιοί.

19 *Ἴθι δὴ οὖν κἀκεῖνο ἀποκρινώμεθα, τί τὸ συνάπτον ἐστὶ πρὸς τοῖς ἀσωμάτοις θεοῖς τοὺς ἔχοντας σῶμα ἐν τῷ οὐρανῷ. ἤδη μὲν οὖν ἀπὸ τῶν προειρημένων καὶ τοῦτο καταφαίνεται. εἰ γὰρ ὡς ἀσώματοι καὶ νοητοὶ καὶ ἡνωμένοι τῶν οὐρανίων σφαιρῶν ἐπιβεβήκασιν, ἀρχὰς ἔχουσιν ἐν τῷ νοητῷ, καὶ νοοῦντες τὰ θεῖα αὐτῶν εἴδη κατευθύνουσι τὸν σύμπαντα οὐρανὸν κατὰ μίαν ἄπειρον ἐνέργειαν· καὶ εἰ χωριστῶς τῷ οὐρανῷ παρόντες ἄγουσι μόναις ταῖς ἑαυτῶν βουλήσεσι τὰς ἀιδίους περιφοράς, ἀμιγεῖς ὑπάρχουσι καὶ αὐτοὶ πρὸς τὸ αἰσθητὸν καὶ τοῖς νοητοῖς θεοῖς συνυπάρχουσι.*

Πλὴν οὐδὲν οἷον καὶ κατ' ἰδίαν πραγματεύσασθαι τὴν παροῦσαν ἀπόκρισιν ὧδέ πως. λέγω δὴ οὖν, ὡς ἀπὸ τῶν νοητῶν θείων παραδειγμάτων καὶ περὶ αὐτὰ ἀπογεννᾶται τὰ ἐμφανῆ τῶν θεῶν ἀγάλματα, γενόμενά τε παντελῶς ἐν αὐτοῖς ἵδρυται, καὶ πρὸς αὐτὰ ἀνήκουσαν

2. *κατοποιοί* D. 4. *τοὺς*] *τοῖς* D. 6. post *γὰρ* C add. *οἱ*. 8. „*ἐν τῷ νοητῷ*, scil. *διακόσμῳ*“ Gale not. || *αὐτῶν*] *αὔτων* BD, *ἑαυτῶν* A. || *εἴδει* B, *ἤδη* D. 14. *διαπραγματεύσασθαι* ACD. 18. *αὐτὰ*] sic margo A et Tayl. *αὐτὴν* O.

ita per haec ostensum est, quod nec ipsi caelestes dii nec eorum munera mali quidquam in se contineant.

19 Age vero et ad illa respondeamus, quodnam sit vinculum, quo dii incorporei iis qui corpus habent annectuntur. sed et hoc etiam ex ante dictis apparet. nam si tamquam incorporei et intellectuales et uniti sphaeris caelestibus inequitent, habent haud dubie originem in mundo intellectuali, atque ita suas ipsorum species divinas contemplantes totum caelum administrant iuxta infinitam quandam operationem: si vero caelum curent ex intervallo, et solis suis voluntatibus peragant aeternas circulationes, sane ipsi cum sensibili caelorum natura nihil communicant, cum diis autem intellectualibus quam maxime.

Sed praestat particulariter praesens responsum tractare hoc modo. dico igitur quod conspicua deorum simulacra ab intelligibilibus paradigmatis divinis aut saltem penes illa progenerantur; progenerata vero manent in iis firmiter, et ad ea pertinentem habent

ἔχει τὴν ἀπ' αὐτῶν ἀποτελεσθεῖσαν εἰκόνα· ἑτέρως τε τὰ αὐτὰ ἄλλην διακόσμησιν δεδημιούργηται, συνεχῆ τέ ἐστι τὰ τῇδε πρὸς ἐκεῖνα κατὰ μίαν ἕνωσιν, καὶ τὰ μὲν παρόντα θεῖα νοερὰ εἴδη τοῖς ὁρωμένοις σώμασι τῶν θεῶν χωριστῶς αὐτῶν προϋπάρχει· τὰ δ' ἄμικτα καὶ ὑπερουράνια αὐτῶν νοητὰ παραδείγματα μένει καθ' ἑαυτὰ ἐν ἑνὶ ὁμοῦ πάντα κατὰ τὴν διαιωνίαν αὐτῶν ὑπερβολήν.

Ἔστι μὲν οὖν καὶ κατὰ τὰς νοερὰς ἐνεργείας ὁ κοινὸς σύνδεσμος αὐτῶν ἀδιαίρετος, ἔστι δὲ καὶ κατὰ τὰς τῶν εἰδῶν κοινὰς μετουσίας, ἐπεὶ οὐδὲν διείργει ταύτας, οὐδ' ἔστι τι αὐτῶν μεταξύ· οὐ μὴν ἀλλὰ καὶ αὐτὴ ἡ ἄυλος οὐσία καὶ ἀσώματος οὔτε τόποις οὔτε ὑποκειμένοις διισταμένη οὔτε μερῶν μερισταῖς διωρισμένη περιγραφαῖς εὐθὺς συνέρχεται καὶ συμφύεται εἰς ταὐτότητα, ἥ τε ἀφ' ἑνὸς πρόοδος καὶ εἰς ἓν τῶν ὅλων ἀναγωγὴ καὶ τοῦ ἑνὸς πάντῃ ἐπικράτεια συνάγει τὴν κοινωνίαν τῶν ἐν τῷ κόσμῳ θεῶν πρὸς τοὺς ἐν τῷ νοητῷ προϋπάρχοντας.

4. εἴδη] ἤδη D. 6. ἐν] sic AC, om. O. 7. διαιωνίαν] διάνοιαν D. 10. 11. ταύτας οὐδ'] αὐτας ὄδ' B. 16. συνάγει om. D. || τῶν] sic AC, αὐτῶν O.

imaginem, quae ab iis perficiebatur; quod hae ipsae imagines aliud ordiuntur opus, et per unitatis vinculum hae cum illis continuae sunt, et quod eae divinae species quae adsunt conspicuis deorum corporibus, separatim existunt ante illa corpora, et quod ipsarum paradigmata intelligibilia, quae impermista sunt et supercaelestia, in se ipsis unite permanent et tota simul iuxta suam aeternam eminentiam.

Est igitur unum commune et indissolubile vinculum inter ea penes intellectuales operationes, quo pacto est et penes communem in speciebus participandis rationem, quoniam nihil est quod eas disterminet, neque est intervalli quidquam inter eas: immo immaterialis incorporeaque substantia, quippe quae neque locis neque subiectis distrahatur, neque particularibus partium circumscriptionibus limitetur, ipsa continuo concurrit, et in identitate coalescit; tum etiam processus ille omnium ab uno et in unum recursus, et imperium unius super omnia communionem praestat inter deos qui sunt in hoc mundo et eos qui sunt in intelligibili.

Ἔτι δὲ ἡ τῶν δευτέρων πρὸς τὰ πρῶτα νοερὰ ἐπιστροφὴ καὶ ἀπὸ τῶν προτέρων εἰς τοὺς δευτέρους θεοὺς δόσις τῆς αὐτῆς οὐσίας καὶ δυνάμεως συνέχει τὴν εἰς ἓν αὐτῶν σύνοδον ἀδιάλυτον. ἐπὶ μὲν τῶν ἑτερουσιῶν οἷον ψυχῆς καὶ σώματος, καὶ τῶν ἀνομοειδῶν ὥσπερ τῶν ἐνύλων εἰδῶν καὶ τῶν ἄλλως ὁπωσοῦν κεχωρισμένων, ἡ συμφυὴς ἕνωσις ἐπίκτητός τε παραγίνεται ἀπὸ τῶν ἄνωθεν καὶ ἀποβλητὴ κατὰ χρόνων περιόδους ὡρισμένας· ὅσῳ δ' ἂν ἀνίωμεν ἐπὶ τὸ ὕψος καὶ τὴν ταὐτότητα τῶν πρώτων κατὰ τὸ εἶδός τε καὶ τὴν οὐσίαν, ἀπό τε τῶν μερῶν ἐπὶ τὰ ὅλα ἀναγάγωμεν ἑαυτούς, τοσούτῳ πλέον τὴν ἕνωσιν τὴν ἀίδιον ὑπάρχουσαν εὑρίσκομεν, προηγουμένην τε αὐτὴν καὶ κυριωτέραν θεωροῦμεν καὶ περὶ ἑαυτὴν καὶ ἐν ἑαυτῇ ἔχουσαν τὴν ἑτερότητα καὶ τὸ πλῆθος.

Ἐπεὶ δέ γε τῶν θεῶν ἐν τῇ ἑνώσει πάντων ἐστὶν ἡ τάξις, τά τε πρῶτα καὶ δεύτερα αὐτῶν γένη καὶ τὰ περὶ αὐτὰ φυόμενα πολλὰ ἐν ἑνὶ τὰ ὅλα συνυφέστηκε, τότε

8. χρόνον D. 10. ἀπό τε] ἀπό γε O. 11. τοσούτῳ] sic Velsenius, legebatur τούτῳ. 12. ἐπάρχουσαν A. 14. ἑαυτῇ] sic AC, αὐτῇ O. 17. αὐτὰ φυόμενα] sic A, αὐτὸ φυόμενα D, αὐτοφυόμενα O.

Praeterea secundorum ad prima intellectualia conversio, primorumque in secundos deos eiusdem essentiae et potestatis communicatio, connectit eorum synodum in unum indissolubiliter. quae enim duae res ex diversis essentiis coalescunt, ut anima et corpus, aut ex diversis speciebus, ut materiales et eae quae quovis alio modo discrepant species componuntur, certe illa coalitio ut a superioribus advenit et acquiritur, ita certis temporum recursibus amittitur. quanto autem magis ascendimus in altum et in identitatem causarum primarum tum specie tum essentia, et quanto magis attollimus nos a partibus ad tota, tanto magis unitatem illam deprehendimus quae aeterna existit, et praestantiorem contemplamur et principaliorem in se et circa se tum diversitatem tum multitudinem comprehendentem.

Quandoquidem vero deorum in unitate omnium consensus sit, et prima et secunda eorum genera et quaecunque plurima licet circa ea nascuntur, in unitate omnia simul existant, et omne quod est in

πᾶν ἐν αὐτοῖς ἐστὶ τὸ ἕν, ἀρχή τε καὶ μέσα καὶ τέλη κατ' αὐτὸ τὸ ἓν συνυπάρχει· ὥστ' ἐπί γε τούτων οὐδὲ χρὴ ζητεῖν πόθεν τὸ ἓν ἅπασιν ἐφήκει· αὐτὸ γὰρ ὅ τι ποτέ ἐστιν ἐν αὐτοῖς τὸ εἶναι, τοῦτο αὐτῶν ὑπάρχει τὸ ἕν· καὶ τὰ μὲν δεύτερα μένει κατὰ τὰ αὐτὰ ἐν τῷ ἑνὶ τῶν πρώτων, τὰ δὲ πρῶτα δίδωσι τοῖς δευτέροις τὴν ἀφ' ἑαυτῶν ἕνωσιν, πάντα δὲ ἐν ἀλλήλοις κοινωνίαν ἔχει τῆς ἀδιαλύτου συμπλοκῆς.

Ἀπὸ δὴ ταύτης τῆς αἰτίας καὶ τοῖς αἰσθητοῖς θεοῖς σώματα ἔχουσιν οἱ παντελῶς ἀσώματοι θεοὶ συνήνωνται. οἵ τε γὰρ ἐμφανεῖς θεοὶ σωμάτων εἰσὶν ἔξω, καὶ διὰ τοῦτό εἰσιν ἐν τῷ νοητῷ, καὶ οἱ νοητοὶ διὰ τὴν ἄπειρον αὐτῶν ἕνωσιν περιέχουσιν ἐν ἑαυτοῖς τοὺς ἐμφανεῖς, ἀμφότεροί τε κατὰ κοινὴν ἕνωσιν καὶ μίαν ἐνέργειαν ἵστανται. ὡσαύτως καὶ τοῦτο τῆς τῶν θεῶν αἰτίας καὶ διακοσμήσεώς ἐστιν ἐξαίρετον, διόπερ ἄνωθεν μέχρι τοῦ τέλους τῆς θείας τάξεως ἡ αὐτὴ διήκει πάντων ἕνωσις. εἰ

3. ἐφίκει AC. || ὅ τι] sic BCD, ὅτε O. 4. αὐτῶν] αὐτῷ C. 5. τὰ ante αὐτὰ om. A. 6. δίδωσι] sic ACD, om. B, post ἕνωσιν ponit O. 8. διαλύτου B. 11. ἔξω] ἄξω D.

iis unum sit, tum principium et media et fines in unum coëunt simulque sunt: ita ut de his ne oporteat quidem quaerere unde unitas illa omnibus advenerit, ipsa enim eorum essentia, quaecunque tandem sit, est haec unitas; et secunda quidem genera in unitate primorum eodem modo semper manent, et prima secundis impertiunt a se ipsis unitatem, omnia denique indissolubilis inter se nexus communionem sustinent et tuentur.

Et hanc ipsam ob rationem dii prorsus incorporei uniuntur diis sensibilibus et corpora gerentibus. nam et dii conspicui sunt extra corpora, atque adeo ad mundum intelligibilem pertinent, et dii intelligibiles propter unitatem suam infinitam deos conspicuos in se continent, utrique vero secundum communem unitatem et operationem unam stabiliuntur. similiter et haec insignis est praerogativa tum causae tum administrationis divinae, quod a summis ad imos in ordine divino una per omnes diffundatur unitas. si autem hoc di-

δὴ τοῦτο ἄξιον ἀμφισβητεῖν, τοὐναντίον γὰρ ἂν ᾗ θαυμαστόν, εἰ μὴ οὕτως εἶχε.

Καὶ περὶ μὲν τῆς συναφῆς τῶν αἰσθητῶν θεῶν ἱδρυμένων πρὸς τοὺς νοητοὺς θεοὺς τοσαῦτα εἰρήσθω· τὸ δὲ 20 μετὰ τοῦτο τὰς αὐτὰς ἐρωτήσεις ἐπαναλαμβάνεις αὖθις, περὶ ὧν ἤρκει μὲν τὰ προειρημένα ἀρτίως εἰς διάλυσιν ὧν ἐπεζήτησας. ἀλλ' ἐπεὶ δεῖ τὰ καλά, ὥς φασι, πολλάκις λέγειν τε καὶ ἐπισκοπεῖν, οὐδὲ ἡμεῖς ὑπερβησόμεθα ταῦτα ὡς ἤδη τετυχηκότες ἱκανῆς ἀποκρίσεως τρίβοντες δὲ αὐτὰ πολλάκις διὰ τῶν λόγων τάχα ἂν ἐξ ἁπάντων τέλειόν τι καὶ μέγα ἀγαθὸν εἰς ἐπιστήμην κτησαίμεθα. ἀπορεῖς γὰρ δὴ τί τὸ διακρῖνόν ἐστι τοὺς δαίμονας ἀπό τε τῶν ἐμφανῶν καὶ τῶν ἀφανῶν θεῶν, συνημμένων δὲ τῶν ἐμφανῶν θεῶν τοῖς ἀφανέσιν. ἐγὼ δ' ἀπ' αὐτοῦ τοῦδε πρώτου ἀρχόμενος τὸ διάφορον αὐτῶν παραδεικνύω. διότι γὰρ οἱ μέν εἰσιν συνημμένοι πρὸς τοὺς νοητοὺς θεοὺς καὶ αὐτὴν τὴν ἰδέαν πρὸς αὐτοὺς ἔχοντες, οἱ δὲ πόρρωθεν

1. ᾗ] sic C, ῇ A, ἦν O. 3. 4. ἱδρουμένων D. 5. μετὰ] μὴ τὰ B. ‖ ἐπαναλαμβάνῃς D. 7. δεῖ] δὴ D. 10. τέλεον AD. 13. ante συνημμένων codices addunt ἀφανεῖς μὲν om. O. ‖ συνημένων B.

gnum visum est de quo dubitet quis, sane contraria pars omni admiratione digna esset, si aliter se res haberet.

Atque haec dicta sunto de contactu et affinitate deorum sensibilium ad deos intellectuales. post haec easdem resumis quaestiones 20 ad quarum solutionem sufficere possent quae nuper a nobis tibi quaerenti responsa sunt. verum quoniam, ut est proverbium, quae pulchra saepe loqui et considerare oportet, idcirco nec nos haec transiliemus ac si iamiam abunde respondissemus, sed iterum atque iterum sermonibus disputantes forte ex omnibus perfectum aliquod et grande ad scientiam emolumentum parabimus. quaeris autem quid sit quod discriminet daemonas a diis tum conspicuis tum inconspicuis, cum coniuncti unitatis vinculo conspicui inconspicuis sunt. ego vero orsus ab eo quod primum est, quae sit inter eos differentia ostendam. quoniam enim conspicui diis intellectualibus coniuncti sunt, et eandem ideam cum illis habent, daemones vero longe quoad essentiam ab

αὐτῶν ἀφεστηκότες κατὰ τὴν οὐσίαν καὶ μόλις δι' ὁμοιότητος αὐτοῖς ἀπεικαζόμενοι, διὰ τοῦτο δὴ κεχωρισμένοι τῶν ἐμφανῶν θεῶν εἰσὶ δαίμονες. τῶν δ' ἀφανῶν θεῶν διεστήκασι κατ' αὐτὴν τὴν τοῦ ἀφανοῦς διαφοράν· οἱ μὲν γὰρ δαίμονες ἀόρατοί τέ εἰσι καὶ οὐδαμῶς αἰσθήσει περιληπτοί, οἱ δὲ καὶ λόγου γνώσεως καὶ νοήσεως ἐνύλου προέχουσι· καὶ διότι τούτοις εἰσὶν ἄγνωστοι καὶ ἀφανεῖς, οὕτως ἐπονομάζονται πολὺ διαφερόντως ἢ ὡς ἐπὶ τῶν δαιμόνων λέγεται τὸ ἀφανές· τί οὖν; τῶν ἐμφανῶν θεῶν ἀφανεῖς ὄντες ἔχουσι κρεῖττον καθ' ὅσον εἰσὶν ἀφανεῖς; οὐ μὲν οὖν· τὸ γὰρ θεῖον ὅπου ποτ' ἂν ᾖ καὶ ἥντινα ἂν ἔχῃ λῆξιν, τὴν αὐτὴν ἔχει δύναμιν καὶ ἐπικράτειαν τῶν ὑποτεταγμένων ὅλων. οὐκοῦν κἂν ἐμφανὲς ᾖ, τῶν ἀφανῶν ὡσαύτως ἐπάρχει δαιμόνων, κἂν παρὰ γῆν ὑπάρχῃ, τῶν ἀερίων βασιλεύει δαιμόνων. οὐ γὰρ ὁ τόπος ὁ δεχόμενος οὐδ' ἡ τοῦ κόσμου μερὶς ποιεῖ τινὰ μεταβολὴν εἰς τὴν τῶν θεῶν ἀρχήν· μένει δὲ ἡ αὐτὴ πανταχοῦ τῶν

3. θεῶν om. A. 4. τὴν om. O. 6. λόγου] sic AD, λόγον O. ‖ ἐνύλους AC. 7. προέχουσι] sic A, προσέχουσι BCD, ὑπερέχουσι O. 8. ὡς om. O. 9. τῶν om. O. 10. ἀφανεῖς alterum] ἐμφανεῖς A. 11. ᾖ] ῄ AC, ἦν O. ‖ ἥντινα scripsi, ἄν τινα BCD, ἄντινα O. 14. ὡσαύτως] sic AC, om. O. ‖ ἐπάρχει] sic A Fesch. Regii, ὑπάρχει O. 14. 15. κἂν παρὰ — δαιμόνων] sic BCD, Fesch. Regii, om. O.

istis disiuncti sunt, et vix similitudine eos repraesentant, hanc ob rationem a diis conspicuis disterminantur. et a diis inconspicuis differunt eo quod inconspicui sunt: daemones enim nec oculis nec sensu alio percipi possunt, dii vero etiam ratione notitiae et intelligentiae materialis antecellunt: et quia his sunt incogniti et inconspicui, sic appellantur, sed longe alia de causa quam daemones inconspicui dicuntur. quid igitur? melius sese habent dii inconspicui, quod tales sint, quam conspicui? minime: quod enim divinum est ubicunque tandem sit aut quamcunque provinciam sortiatur, eandem habet potentiam et ditionem in universa sibi subiecta. enimvero si conspicui aliquando fiant, imperitant daemonibus inconspicuis, atque etiam si circa terram versentur, daemonibus aëreis dominantur; neque enim locus recipiens aut mundi portio quaelibet quidquam imperio divino

θεῶν ὅλη ἡ οὐσία ἀδιαίρετός τε καὶ ἀναλλοίωτος, ἣν σέβει πάντα ὁμοίως τὰ ὑποδεέστερα τῇ κατὰ φύσιν τάξει.

Ἀπὸ δὲ τῆς αὐτῆς ἀφορμῆς ἐπιόντες καὶ ἄλλην εὑρίσκομεν αὐτῶν διαφοράν· οἱ μὲν γὰρ ἐμφανεῖς τε καὶ ἀφανεῖς θεοὶ τὴν ὅλην ἐν ἑαυτοῖς συνειλήφασι κυβέρνησιν τῶν ὄντων κατὰ πάντα τε τὸν οὐρανὸν καὶ κόσμον καὶ κατὰ τὰς ἀφανεῖς ἐν τῷ παντὶ δυνάμεις ὅλας· οἱ δὲ τὴν δαιμονίαν ἐπιστασίαν διαλαχόντες, μοίρας τινὰς μεριστὰς τοῦ κόσμου κατατεινάμενοι, ταύτας κατευθύνουσιν, ἔχουσί τε καὶ αὐτοὶ μεριστὸν τὸ τῆς οὐσίας εἶδος καὶ δυνάμεως. καὶ ἔτι συμφυεῖς πώς εἰσι καὶ ἀχώριστοι τῶν ὑφ' ἑαυτῶν διοικουμένων· οἱ δὲ θεοὶ κἂν σωμάτων ἐπιβαίνωσι, παντελῶς εἰσὶν ἀπ' αὐτῶν κεχωρισμένοι. οὐ τὸ τῶν σωμάτων οὖν ἐπιμελεῖσθαι φέρει τινὰ ἐλάττωσιν οἷς ὑπηρετεῖ τὸ σῶμα, καὶ συνέχεται ὑπὸ τοῦ κρείττονος καὶ ἐπέστραπται πρὸς αὐτὸ καὶ οὐδὲν ἐμπόδιον αὐτῷ παρέχει· ἀλλὰ τὸ τῇ γενεσιουργῷ φύσει προσκεῖσθαι καὶ μερίζε-

1. ἡ οὐσία] sic AC, οὐσία O. 3. ἐπιόντες] ἐποιοῦντες D 5. συνηλήφασι B. 12. 13. ἐπιβαίνουσι AC, ἐπιβαίνουσι (corr. ἐπιβαίνωσι) D. 13. 14. τὸ τῶν] sic Gale not., τὸ ACD, τῶν O. 16. ἐπέστραπται] sic Gale not, ἐπέστρεπται D, ἀπέστραπται O. ‖ αὐτὸ] αὐτὴν BCD. 17. τὸ] τῷ CD.

mutationis invehit, sed permanet eadem ubique essentia deorum tota indivisibilis et immutabilis, quam venerantur inferiora omnia ordine quem natura posuit.

Sed huic viae insistentes aliam quoque inter eos deprehendimus differentiam. dii enim conspicui et inconspicui res omnes tum caelum tum mundum tum occultas in toto universo potestates sua gubernatione complectuntur: daemones vero qui praefecturam sortiti sunt, mundi quasdam portiones particulares quas obtinent gubernant, habentque ipsi partitum quoddam essentiae et potentiae genus. et praeterea sunt quodammodo connati et inseparabiles ab iis rebus quas administrant: dii vero quanquam corpora conscendunt, prorsus sunt ab iis separati. quare corporum procuratio nihil fraudis affert iis quibus corpus inservit; continetur enim a praestantiori et ad ipsum convertitur, nihilque molestiae ei exhibet: enimvero daemones deteriori necessario utuntur sorte, eo quod prorsus adhaerescunt

σθαι παρ' αὐτὴν ἐξ ἀνάγκης καταδεεστέραν μοῖραν δίδωσι τοῖς δαίμοσιν· ὅλως δὲ τὸ μὲν θεῖόν ἐστιν ἡγεμονικὸν καὶ προϊστάμενον τῆς ἐν τοῖς οὖσι διατάξεως, διακονικὸν δὲ τὸ δαιμόνιον καὶ παραδεχόμενον ἅπερ ἂν παραγγείλωσιν οἱ θεοί, προθύμως αὐτουργίᾳ χρώμενον περὶ ὧν οἱ θεοὶ νοοῦσί τε καὶ βούλονται καὶ ἐπιτάττουσι. τοιγαροῦν οἱ θεοὶ τῶν ῥεπουσῶν εἰς τὴν γένεσιν δυνάμεών εἰσιν ἀπηλλαγμένοι· δαίμονες δὲ τούτων οὐ πάντῃ καθαρεύουσι. τοσαῦτα δὴ οὖν περὶ τῆσδε τῆς διακρίσεως προσεθήκαμεν καὶ οἰόμεθα ἀπ' ἀμφοτέρων, τῶν τε ἔμπροσθεν καὶ τῶν νῦν ἐφόδων, γνωριμωτέραν αὐτὴν καθεστηκέναι.

21 Ἣν δὲ συναινεῖς διαίρεσιν τὴν τοῦ ἐμπαθοῦς ἀπὸ τοῦ ἀπαθοῦς ἴσως μὲν ἄν τις παραιτήσαιτο, ὡς οὐδετέρῳ τῶν κρειττόνων γενῶν ἐφαρμόζουσαν, δι' ἃς ἔμπροσθεν εἰρήκαμεν αἰτίας· καὶ μὴν διὰ τοῦτό γε αὐτὴν ἀνατρέπειν ἄξιον, διότι ἐλήλεγκται ἐκ τῶν ὡς εἰς ἐμπαθεῖς ὄντας

3. τῆς] τοῖς BD. 5. αὐτουργίᾳ sic A, αὐτουργίαν O. || post αὐτουργίᾳ AC add. τε, D add. τὸ || χρώμενον] sic ACD, χρώμενοι O. 6. θεοὶ om. B. 7. ἐπουσῶν A. 9. περὶ] πᾶσι BD, πᾶσι περὶ AC. || τῆσδε] ταῖς δε D. || κρίσεως ABD. 13. συναινεῖς] σὺ ἀναιρεῖς AC Fesch., σὺ ἀνερεῖς D. 14. ἴσω D. 16. καὶ] οὐ ACD Regii. 17. ἐλήλεγκται] sic D, ἐλήλεκται O. || εἰς additum ex A.

naturae generatrici, et secundum eam ubique distrahuntur. summa est, dii principes sunt et ordinant res omnes praesidendo, daemones ministri sunt et promptissime capessunt deorum imperia, liberrimum praestantes obsequium ad ea quae dii vel cogitent vel velint vel iubeant. quare dii ab iis quae ad genesin tendunt qualitatibus liberi sunt, daemones ab his puri adeo non sunt. de hac igitur instituta distinctione tot insuper adiecimus, et speramus tum ex prioribus tum ex hac accessione clariorem eam evasisse.

21 Distinctionem vero patibilis et impatibilis quam hic etiam probas, possit quis non immerito reiicere, ut quae meliorum generum neutri competat, propter causas eas quas prius diximus; nihilominus ideo evertendam censemus, quod arguat deos esse sensibiles ex sacri-

δρωμένων. ποία γὰρ ἁγιστεία καὶ κατὰ νόμους ἱερατικοὺς θεραπεία δρωμένη διὰ πάθους γίνεται, ἢ παθῶν τινὰ ἀποπλήρωσιν ἐμποιεῖ; οὐχ αὕτη μὲν κατὰ θεσμοὺς θεῶν νοερῶς τε κατ' ἀρχὰς ἐνομοθετήθη; μιμεῖται δὲ τὴν τῶν θεῶν τάξιν, τήν τε νοητὴν καὶ τὴν ἐν οὐρανῷ. ἔχει δὲ μέτρα τῶν ὄντων ἀίδια καὶ ἐνθήματα θαυμαστά, οἷα ἀπὸ τοῦ δημιουργοῦ καὶ πατρὸς τῶν ὅλων δεῦρο καταπεμφθέντα, οἷς καὶ τὰ μὲν ἄφθεγκτα διὰ συμβόλων ἀπορρήτων ἐκφωνεῖται, τὰ δὲ ἀνειδέα κρατεῖται ἐν εἴδεσι, τὰ δὲ πάσης εἰκόνος κρείττονα δι' εἰκόνων ἀποτυποῦται, πάντα δὲ διὰ θείας αἰτίας μόνης ἐπιτελεῖται, ἥτις τοσοῦτον κεχώρισται τῶν παθῶν, ὥστε μηδὲ λόγον αὐτῆς δυνατὸν εἶναι ἐφάπτεσθαι.

Σχεδὸν οὖν καὶ τοῦτο αἴτιον γέγονε τῆς ἐπὶ τὰ πάθη τῶν ἐπινοιῶν παρατροπῆς. ἀδύνατοι γὰρ ὄντες αὐτῶν οἱ ἄνθρωποι λογισμῶν τὴν γνῶσιν ἐπιλαβεῖν, νομίζοντες δὲ εἶναι δυνατὸν φέρονται ὅλοι πρὸς τὰ οἰκεῖα ἑαυτῶν τὰ

1. ἀγιστεία B. 4. καταρχὰς D. || μιμεῖτε D. 6. συνθήματα Gale not. 8. καὶ τὰ] κατὰ τὰ A, κατὰ D. 9. ἐκφανεῖται O. 14. πάθη] sic AC Fesch. Reg., πλήθη O. 17. εἶναι om. O. || ὅλον O. || ἑαυτὰ τῶν ἀνθρώπινα O.

ficiis. quae enim tandem est religio, qui cultus iuxta leges sacerdotales praestitus, qui per passiones perficitur aut passionibus explendis comparatur? nonne omnis sacrorum cultus secundum deorum leges et modo intellectuali ab initio sanciebatur? imitatur sane deorum utrumque ordinem, tum intelligibilem tum in caelo conspicuum; continet etiam mensuras rerum aeternas et tesseras quasi admirabiles, utpote ab opifice et universi patre huc demissas, in quibus ope symbolorum inenarrabilium arcana multa declarantur, et quae nullis formis per se vestiuntur tenentur deformata, et quae omnem imaginem superant figurantur imaginibus, omnia autem perficiuntur per causam divinam solam quae a passionibus omnibus adeo separatur, ut ne ratio quidem nostra possit eam attingere.

Atque hac fere de causa cogitationum de passionibus errores oriuntur. cum enim homines quod revera non possunt posse se credant, cognitionem assequi rationum quibus sacra nituntur, abripiuntur toti ad suas ipsorum passiones, et ex istis quae humana

ἀνθρώπινα πάθη, καὶ ἀπὸ τῶν παρ' ἑαυτοῖς τὰ θεῖα τεκμαίρονται. διαμαρτάνουσι τοίνυν αὐτῶν διχῆ, καὶ διότι τῶν θείων ἀποπίπτουσι καὶ διότι τούτων ἀποτυγχάνοντες ἐπὶ τὰ ἀνθρώπινα αὐτὰ πάθη καθέλκουσιν. ἐχρῆν δέ γε καὶ τῶν ὡσαύτως δρωμένων πρὸς θεοὺς καὶ ἀνθρώπους, οἷον προκυλίσεων προσκυνήσεων δωρεῶν ἀπαρχῶν, μὴ τὸν αὐτὸν ὑπολαμβάνειν τρόπον ἐπ' ἀμφοτέρων, κατὰ δὲ τὴν ἐπὶ τὰ τιμιώτερα διαφορὰν χωρὶς τιθέναι ἑκάτερα, καὶ τὰ μὲν ὡς θεῖα ἀποσεμνύνειν, τὰ δὲ ὡς ἀνθρώπινα ἡγεῖσθαι εὐκαταφρόνητα, καὶ τῶν μὲν πάθη διδόναι τὴν ἀπεργασίαν τῶν τε ποιούντων καὶ πρὸς οὓς γίνονται, (ἀνθρώπινα γάρ ἐστι καὶ σωματοειδῆ) τῶν δὲ διὰ θαύματος ἀτρέπτου καὶ σεμνῆς καταστάσεως, νοερᾶς τε χαρᾶς καὶ βεβαίας γνώμης ἀπεργαζομένων τιμᾶν διαφερόντως τὴν ἐνέργειαν, ἐπειδὴ τοῖς θεοῖς ἀνατίθεται.

6. προκλίσεων O. 9. post ἀνθρώπινα libri omnes, praeter CD addunt γενέσθαι, quod redundare monuit Gale not. 11. τε] δὲ A. || πρὸς] πρὸ B. 12. σωματωειδῆ D. 14. ἀπεργαζομένῳ BD.

sunt de divinis coniecturas fabricantur. ab iis igitur aberrant dupliciter, et quod a divinis excidant, et quod his omissis ad passiones humanas divinitatem deducant. verum oportuit eas res quae adversus homines et deos similiter praestantur, ut sunt genuflexiones adorationes munera primitiae, non eodem modo utrinque interpretari, sed utraque seorsim considerare, prout pretiosiora distingui decet a vilibus, et illa quidem venerari ut quae divina sint, haec quoniam sunt humana contemptui habere, haec passiones efficere tum in dantibus tum in accipientibus quoties fiunt, (sunt enim humana et corporea), illa vero et eorum operationem vehementer honorare, quoniam fiunt silentio quodam gravi, et venerabili consistentia animae et gaudio mentis et iudicio stabili, utpote quae ad deos referuntur.

Δεῖ δὲ δὴ καὶ τοῦτο προσαποδειχθῆναί σοι, δαίμων ἥρωος καὶ ψυχῆς τίνι κατ' οὐσίαν διαφέρει ἢ κατὰ δύναμιν ἢ ἐνέργειαν. λέγω τοίνυν δαίμονας μὲν κατὰ τὰς γεννητικὰς καὶ δημιουργικὰς τῶν θεῶν δυνάμεις ἐν τῇ πορρωτάτῃ τῆς προόδου ἀποτελευτήσει καὶ τῶν ἐσχάτων διαμερισμῶν παράγεσθαι, ἥρωας δὲ κατὰ τοὺς τῆς ζωῆς ἐν τοῖς θείοις λόγους, καὶ τὰ πρῶτα καὶ τέλεια μέτρα τῶν ψυχῶν ἀποτελευτᾶν ἀπ' αὐτῶν καὶ ἀπομερίζεσθαι. 2, 1

Γενομένης δὲ οὕτως τῆς τῶν δαιμόνων καὶ ἡρώων φύσεως ἀπὸ τῶν ἑτέρων αἰτίων καὶ αὐτὴν ἔχειν τὴν οὐσίαν παραλλάττουσαν ἀνάγκη· ἀπεργαστικὴν μὲν εἶναι τὴν τῶν δαιμόνων καὶ τελεσιουργὸν τῶν περικοσμίων φύσεων καὶ ἀποπληρωτικὴν τῆς καθ' ἕκαστον τῶν γινομένων ἐπιστασίας, ζωτικὴν καὶ λογικὴν καὶ ψυχῶν ἡγεμονικὴν ὑπάρχειν τὴν τῶν ἡρώων. δυνάμεις τε τοῖς μὲν δαίμοσι γονίμους, ἐπιστατικάς τε τῆς φύσεως καὶ τοῦ συνδέσμου τῶν ψυχῶν εἰς τὰ σώματα ἀφοριστέον, τοῖς τε ἥρωσι

3. *δαίμονες* A. 5. *πορρωτάτῳ* D. 7. *θείοις*] *θεοῖς* D. 8. *ἀπ'*] *ἐπ'* D. 9. *γενομένης*] sic A, *γινομένης* O. ‖ *οὕτως φύσεως δαιμόνων καὶ ἡρώων ἀπὸ* A. 9. 10. *τῆς — φύσεως* om. CD. 11. *ἀνάγκη* om. ACD. 14—17. *ἡγεμονικὴν — τῶν ψυχῶν* bis habet D. 16. *γονίμοις* B. ‖ *ἐπιστατικὸς* B. ‖ *τε*] *δὲ* AD.

Illud quoque demonstrare tibi oportet, quomodo daemones ab heroibus et animabus distinguantur, essentiane an potentia an operatione. affirmo igitur daemonas oriri quidem ex potestatibus deorum generatricibus et opificibus, sed tam demum cum ista potestas ad extremos processus sui fines et divisiones ultimas devenerit: heroas autem iuxta rationes vitales quae sunt in diis exoriri: animas autem principales et perfectissimas hos ipsos excipere, ab ipsis definiri et ab ipsis separari. 1

Iam cum nascantur ab aliis atque aliis causis, diversas quoque obtinere vires credere par est: et daemonum essentiam operativam esse, et naturarum mundanarum perfectivam, et eiusmodi esse quae curam gerat rerum omnium quae nascuntur, heroum hanc esse naturam, ut vitam et rationem rebus sufficiat, et animabus praesideat. potentias utrorumque quod spectat, daemonas definimus esse genitabiles, quodque ad eos naturae administratio et animarum corporibus

ζωοποιούς, ἡγεμονικὰς τῶν ἀνθρώπων, γενέσεως ἀπολελυμένας ἀπονέμειν ἄξιον.

2 *Ἑπομένως δὲ καὶ τὰς ἐνεργείας αὐτῶν διοριστέον· καὶ μᾶλλον μὲν περικοσμίους θετέον τὰς τῶν δαιμόνων, καὶ διατεινούσας ἐπὶ πλεῖον ἐν τοῖς ἀποτελουμένοις ὑφ' ἑαυτῶν, τὰς δὲ τῶν ἡρώων καὶ ἐπ' ἔλαττον μὲν διηκούσας, παρὰ δὲ τὴν τῶν ψυχῶν διάταξιν ἐπιστρεφομένας. οὕτως δὴ οὖν διωρισμένων ὑστέρα ἐστὶν ἡ ψυχὴ καταλήγουσα πρὸς τὸ τέλος τῶν θείων τάξεων καὶ ἀπὸ τῶν δύο τούτων γενῶν μοίρας τινὰς δυνάμεων διακληρωσαμένη μεριστάς, προσθήκαις τε ἄλλαις περιττοτέραις πλεονάζουσα ἀφ' ἑαυτῆς, καὶ ἄλλοτε ἄλλα εἴδη καὶ λόγους ἐξ ἑτέρων ἑτέρους, βίους τε ἄλλους ἄλλοτε προβάλλουσα, καθ' ἑκάστην τε χώραν τοῦ κόσμου ποικίλαις ζωαῖς καὶ ἰδέαις χρωμένη,*

1. *ζωοποιούς*] sic AC, *ζωοποιός* BD, *ζωοποιάς* O. ‖ *ἡγεμονικὸς* B. ‖ *ἀνθρώπων*] *ἀνων* D hic et saepius, *θεῶν* B. 3. *ἀπομένως* D. 3—5. *διοριστέον· καὶ μᾶλλον μὲν* (*δὲ* Fesch.) *περικοσμίους θετέον τὰς τῶν δαιμόνων, καὶ διατεινούσας*] sic ACD Fesch., *τὰς μὲν τῶν δαιμόνων περὶ τὸν κόσμον ἐπιστρεφομένας καὶ μᾶλλον διατεινούσας* O. 4. 5. *καὶ μᾶλλον — δαιμόνων καὶ* om. B. 8. *ὑστέρα*] *δευτέρα* ACD. ‖ *ἐστὶν ἡ ψυχὴ* post *τάξεων* (v. 9) ponit A, om. CD. 12. *λόγους*] *λόγους τε* AC. 13. *προσβάλλουσα* D. 14. *τε*] sic ACD, om. O. ‖ *ζωαῖς*] l. *ζώναις* marg. D a sec. manu

alligandarum cura pertineat, heroibus vero vires tribuere oportet vivificas, hominum duces, et a generatione solutas.

2 Sequitur iam ut eorum operationes distinguamus inter se. et sane daemonum operationes consideramus tamquam versantes circa mundum, latiusque se extendentes in iis quae perficiunt: heroum vero non ita longe pertingentes, et praecipue occupatas in animabus ordinandis. his duobus sic definitis anima sequitur, quae divinorum ordinum fines attingit, et ab his duobus generibus portiones quasdam particulares potentiarum sortitur, et ex se ipsa aliis cumulata accessionibus abundat, aliasque ex aliis species et rationes diversas ex diversis subinde acquirens, et mores alios, pro diversis mundi regionibus variis vitis et ideis utitur, simul quibus vult ap-

συμφυομένη τε οἷς ἂν ἐθέλῃ, καὶ ἀφ᾽ ὧν ἂν βούληται ἀναχωροῦσα, ὁμοιουμένη τοῖς πᾶσι καὶ δι᾽ ἑτερότητος ἀπ᾽ αὐτῶν διισταμένη, λόγους τε προχειρίζουσα συγγενεῖς τοῖς οὖσι καὶ γιγνομένοις, θεοῖς τε συνάπτουσα ἑαυτὴν κατ᾽ ἄλλας ἁρμονίας οὐσιῶν καὶ δυνάμεων, ἢ καθ᾽ οἵας δαίμονές τε καὶ ἥρωες πρὸς αὐτοὺς συνεπλέκοντο· καὶ τὸ μὲν ἀίδιον τῆς ὁμοίας ζωῆς καὶ ἐνεργείας παρ᾽ ἔλαττον ἐκείνων ἔχουσα, διὰ δὲ τὴν τῶν θεῶν βούλησιν ἀγαθὴν καὶ τὴν ἀπ᾽ αὐτῶν ἐνδιδομένην φωτὸς ἔλλαμψιν πολλάκις καὶ ἀνωτέρω χωροῦσα, ἐπὶ μείζονά τε τάξιν τὴν ἀγγελικὴν ἀναγομένη. ὅτε δὴ οὐκέτι τοῖς τῆς ψυχῆς ὅροις ἀναμένει, τὸ δ᾽ ὅλον τοῦτο εἰς ἀγγελικὴν ψυχὴν καὶ ἄχραντον τελειοῦται ζωήν. ὅθεν δὴ καὶ δοκεῖ παντοδαπὰς οὐσίας καὶ ἐνεργείας, λόγους τε παντοίους καὶ εἴδη τὰ ὅλα παρέχειν ἐν ἑαυτῇ ἡ ψυχή. τὸ δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὥρισται μὲν ἀεὶ καθ᾽ ἕν τι, κοινωνοῦσα δὲ ἑαυτὴν τοῖς προηγουμένοις αἰτίοις ἄλλοτε ἄλλοις συνάπτεται.

1. τε ἃ οἷς D. 4. γινομένοις D. 7. παρέλαττον A. 8. ἔχουσαι CD. 9. ἔλλαμψιν] sic ACD, ἔλαμψιν B, ἔκλαμψιν O. 10. χωροῦσαι CD. 13. 14. οὐσίας καὶ ἐνεργείας] sic A, οὐσίας καὶ οὐσίας D, οὐσίας καὶ O, οὐσίας C. 15. ἑαυτῷ C. || τὸ ἀληθὲς A. 16. κοινοῦσα ABD, κινοῦσα marg. B. 17. συντάττεται A Reg., συνάττεται D.

plicans se, et a quibus vult iterum resiliens, omnibus assimulatur et ab omnibus dissidet diversa, per rationes congeneres quas de se promit, annectit se rebus quae vere sunt et quae generantur, etiam diis ipsis; idque per alias essentiarum et potentiarum convenientias, quam quibus aut daemones aut heroes se cum diis connectunt. et quanquam aeternum vitae similis et operationum tenorem minus servet quam heroes et daemones, tamen per deorum benignitatem et infusam ab illis illuminationem saepe altius ascendit, et in ordinem maiorem angelicum evehitur. hoc quoties fit, non iam amplius animae finibus continetur, sed tota in angelicam animam evadit, et in purissimam vitam perfecte pervenit. atque hinc est quod anima videtur in se continere omnimodas essentias et potestates, rationes omnifarias et species universas. sed si verum fateri oporteat, determinatur illa quidem semper ad unum quid, sed causis praecedentibus alias aliis se ipsam accommodat, et cum illis connectitur.

Τοσαύτης οὖν οὔσης καθόλου διαφορᾶς ἐν αὐτοῖς, οὐκέτι δεῖ ἀμφισβητεῖν, τί δήποτε ἐν αὐτοῖς ἐστὶ τὸ παραλλάττον· ᾗπερ δὴ ἔχει φύσεως ταῦτα ἕκαστα, ταύτῃ διακριτέον ταῦτα ἀπ' ἀλλήλων· καὶ καθ' ὅσον δύναται σύνοδον ποιεῖσθαι μίαν, κατὰ τοσοῦτον τὴν κοινωνίαν αὐτῶν θεωρητέον· οὕτω γὰρ ἄν τις αὐτῶν συνηθείη ἀψευδῶς περιλαβεῖν καὶ διορίσαι χωρὶς τὴν ἔννοιαν.

3 Ἀλλ' ἐπὶ τὰς ἐπιφανείας αὐτῶν βαδιοῦμαι. τί δήποτε ἔχουσι τὸ διάφορον; ἐπιζητεῖς γάρ, τί τὸ γνώρισμα θεοῦ παρουσίας ἢ ἀγγέλου ἢ ἀρχαγγέλου ἢ δαίμονος ἤ τινος ἄρχοντος ἢ ψυχῆς. ἑνὶ μὲν οὖν λόγῳ ταῖς οὐσίαις αὐτῶν καὶ δυνάμεσι καὶ ἐνεργείαις τὰς ἐπιφανείας ἀφορίζομαι εἶναι ὁμολογουμένας· οἷοι γάρ ποτέ εἰσι, τοιοῦτοι καὶ τοῖς ἐπικαλουμένοις ἐπιφαίνονται, ἐνεργείας τε ἀναφαίνουσι, καὶ ἰδέας ἑαυτοῖς συμφώνους καὶ γνωρίσματα ἑαυτῶν τὰ οἰκεῖα ἐπιδεικνύουσιν.

Ὡς δὴ καθ' ἕκαστον διορίσασθαι, μονοειδῆ μέν ἐστι φάσματα τὰ τῶν θεῶν, τὰ δὲ τῶν δαιμόνων ποικίλα, τὰ

1. καθόλου] sic Velsenius, καθ' ὅλα D, καθόλα O. 3. δὴ] sic A, δὲ O. || φύσεως] sic AD, φύσις O. 17. δὴ] δὲ AD. || διωρίσασθαι C.

Tanta igitur in genere per omnia cum sit inter hos differentia, non amplius oportet ambigere, quid sit quod eos distinguat: ut quaeque et quatenus sese habent in natura, eatenus sunt ab invicem distinguenda; quatenus vero consensum unum possunt praestare, eo usque convenientia eorum est consideranda: hac enim ratione possit quis sine errore unam de omnibus complexam vel distinctam adipisci notionem.

3 Sed progrediar iam ad apparitiones deorum, ut quid hic sit differentiae deprehendam. quaeris enim quo indicio cognoscamus aut deum apparere aut angelum aut archangelum aut daemonem aut aliquem principem aut animam. uno igitur verbo statuo, eorum epiphanias respondere eorum essentiis potestatibus et operationibus: quales enim sunt tales invocantibus apparent, operationesque ostendunt, et ideas sibi congruentes et indicia sibi propria exhibent.

Sed ut singulatim haec determinem, deorum quidem phasmata simplicia sunt, daemonum vero varia, angelorum simpliciora sunt

δὲ τῶν ἀγγέλων ἁπλούστερα μὲν ἢ κατὰ τοὺς δαίμονας, τῶν δὲ θείων ὑποδεέστερα, τὰ δὲ τῶν ἀρχαγγέλων μᾶλλόν τι τοῖς θείοις αἰτίοις συνεγγίζοντα, τὰ δὲ τῶν ἀρχόντων, εἰ μέν σοι δοκοῦσιν οὗτοι εἶναι οἱ κοσμοκράτορες οἱ τὰ ὑπὸ σελήνην στοιχεῖα διοικοῦντες, ἔσται ποικίλα μέν, ἐν τάξει δὲ διακεκοσμημένα, εἰ δὲ οἱ τῆς ὕλης προεστηκότες, ἔσται ποικιλότερα μέν, ἀτελέστερα δὲ τούτων μᾶλλον· τὰ δὲ τῶν ψυχῶν παντοδαπὰ φαίνεται. καὶ τὰ μὲν τῶν θεῶν χρηστὰ τῇ ὄψει ἐλλάμπει, τὰ δὲ τῶν ἀρχαγγέλων βλοσυρὰ ἅμα καὶ ἥμερα, πραότερα δὲ τῶν ἀγγέλων, τὰ δὲ τῶν δαιμόνων φοβερά· τὰ δὲ τῶν ἡρώων, καὶ εἰ παραλέλειπται ἐν τῇ ἐρωτήσει, τυγχανέτω τῆς ἀληθείας γε ἕνεκα ἀποκρίσεως, ὅτι δὴ τῶν δαιμόνων ἐστὶν ἡμερώτερα· τὰ δὲ τῶν ἀρχόντων καταπληκτικὰ μέν ἐστιν, εἰ περὶ τὸν κόσμον ἐνεξουσιάζουσι, βλαβερὰ δὲ τοῖς ὁρῶσι καὶ λυπηρά, εἴπερ εἰσὶν ἔνυλοι· τὰ δὲ τῶν ψυχῶν προσέοικε μέν τι τοῖς ἡρωικοῖς, πλὴν ἐστί γε αὐτῶν ὑποδεέστερα.

Πάλιν τοίνυν τὰ μὲν τῶν θεῶν ἐστὶ παντελῶς ἀμε-

5. ποικιλλία ABD. 6. διακεκοσμημένως ABD, διακεκοσμήνως C. 8. παντοδαπᾶ A. 11. 12. παραλέληπται B. 12. γε om. C. 13. δαιμονίων D. 15. ἐνεξουσιάζουσι] sic ACD, ἐξουσιάζουσι O. 16. μέν τι] sic AC, μέντοι O. 17. ὑδεέστερα A.

quam daemonum, inferiora vero quam quae sunt deorum, archangelorum propius paulo ad causas divinas accedunt, archontum phasmata, siquidem iidem tibi videantur qui et mundi sunt rectores, quique sublunaria elementa gubernant, varietatem quidem habent sed et ordinem et ornatum, si vero ii sunt qui materiam moderantur et regunt, apparent quidem sub maiori varietate, sed et imperfectiores sunt quam principes, animarum denique spectra omnigena apparent. et dii quidem salutares visui affulgent, archangeli terribiles simul et mites, angeli adhuc mitiores sunt, daemones horribiles, heroes (quos etiamsi in interrogatione praetermiseras, de his tamen veram responsionem applicemus) mitiores quidem sunt quam daemones, archontes si mundo imperitant obstupefaciunt, si materiales sunt, videntibus noxii occurrunt et dolores afferunt, animarum denique spectra heroicis similia sunt sed debiliora.

Rursus deorum visa prorsus sunt immutabilia magnitudine figura

τάβλητα κατά τε μέγεθος καὶ μορφὴν καὶ σχῆμα καὶ κατὰ πάντα τὰ περὶ αὐτοὺς ὄντα· τὰ δὲ τῶν ἀρχαγγέλων πλησιάζοντα τοῖς τῶν θεῶν ἀπολείπεται αὐτῶν τῆς ταὐτότητος· τὰ δὲ τῶν ἀγγέλων καὶ τούτων ἐστὶν ὑποδεέστερα, ἀμετάβλητα δέ· τὰ τῶν δαιμόνων ἰνδάλλεται ἄλλοτε ἐπ' ἄλλης ὁρώμενα μορφῆς καὶ μεγάλα καὶ μικρά, τὰ αὐτὰ φαινόμενα. καὶ δὴ καὶ τὰ τῶν ἀρχόντων, ὅσα μέν ἐστιν ἡγεμονικά, ἀναλλοίωτα ὑπάρχει, τὰ δὲ ἔνυλα ἀλλοιοῦται πολυειδῶς· τὰ δὲ τῶν ἡρώων προσέοικε τοῖς τῶν δαιμόνων, τὰ δὲ τῶν ψυχῶν τῆς δαιμονίας μεταβολῆς οὐκ ὀλίγον μέρος ὑφιεῖσιν.

Ἔτι τοίνυν τάξις καὶ ἠρεμία τοῖς θεοῖς προσήκει, τοῖς δὲ τῶν ἀρχαγγέλων δραστήριον τὸ τῆς τάξεως καὶ ἠρεμίας ὑπάρχει, τοῖς δὲ ἀγγέλοις οὐκ ἀπηλλαγμένον ἤδη κινήσεως τὸ διακεκοσμημένον καὶ ἡσυχαῖον πάρεστι, ταραχὴ δὲ καὶ ἀταξία τοῖς δαιμονίοις φάσμασι συνακολουθεῖ, τοῖς δὲ τῶν ἀρχόντων κατὰ δόξαν ἑκατέραν ὧν προείπομεν ὁμολογούμενα συνέπεται τὰ ὁράματα, θορυβώδη

6. *ἄλλης*] *ἄλλ'* B. 7. *τὰ*] *κατὰ* ACD. 9. *τὰ δὲ τῶν*] *τὰ δ' αὖ τῶν* AD, *τὰ δ' αὐτῶν* C. 12. *ἡρεμία* B. 14. *ἡρεμίας* B. ‖ *ἀπηλλαγμένον*] sic ACD, *ἀπηλλαγμένου* B, *ἀπηλλαγμένοις* O. ‖ *ἤδη*] *ἤδε* (*εἰ* super *η* add. eadem manus) A, post *κινήσεως* ponit O. 15. *διακεκοσμένον καὶ ἡσυχαίων* D. 18. *θωρυβώδη* O.

schemate omnibusque ad se pertinentibus; archangeli diis proximi sunt sed non aspirant ad eorum identitatem; angelorum epiphaniae adhuc debiliores sunt sed immutabiles; daemones apparent alias alia forma conspicui nunc magni nunc parvi, sed iidem agnoscuntur; et archontes quod attinet immutabiles sunt, quotquot ex iis mundo praesunt, variis autem modis transformantur ii qui materiam participant; heroes daemonum imitantur apparitiones; animae in mutabilitate daemonas plurimum sequuntur.

Porro dii ordinem et quietem in apparitionibus ostendunt; archangeli efficacitatem quandam ordini et quieti adhibent; angelis adest ornatus et tranquillitas non sine motu; daemonum phasmata perturbatio et confusio sequitur; archontes utrique quam de iis praemisimus sententiae convenientia habent spectra, materiae principes feruntur tumultuabundi, mundi principes cum stabilitate con-

μὲν φερόμενα τὰ ἔνυλα, τὰ δ' ἡγεμονικὰ μονίμως ἑστῶτα ἐν αὐτοῖς, τὰ δὲ τῶν ἡρώων ὑπειγμένα τῇ κινήσει καὶ μεταβολῆς οὐκ ἄμοιρα, τὰ δὲ τῶν ψυχῶν προσεοικότα μέντοι τοῖς ἡρωικοῖς, ἐλάττονα δὲ ὅμως ὄντα καὶ τούτων.

Πρὸς δὴ τούτοις τοῖς ἰδιώμασι τὰ μὲν θεῖα κάλλος οἷον ἀμήχανον ἀπαστράπτει, θαύματι μὲν κατέχον τοὺς ὁρῶντας, θεσπεσίαν δὲ εὐφροσύνην παρεχόμενον, ἀρρήτῳ δὲ τῇ συμμετρίᾳ ἀναφαινόμενον, ἐξῃρημένον δὲ ἀπὸ τῶν ἄλλων εἰδῶν τῆς εὐπρεπείας. τὰ δὲ τῶν ἀρχαγγέλων μακάρια θεάματα μέγιστον μὲν ἔχει καὶ αὐτὰ τὸ κάλλος, οὐ μὴν ἔτι γε ὁμοίως ἄρρητον καὶ θαυμαστόν, ὥσπερ τὸ θεῖον· τὰ δὲ τῶν ἀγγέλων μεριστῶς ἤδη διαιρεῖ τὸ καλόν, ὅπερ ἀπὸ τῶν ἀρχαγγέλων παραδέχεται. τὰ δαιμόνια δὲ καὶ τὰ ἡρωικὰ αὐτοπτικὰ πνεύματα ἐν εἴδεσι μὲν ὡρισμένοις ἔχει τὸ κάλλος ἀμφότερα, οὐ μὴν ἀλλὰ τὸ μὲν ἐν λόγοις τοῖς τὴν οὐσίαν ἀφορίζουσι διακοσμηθέν ἐστι δαιμόνιον, τὸ δ' ἐπιδεικνύμενον τὴν ἀνδρίαν ἡρωικόν. τὰ δὲ τῶν ἀρχόντων διχῇ διῃρήσθω· τὰ μὲν γὰρ ἡγεμονικὸν

1. μονύμως, in marg. ab alia manu: l. μονίμως D. 2. ἠπειγμένα AD. 5. τοῖς sic ACD, om. O. || τὰ μὲν θεῖα] sic ACD, τὸ μὲν θεῖον O. 6. ἀποστράπτει D. || μετέχον (corr. pr. m. κατέχον) D. 17. ἀνδρείαν AD.

stantiaque in se ipsis veniunt in conspectum; heroes et motui obsequuntur et mutationi obnoxii sunt; animae heroica spectra aemulantur, sed minora sunt istis.

Sed praeter haec quae diximus idiomata dii etiam pulchritudine incomparabili fulgent, admiratione spectantes defigunt, divinum quoddam instillant gaudium, et ineffabilem symmetriam prae se ferunt, adeoque eximia sunt maiestate ut nihil sit ex omni isthoc genere cum iis conferendum. archangelorum visa beata habent quidem et illa magnam pulchritudinem, sed non ita admirabilem et ineffabilem, ut est illa deorum. angeli vero adhuc imperfectius pulchritudinem participant, quam utique ab archangelis mutuantur. daemonum et heroum spiritus per se apparentes in speciebus certis pulchritudinem possident utrique, sed daemones secundum rationes essentiam determinantes pulchri, illi qui insuper fortitudinem ostentant heroes sunt. archontum spiritus dupliciter dividi possunt, et hi quidem princi-

κάλλος καὶ αὐτοφυὲς ἐπιδείκνυσι, τὰ δὲ εὐμορφίαν πεπλασμένην καὶ ἐπισκευαστὴν ἐμφαίνει. τὰ δὲ τῶν ψυχῶν ἐν λόγοις μὲν καὶ αὐτὰ διακεκόσμηται πεπερασμένοις, διῃρημένοις δὲ μᾶλλον τῶν ἐν τοῖς ἥρωσι καὶ περιειλημμένοις μεριστῶς καὶ κρατουμένοις ὑφ' ἑνὸς εἴδους. εἰ δὲ δεῖ κατὰ πάντων κοινῶς ἀφορίσασθαι, φημὶ τῶν ὅλων ὥσπερ ἕκαστα διατέτακται καὶ ὡς ἔχει τῆς οἰκείας φύσεως, οὕτως καὶ τοῦ κάλλους αὐτὰ κατὰ τὴν ὑπάρχουσαν διακλήρωσιν μετειληχέναι.

4 *Ἐπ' ἄλλα τοίνυν ἰδιώματα αὐτῶν μετιόντες λέγωμεν, ὡς ὀξύτης ἐν ταῖς ἐνεργείαις παρὰ μὲν τοῖς θεοῖς καὶ αὐτοῦ τοῦ νοῦ ταχυτέρα διαλάμπει, καίτοι ἀκίνητοί γε ἐν αὑταῖς καὶ σταθεραί εἰσιν αὗται· παρὰ δὲ τοῖς ἀρχαγγέλοις σύμμικτοί πώς εἰσιν αἱ ταχυτῆτες αὐτῶν δραστηρίοις ἐνεργείαις· αἱ δὲ τῶν ἀγγέλων ἐφάπτονταί τινος ἤδη κινήσεως, καὶ τὸ ἅμα τῷ λέγειν ἀποτελεστικὸν οὐκέτι ὁμοίως προσειλήφασι· παρὰ δὲ τοῖς δαίμοσι φαντασία*

1. *κάλλος*] *ἄλλος* C. 2. *καὶ* om. A || *ἐπισκευαστὴν*] sic ACD, *ἐπισκευαστικὴν* O. 5. *μεριστῶν* C. 8. *οὕτω* A. 11. *ὀξύτις* AC. 13. *ἐν αὐτοῖς* ACD. || *αὐταὶ*] *αὗται* D. || *παρὰ*] *περὶ* ABD. 14. 15. *δραστηρίοις*] sic AC, *διαστηρίοις* O. 16. *οὐκεθ'* A.

palem quandam pulchritudinem et nativam ostendunt, illi, nempe materiales, fictam et elaboratam produnt. animarum pulchritudo in rationibus etiam consistit determinatis, sed diversis magis quam quae sunt in heroum forma, et particularius circumscriptis, et sub una specie comprehensis. verum si oporteat omnium idiomata generaliter definire, dico omnia pulchritudinem sortiri pro ea in qua versantur conditione ordinis naturae propriae.

4 Ad alia igitur idiomata eorum transeamus, dicamusque quod in operationibus deorum velocitas quaedam sit, quae ipsa mente celerius emicat, cum tamen illae ipsae operationes immobiles in se ipsis et stabiles semper sint; archangelorum velocitates permiscentur aliquatenus cum operationibus efficacibus; angelorum de motu non nihil percipiunt, nec pariter habent ut simul cum dicto quod velint perficiant; daemones non tam celeriter opera sua expediunt revera ac

πλείων ἐστὶ τῆς ἀληθείας τοῦ τάχους τῶν ἔργων. ἐν δὲ τοῖς ἡρωικοῖς μεγαλοπρέπεια μέν τις ἐν ταῖς κινήσεσι διαφαίνεται, τὸ δ' ἀποτελεστικὸν ὧν ἐφίενται ἐνεργεῖν, οὐχ οὕτω ταχέως ὥσπερ τοῖς δαίμοσι πάρεστιν. ἐν δὲ τοῖς τῶν ἀρχόντων ἀξιόλογα μὲν τὰ πρῶτα καὶ ἐξουσιαστικὰ ἐνεργήματα καταφαίνεται, τὰ δεύτερα δὲ ἔμφασιν μὲν ἔχει πλείονα, τοῦ δ' ἐπὶ τῶν πράξεων τέλους ἀπολείπεται· τὰ δ' ἐπὶ τῶν ψυχῶν κεκινημένα μᾶλλον, ἀσθενέστερα δὲ τῶν ἡρωικῶν ὁρᾶται.

Πρὸς δὲ τούτοις τὸ μέγεθος τῶν ἐπιφανειῶν παρὰ μὲν τοῖς θεοῖς τοσοῦτον ἐπιδείκνυται, ὡς καὶ τὸν οὐρανὸν ὅλον ἐνίοτε ἀποκρύπτειν καὶ τὸν ἥλιον καὶ τὴν σελήνην, τήν τε γῆν μηκέτι δύνασθαι ἑστάναι αὐτῶν κατιόντων· ἀρχαγγέλων δὲ ἐκφαινομένων μοῖραι μέν τινες συγκινοῦνται τοῦ κόσμου καὶ πρόδρομον φῶς προηγεῖται διῃρημένον. αὐτοὶ δὲ κατὰ μεγέθη τῆς ἡγεμονίας σύμμετρον ἐπιδεικνύουσι καὶ τὸ τῆς αὐτῆς μέγεθος. τούτου δ' ἔλαττόν ἐστι τὸ ἀγγελικὸν μικρότητί τε καὶ τῷ κατ' ἀριθμὸν διῃ-

1. τάχους] μάχους D. 10. παρὰ] περὶ ABCD. 14. ἀγγέλων C. ‖ ἀφαινομένων D. ‖ μοῖρα D. 15. προσηγεῖται B. 17. τούτου] sic AC, τοῦτο O. 18. τῷ] sic A, τὸ O.

videntur; heroes dignitatem quandam cum ad operandum moventur ostendunt, sed parem cum daemonibus celeritatem in perficiendo quae cupiunt non assequuntur; in archontum operationibus primae apparent ex dignitate et imperio proficisci, secundae satis apparentiae habent, excidunt autem fine operationis suae; animarum operationes mobiliores cernuntur quam heroum, sed debiliores.

His accedit magnitudo epiphaniarum: et deorum quidem tanta conspicitur ut et totum caelum et solem et lunam abscondere aliquando videatur, et ipsa terra eis descendentibus non possit amplius durare. archangeli quoties apparent, partes quaedam mundi simul commoventur, et praevia quaedam lux eos praecurrit sed divisa, ipsi vero pro magnitudine dominationis suae magnitudinem splendoris prae se ferunt. angelica lux et minor ex se et magis divisa in daemonibus magis adhuc dividitur, et nec eadem in iis semper depre-

ἀνθρώπινα πάθη, καὶ ἀπὸ τῶν παρ' ἑαυτοῖς τὰ θεῖα τεκμαίρονται. διαμαρτάνουσι τοίνυν αὐτῶν διχῇ, καὶ διότι τῶν θείων ἀποπίπτουσι καὶ διότι τούτων ἀποτυγχάνοντες ἐπὶ τὰ ἀνθρώπινα αὐτὰ πάθη καθέλκουσιν. ἐχρῆν δέ γε καὶ τῶν ὡσαύτως δρωμένων πρὸς θεοὺς καὶ ἀνθρώπους, οἷον προκυλίσεων προσκυνήσεων δωρεῶν ἀπαρχῶν, μὴ τὸν αὐτὸν ὑπολαμβάνειν τρόπον ἐπ' ἀμφοτέρων, κατὰ δὲ τὴν ἐπὶ τὰ τιμιώτερα διαφορὰν χωρὶς τιθέναι ἑκάτερα, καὶ τὰ μὲν ὡς θεῖα ἀποσεμνύνειν, τὰ δὲ ὡς ἀνθρώπινα ἡγεῖσθαι εὐκαταφρόνητα, καὶ τῶν μὲν πάθη διδόναι τὴν ἀπεργασίαν τῶν τε ποιούντων καὶ πρὸς οὓς γίνονται, (ἀνθρώπινα γάρ ἐστι καὶ σωματοειδῆ) τῶν δὲ διὰ θαύματος ἀτρέπτου καὶ σεμνῆς καταστάσεως, νοερᾶς τε χαρᾶς καὶ βεβαίας γνώμης ἀπεργαζομένων τιμᾶν διαφερόντως τὴν ἐνέργειαν, ἐπειδὴ τοῖς θεοῖς ἀνατίθεται.

6. προκλίσεων O. 9. post ἀνθρώπινα libri omnes, praeter CD addunt γενέσθαι, quod redundare monuit Gale not. 11. τε] δὲ A. || πρὸς] πρὸ B. 12. σωματωειδὴ D. 14. ἀπεργαζομένῳ BD.

sunt de divinis coniecturas fabricantur. ab iis igitur aberrant dupliciter, et quod a divinis excidant, et quod his omissis ad passiones humanas divinitatem deducant. verum oportuit eas res quae adversus homines et deos similiter praestantur, ut sunt genuflexiones adorationes munera primitiae, non eodem modo utrinque interpretari, sed utraque seorsim considerare, prout pretiosiora distingui decet a vilibus, et illa quidem venerari ut quae divina sint, haec quoniam sunt humana contemptui habere, haec passiones efficere tum in dantibus tum in accipientibus quoties fiunt, (sunt enim humana et corporea), illa vero et eorum operationem vehementer honorare, quoniam fiunt silentio quodam gravi, et venerabili consistentia animae et gaudio mentis et iudicio stabili, utpote quae ad deos referuntur.

Δεῖ δὲ δὴ καὶ τοῦτο προσαποδειχθῆναί σοι, δαίμων 2, 1
ἥρωος καὶ ψυχῆς τίνι κατ' οὐσίαν διαφέρει ἢ κατὰ δύναμιν ἢ ἐνέργειαν. λέγω τοίνυν δαίμονας μὲν κατὰ τὰς γεννητικὰς καὶ δημιουργικὰς τῶν θεῶν δυνάμεις ἐν τῇ πορρωτάτῃ τῆς προόδου ἀποτελευτήσει καὶ τῶν ἐσχάτων διαμερισμῶν παράγεσθαι, ἥρωας δὲ κατὰ τοὺς τῆς ζωῆς ἐν τοῖς θείοις λόγους, καὶ τὰ πρῶτα καὶ τέλεια μέτρα τῶν ψυχῶν ἀποτελευτᾶν ἀπ' αὐτῶν καὶ ἀπομερίζεσθαι.

Γενομένης δὲ οὕτως τῆς τῶν δαιμόνων καὶ ἡρώων φύσεως ἀπὸ τῶν ἑτέρων αἰτίων καὶ αὐτὴν ἔχειν τὴν οὐσίαν παραλλάττουσαν ἀνάγκη· ἀπεργαστικὴν μὲν εἶναι τὴν τῶν δαιμόνων καὶ τελεσιουργὸν τῶν περικοσμίων φύσεων καὶ ἀποπληρωτικὴν τῆς καθ' ἕκαστον τῶν γινομένων ἐπιστασίας, ζωτικὴν καὶ λογικὴν καὶ ψυχῶν ἡγεμονικὴν ὑπάρχειν τὴν τῶν ἡρώων. δυνάμεις τε τοῖς μὲν δαίμοσι γονίμους, ἐπιστατικάς τε τῆς φύσεως καὶ τοῦ συνδέσμου τῶν ψυχῶν εἰς τὰ σώματα ἀφοριστέον, τοῖς τε ἥρωσι

3. δαίμονες A. 5. πορρωτάτῳ D. 7. θείοις] θεοῖς D. 8. ἀπ'] ἐπ' D. 9. γενομένης] sic A, γινομένης O. || οὕτως φύσεως δαιμόνων καὶ ἡρώων ἀπὸ A. 9. 10. τῆς — φύσεως om. CD. 11. ἀνάγκη om. ACD. 14—17. ἡγεμονικὴν — τῶν ψυχῶν bis habet D. 16. γονίμοις B. || ἐπιστατικὸς B. || τε] δὲ AD.

Illud quoque demonstrare tibi oportet, quomodo daemones ab 1
heroibus et animabus distinguantur, essentiane an potentia an operatione. affirmo igitur daemonas oriri quidem ex potestatibus deorum generatricibus et opificibus, sed tum demum cum ista potestas ad extremos processus sui fines et divisiones ultimas devenerit: heroas autem iuxta rationes vitales quae sunt in diis exoriri: animas autem principales et perfectissimas hos ipsos excipere, ab ipsis definiri et ab ipsis separari.

Iam cum nascantur ab aliis atque aliis causis, diversas quoque obtinere vires credere par est: et daemonum essentiam operativam esse, et naturarum mundanarum perfectivam, et eiusmodi esse quae curam gerat rerum omnium quae nascuntur, heroum hanc esse naturam, ut vitam et rationem rebus sufficiat, et animabus praesideat. potentias utrorumque quod spectat, daemonas definimus esse genitabiles, quodque ad eos naturae administratio et animarum corporibus

ζωοποιούς, ἡγεμονικὰς τῶν ἀνθρώπων, γενέσεως ἀπολελυμένας ἀπονέμειν ἄξιον.

2 Ἑπομένως δὲ καὶ τὰς ἐνεργείας αὐτῶν διοριστέον· καὶ μᾶλλον μὲν περικοσμίους θετέον τὰς τῶν δαιμόνων, καὶ διατεινούσας ἐπὶ πλεῖον ἐν τοῖς ἀποτελουμένοις ὑφ' ἑαυτῶν, τὰς δὲ τῶν ἡρώων καὶ ἐπ' ἔλαττον μὲν διηκούσας, παρὰ δὲ τὴν τῶν ψυχῶν διάταξιν ἐπιστρεφομένας. οὕτως δὴ οὖν διωρισμένων ὑστέρα ἐστὶν ἡ ψυχὴ καταλήγουσα πρὸς τὸ τέλος τῶν θείων τάξεων καὶ ἀπὸ τῶν δύο τούτων γενῶν μοίρας τινὰς δυνάμεων διακληρωσαμένη μεριστάς, προσθήκαις τε ἄλλαις περιττοτέραις πλεονάζουσα ἀφ' ἑαυτῆς, καὶ ἄλλοτε ἄλλα εἴδη καὶ λόγους ἐξ ἑτέρων ἑτέρους, βίους τε ἄλλους ἄλλοτε προβάλλουσα, καθ' ἑκάστην τε χώραν τοῦ κόσμου ποικίλαις ζωαῖς καὶ ἰδέαις χρωμένη,

1. ζωοποιούς] sic AC, ζωοποιός BD, ζωοποιάς O. ‖ ἡγεμονικὸς B. ‖ ἀνθρώπων] ἀνῶν D hic et saepius, θεῶν B. 3. ἀπομένως D. 3—5. διοριστέον· καὶ μᾶλλον μὲν (δὲ Fesch.) περικοσμίους θετέον τὰς τῶν δαιμόνων, καὶ διατεινούσας] sic ACD Fesch., τὰς μὲν τῶν δαιμόνων περὶ τὸν κόσμον ἐπιστρεφομένας καὶ μᾶλλον διατεινούσας O. 4. 5. καὶ μᾶλλον — δαιμόνων καὶ om. B. 8. ὑστέρα] δευτέρα ACD. ‖ ἐστὶν ἡ ψυχὴ post τάξεων (v. 9) ponit A, om. CD. 12. λόγους] λόγους τε AC. 13. προσβάλλουσα D. 14. τε] sic ACD, om. O. ‖ ζωαῖς] l. ζώναις marg. D a sec. manu

alligandarum cura pertineat, heroibus vero vires tribuere oportet vivificas, hominum duces, et a generatione solutas.

2 Sequitur iam ut eorum operationes distinguamus inter se. et sane daemonum operationes consideramus tamquam versantes circa mundum, latiusque se extendentes in iis quae perficiunt: heroum vero non ita longe pertingentes, et praecipue occupatas in animabus ordinandis. his duobus sic definitis anima sequitur, quae divinorum ordinum fines attingit, et ab his duobus generibus portiones quasdam particulares potentiarum sortitur, et ex se ipsa aliis cumulata accessionibus abundat, aliasque ex aliis species et rationes diversas ex diversis subinde acquirens, et mores alios, pro diversis mundi regionibus variis vitis et ideis utitur, simul quibus vult ap-

συμφυομένη τε οἷς ἂν ἐθέλῃ, καὶ ἀφ᾽ ὧν ἂν βούληται ἀναχωροῦσα, ὁμοιουμένη τοῖς πᾶσι καὶ δι᾽ ἑτερότητος ἀπ᾽ αὐτῶν διισταμένη, λόγους τε προχειρίζουσα συγγενεῖς τοῖς οὖσι καὶ γιγνομένοις, θεοῖς τε συνάπτουσα ἑαυτὴν κατ᾽ ἄλλας ἁρμονίας οὐσιῶν καὶ δυνάμεων, ἢ καθ᾽ οἵας δαίμονές τε καὶ ἥρωες πρὸς αὐτοὺς συνεπλέκοντο· καὶ τὸ μὲν ἀίδιον τῆς ὁμοίας ζωῆς καὶ ἐνεργείας παρ᾽ ἔλαττον ἐκείνων ἔχουσα, διὰ δὲ τὴν τῶν θεῶν βούλησιν ἀγαθὴν καὶ τὴν ἀπ᾽ αὐτῶν ἐνδιδομένην φωτὸς ἔλλαμψιν πολλάκις καὶ ἀνωτέρω χωροῦσα, ἐπὶ μείζονά τε τάξιν τὴν ἀγγελικὴν ἀναγομένη. ὅτε δὴ οὐκέτι τοῖς τῆς ψυχῆς ὅροις ἀναμένει, τὸ δ᾽ ὅλον τοῦτο εἰς ἀγγελικὴν ψυχὴν καὶ ἄχραντον τελειοῦται ζωήν. ὅθεν δὴ καὶ δοκεῖ παντοδαπὰς οὐσίας καὶ ἐνεργείας, λόγους τε παντοίους καὶ εἴδη τὰ ὅλα παρέχειν ἐν ἑαυτῇ ἡ ψυχή. τὸ δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὥρισται μὲν ἀεὶ καθ᾽ ἕν τι, κοινωνοῦσα δὲ ἑαυτὴν τοῖς προηγουμένοις αἰτίοις ἄλλοτε ἄλλοις συνάπτεται.

1. τε ἃ οἷς D. 4. γινομένοις D. 7. παρέλαττον A. 8. ἔχουσαι CD. 9. ἔλλαμψιν] sic ACD, ἔλαμψιν B, ἔκλαμψιν O. 10. χωροῦσαι CD. 13. 14. οὐσίας καὶ ἐνεργείας] sic A, οὐσίας καὶ οὐσίας D, οὐσίας καὶ O, οὐσίας C. 15. ἑαυτῷ C. || τὸ ἀληθὲς A. 16. κοινοῦσα ABD, κινοῦσα marg. B. 17. συντάττεται A Reg., συνάττεται D.

plicans se, et a quibus vult iterum resiliens, omnibus assimulatur et ab omnibus dissidet diversa, per rationes congeneres quas de se promit, annectit se rebus quae vere sunt et quae generantur, etiam diis ipsis; idque per alias essentiarum et potentiarum convenientias, quam quibus aut daemones aut heroes se cum diis connectunt. et quanquam aeternum vitae similis et operationum tenorem minus servet quam heroes et daemones, tamen per deorum benignitatem et infusam ab illis illuminationem saepe altius ascendit, et in ordinem maiorem angelicum evehitur. hoc quoties fit, non iam amplius animae finibus continetur, sed tota in angelicam animam evadit, et in purissimam vitam perfecte pervenit. atque hinc est quod anima videtur in se continere omnimodas essentias et potestates, rationes omnifarias et species universas. sed si verum fateri oporteat, determinatur illa quidem semper ad unum quid, sed causis praecedentibus alias aliis se ipsam accommodat, et cum illis connectitur.

Τοσαύτης οὖν οὔσης καθόλου διαφορᾶς ἐν αὐτοῖς, οὐκέτι δεῖ ἀμφισβητεῖν, τί δήποτε ἐν αὐτοῖς ἐστι τὸ παραλλάττον· ᾗπερ δὴ ἔχει φύσεως ταῦτα ἕκαστα, ταύτῃ διακριτέον ταῦτα ἀπ' ἀλλήλων· καὶ καθ' ὅσον δύναται σύνοδον ποιεῖσθαι μίαν, κατὰ τοσοῦτον τὴν κοινωνίαν αὐτῶν θεωρητέον· οὕτω γὰρ ἄν τις αὐτῶν δυνηθείη ἀψευδῶς περιλαβεῖν καὶ διορίσαι χωρὶς τὴν ἔννοιαν.

3 *Ἀλλ' ἐπὶ τὰς ἐπιφανείας αὐτῶν βαδιοῦμαι. τί δήποτε ἔχουσι τὸ διάφορον; ἐπιζητεῖς γάρ, τί τὸ γνώρισμα θεοῦ παρουσίας ἢ ἀγγέλου ἢ ἀρχαγγέλου ἢ δαίμονος ἤ τινος ἄρχοντος ἢ ψυχῆς. ἑνὶ μὲν οὖν λόγῳ ταῖς οὐσίαις αὐτῶν καὶ δυνάμεσι καὶ ἐνεργείαις τὰς ἐπιφανείας ἀφορίζομαι εἶναι ὁμολογουμένας· οἷοι γάρ ποτέ εἰσι, τοιοῦτοι καὶ τοῖς ἐπικαλουμένοις ἐπιφαίνονται, ἐνεργείας τε ἀναφαίνουσι, καὶ ἰδέας ἑαυτοῖς συμφώνους καὶ γνωρίσματα ἑαυτῶν τὰ οἰκεῖα ἐπιδεικνύουσιν.*

Ὡς δὴ καθ' ἕκαστον διορίσασθαι, μονοειδῆ μέν ἐστι φάσματα τὰ τῶν θεῶν, τὰ δὲ τῶν δαιμόνων ποικίλα, τὰ

1. καθόλου] sic Velsenius, καθ' ὅλα D, καθόλα O. 3. δὴ] sic A, δὲ O. || φύσεως] sic AD, φύσις O. 17. δὴ] δὲ AD. || διωρίσασθαι C.

Tanta igitur in genere per omnia cum sit inter hos differentia, non amplius oportet ambigere, quid sit quod eos distinguat: ut quaeque et quatenus sese habent in natura, eatenus sunt ab invicem distinguenda; quatenus vero consensum unum possunt praestare, eo usque convenientia eorum est consideranda: hac enim ratione possit quis sine errore unam de omnibus complexam vel distinctam adipisci notionem.

3 Sed progrediar iam ad apparitiones deorum, ut quid hic sit differentiae deprehendam. quaeris enim quo indicio cognoscamus aut deum apparere aut angelum aut archangelum aut daemonem aut aliquem principem aut animam. uno igitur verbo statuo, eorum epiphanias respondere eorum essentiis potestatibus [illegible] quales enim sunt tales invocantibus apparent, [illegible] dunt, et ideas sibi congruentes et indicia [illegible]

Sed ut singulatim haec determinem, [illegible] simplicia sunt, daemonum vero varia [illegible]

δὲ τῶν ἀγγέλων ἁπλούστερα μὲν ἢ κατὰ τοὺς δαίμονας, τῶν δὲ θείων ὑποδεέστερα, τὰ δὲ τῶν ἀρχαγγέλων μᾶλλόν τι τοῖς θείοις αἰτίοις συνεγγίζοντα, τὰ δὲ τῶν ἀρχόντων, εἰ μέν σοι δοκοῦσιν οὗτοι εἶναι οἱ κοσμοκράτορες οἱ τὰ ὑπὸ σελήνην στοιχεῖα διοικοῦντες, ἔσται ποικίλα μέν, ἐν τάξει δὲ διακεκοσμημένα, εἰ δὲ οἱ τῆς ὕλης προεστηκότες, ἔσται ποικιλότερα μέν, ἀτελέστερα δὲ τούτων μᾶλλον· τὰ δὲ τῶν ψυχῶν παντοδαπὰ φαίνεται. καὶ τὰ μὲν τῶν θεῶν χρηστὰ τῇ ὄψει ἐλλάμπει, τὰ δὲ τῶν ἀρχαγγέλων βλοσυρὰ ἅμα καὶ ἥμερα, πραότερα δὲ τῶν ἀγγέλων, τὰ δὲ τῶν δαιμόνων φοβερά· τὰ δὲ τῶν ἡρώων, καὶ εἰ παραλέλειπται ἐν τῇ ἐρωτήσει, τυγχανέτω τῆς ἀληθείας γε ἕνεκα ἀποκρίσεως, ὅτι δὴ τῶν δαιμόνων ἐστὶν ἡμερώτερα· τὰ δὲ τῶν ἀρχόντων καταπληκτικὰ μέν ἐστιν, εἰ περὶ τὸν κόσμον ἐνεξουσιάζουσι, βλαβερὰ δὲ τοῖς ὁρῶσι καὶ λυπηρά, εἴπερ εἰσὶν ἔνυλοι· τὰ δὲ τῶν ψυχῶν προσέοικε μέν τι τοῖς ἡρωικοῖς, πλὴν ἐστί γε αὐτῶν ὑποδεέστερα.

Πάλιν τοίνυν τὰ μὲν τῶν θεῶν ἐστὶ παντελῶς ἀμε-

5. *ποικιλία* ABD. 6. *διακεκοσμημένως* ABD, *διακεκοσμήνως* C. 8. *παντοδαπᾶ* A. 11. 12. *παραλέληπται* B. 12. *γε* om. C. 13. *δαιμονίων* D. 15. *ἐνεξουσιάζουσι*] sic ACD, *ἐξουσιάζουσι* O. 16. *μέν τι*] sic AC, *μέντοι* O. 17. *ὑδεέστερα* A.

quam daemonum, inferiora vero quam quae sunt deorum, archangelorum propius paulo ad causas divinas accedunt, archontum phasmata, siquidem iidem tibi videantur qui et mundi sunt rectores quique sublunaria elementa gubernant, varietatem quidem habent sed et ordinem et ornatum, si vero ii sunt qui materiam moderantur et regunt, apparent quidem sub maiori varietate, sed et imperfe[illegible] sunt quam principes, animarum denique spectra omnigena [illegible] et dii quidem salutares visui affulgent, archangeli terribile[illegible] mites, angeli adhuc mitiores sunt, daemones horribiles, [illegible] etiamsi in interrogatione praetermiseras, de his tamen [illegible] [illegible]) mitiores quidem sunt quam d[illegible] [illegible] [illegible]ciunt, si materi[illegible] [illegible] affulgent, animar[illegible]

τάβλητα κατά τε μέγεθος καὶ μορφὴν καὶ σχῆμα καὶ κατὰ πάντα τὰ περὶ αὐτοὺς ὄντα· τὰ δὲ τῶν ἀρχαγγέλων πλησιάζοντα τοῖς τῶν θεῶν ἀπολείπεται αὐτῶν τῆς ταὐτότητος· τὰ δὲ τῶν ἀγγέλων καὶ τούτων ἐστὶν ὑποδεέστερα, ἀμετάβλητα δέ· τὰ τῶν δαιμόνων ἰνδάλλεται ἄλλοτε ἐπ' ἄλλης ὁρώμενα μορφῆς καὶ μεγάλα καὶ μικρά, τὰ αὐτὰ φαινόμενα. καὶ δὴ καὶ τὰ τῶν ἀρχόντων, ὅσα μέν ἐστιν ἡγεμονικά, ἀναλλοίωτα ὑπάρχει, τὰ δὲ ἔνυλα ἀλλοιοῦται πολυειδῶς· τὰ δὲ τῶν ἡρώων προσέοικε τοῖς τῶν δαιμόνων, τὰ δὲ τῶν ψυχῶν τῆς δαιμονίας μεταβολῆς οὐκ ὀλίγον μέρος ὑφιεῖσιν.

Ἔτι τοίνυν τάξις καὶ ἠρεμία τοῖς θεοῖς προσήκει, τοῖς δὲ τῶν ἀρχαγγέλων δραστήριον τὸ τῆς τάξεως καὶ ἠρεμίας ὑπάρχει, τοῖς δὲ ἀγγέλοις οὐκ ἀπηλλαγμένον ἤδη κινήσεως τὸ διακεκοσμημένον καὶ ἡσυχαῖον πάρεστι, ταραχὴ δὲ καὶ ἀταξία τοῖς δαιμονίοις φάσμασι συνακολουθεῖ, τοῖς δὲ τῶν ἀρχόντων κατὰ δόξαν ἑκατέραν ὧν προείπομεν ὁμολογούμενα συνέπεται τὰ ὁράματα, θορυβώδη

Μέγιστον δὴ οὖν ἀλεξιφάρμακον πρὸς ἅπαντα τὰ τοιαῦτα ἀπορήματα ἐκεῖνό ἐστι, γνῶναι τὴν ἀρχὴν τῆς μαντικῆς, ὡς οὔτε ἀπὸ σωμάτων ἐστὶν ὁρμωμένη οὔτε ἀπὸ τῶν περὶ τοῖς σώμασι παθημάτων, οὔτε ἀπὸ φύσεώς τινος καὶ τῶν περὶ τὴν φύσιν δυνάμεων, οὔτε ἀπὸ τῆς ἀνθρωπίνης παρασκευῆς ἢ τῶν περὶ αὐτὴν ἕξεων, ἀλλ' οὐδὲ ἀπὸ τέχνης τινὸς ἔξωθεν ἐπικτήτου περί τι μέρος τῶν ἐν τῷ βίῳ διαπραγματευομένης· τὸ δὲ πᾶν κῦρος αὐτῆς ἀνήκει εἰς τοὺς θεοὺς καὶ ἀπὸ τῶν θεῶν ἐνδίδοται, θείοις τε ἔργοις ἢ σημείοις ἐπιτελεῖται, θεάματά τε

1. τι τὸ τῆς] sic AD, τι τῆς O. 2. τῶν] τῆς A. 5. ὡς εἰς] sic ACD, εἰς O. 12. ὡρμημένη C. 16. ἐπικτήτου] sic ACD, ἐπίκτητον O.

nis tuae mentem praescientiam opinaris esse quid genitum et physicum, quale existat in natura. sed revera nihil est ex omnibus quae generantur, nec ad modum physicae mutationis efficitur: sed nec inventa est et excogitata tamquam ars ad vitae usum necessaria: in universum nihil in se humani habet, sed divinum quid et supernaturale est, caelitusque ad nos demittitur, ingeneratum quid et aeternum est et sponte sua praeexistit.

Praesentissimum ergo remedium contra huiusmodi omnes dubitationes illud erit ut sciamus divinationis originem, quod utique a corporibus ortum suum non habeat nec a passionibus corporeis, aut a natura aut facultatibus naturalibus, aut ab humanis inventis aut ab habitibus eo pertinentibus, aut ab arte quadam extrinsecus accedente vitae nostrae commodis inserviente fuerit adquisita; sed quod tota eius auctoritas a diis pendeat, ad eos referatur, operibusque non nisi divinis et signis possit constare et perfici. cetera vero cuncta velut

ἔχει θεῖα καὶ θεωρήματα ἐπιστημονικά. τὰ δ' ἄλλα πάντα ὡς ὄργανα ὑπόκειται τῇ ἐκ θεῶν καταπεμπομένῃ τῆς προγνώσεως δόσει, ὅσα τε περὶ τὴν ψυχὴν ἡμῶν ἐστὶ καὶ τὸ σῶμα καὶ ὅσα ἐν τῇ φύσει τοῦ παντὸς ἢ ταῖς ἰδίαις ἑκάστων φύσεσιν ἐνυπάρχει· ἔνια δὲ ὡς ἐν ὕλης τάξει προϋπόκειται, ὅσα τόπων ἢ ἄλλων τινῶν ἔχεται τοιούτων.

Εἰ δή τις ἀφιέμενος τῶν πρωτουργῶν αἰτίων ἐπὶ τὰς δευτερουργοὺς ὑπουργίας ἀποφέροι τὸ τῆς μαντικῆς, οἷον κινήσεις σωμάτων ἢ παθῶν μεταβολὰς ἢ γενέσεις τινὰς ἑτέρας ἢ ζωῆς ἀνθρωπίνης ἐνεργείας ἢ λόγους ἐμψύχους ἢ φυσικοὺς τιθέμενος, νομίζοι τι σαφὲς λέγειν, ἢ συμμετρίας τούτων πρὸς ἄλληλα ὡς αἰτίας ἀναλογιζόμενος ὑπολαμβάνοι τὴν ἀκρίβειαν ἀποδιδόναι περὶ αὐτῆς, τοῦ παντὸς διημάρτηκεν. ἀλλ' εἷς ὅρος ὀρθὸς καὶ μία ἀρχὴ περὶ πάντων τοιούτων, μηδαμῶς ἀναιτίως παράγειν τὴν τοῦ μέλλοντος μαντείαν ἀπὸ τῶν μηδεμίαν ἐχόντων πρόγνωσιν ἐν ἑαυτοῖς, ἀπὸ δὲ τῶν θεῶν τῶν συνεχόντων ἐν

7. δή] sic AD, δέ O. ‖ ἀφέμενος ACD. 8. ἀποφέροι] sic AC, ἀποφέρει O. ‖ τῆς] τις D. 9. γενέσεις] sic ACD, κινήσεις O. 12. ἀπολογιζόμενος ὑπολαμβάνει ACD. 15. τοιούτων] sic AC, om. O. 16. μαντίαν O. 17. τῶν συνεχόντων] sic AD, συνεχόντων O.

organa subiiciuntur misso divinitus praesagii dono, sive ad animam nostram pertineant sive ad corpus, sive ad naturam universi sive ad particulares rerum singularum naturas, nisi quod nonnulla materiae vices obeant, ut loca et similia.

Si quis ergo derelinquat causas primarias, et in secundarias operas manticem referat, substituatque pro primis, motus puta corporeos passionumve mutationes aut generationes quasvis alias aut operationes vitae huius nostrae, aut rationes animales aut physicas, speretque posse se certi aliquid afferre, vel etiam existimet, diligenter horum convenientias inter se observando accuratam de divinatione rationem redditurum se, is quidem vehementer errat. ea demum vera ratio omniumque horum origo est, ut nullo modo tentes colligere sine causa futurorum praenotionem ex iis quae nihil habent praescientiae, sed a diis arcessere, qui fines cognitionis rerum

ἑαυτοῖς τὰ πέρατα τῆς ὅλης εἰδήσεως τῶν ὄντων, ἀπὸ τούτων θεωρεῖν μεριζομένην τὴν μαντικὴν περὶ πάντα τὸν κόσμον καὶ περὶ πάσας τὰς ἐν αὐτῷ διῃρημένας φύσεις. ἡ γὰρ τοιάδε ἀρχηγική τέ ἐστιν αἰτία καὶ διαφερόντως κοινοτάτη, ἔχουσά τε ἐν ἑαυτῇ πρώτως ἃ δίδωσι τοῖς μετέχουσιν ἑαυτῆς, καὶ μάλιστα ἀλήθειαν παρεχομένη ἧς δεῖ τῇ μαντικῇ, οὐσίαν τε καὶ αἰτίαν τῶν γιγνομένων προειληφυῖα, ἀφ' ὧν ἐξ ἀνάγκης ἐφήκει τὸ τυγχάνειν τῆς προγνώσεως ἀπαύστως. ἀρχὴ μὲν οὖν ἡμῖν ἔστω ἡ τοιαύτη κοινῶς περὶ πάσης τῆς μαντικῆς, ἀφ' ἧς ἔνεστι καὶ τὰ εἴδη πάντα αὐτῆς ἐπιστημονικῶς ἐξευρεῖν· ἤδη δὲ αὐτῶν ἀντιλαμβανώμεθα ἑπόμενοι τοῖς ὑπὸ σοῦ προτεινομένοις ἐρωτήμασι.

2 Περὶ δὴ τῆς καθ' ὕπνον μαντικῆς λέγεις ταῦτα· ὅτι δὴ καθεύδοντες δι' ὀνείρων τοῖς μέλλουσι πολλάκις ἐπιβάλλομεν οὐκ ἐν ἐκστάσει μὲν γενόμενοι πολυκινήτῳ (ἡσυ-

1. αὐτοῖς AD. 3. τὸν κόσμον] sic ACD, κόσμον O. ‖ τὰς] τοὺς D. 6. ἀλήθειαν om. B. 7. 8. γιγνομένων] sic AD, γινομένων O. 9. ἡμῖν] sic AC, om. O. 10. κοινῶς] νοικῶς B. 11. καὶ τὰ] sic ACD, κατὰ O. 14. δὴ] δὲ A. ‖ ὕπνον] sic ACD, ὕπνου O. ‖ μαντικῆς] μαρτυρικῆς B. ‖ λέγει CD. 15. δὴ] δεῖ D. 16. μὲν om. A. ‖ γιγνόμενοι AD.

omnium in se habent, ab his inquam oportet contemplari vaticinium derivatum et distributum circa totum mundum, et circa omnes in mundo dispersas naturas. haec utique causa erit principalis fuerit et universalis maxime, et continebit primo in se quod de se participantibus elargiatur, et veritatem praecipue praebebit qua opus est vaticinio, et ut iam in se habeat eorum quae futura sunt essentias et causas, a quibus necessario procedit perpetua praesagii consecutio. sit igitur haec nobis totius divinationis origo communis, unde omnes eius species licebit indagare et certo scire, et continuo ad eas deveniamus ordinem sequentes quaestionum a te propositarum.

2 De vaticinio quod fit per quietem sic loqueris: saepe nos per quietem futura cognoscere aliquatenus, tametsi nullam patiamur ecstasis aut concussiones (corpus enim interim iacet immotum), plene

χον γὰρ κεῖται τὸ σῶμα), αὐτοῖς μέντοι γε ὡς ὕπαρ οὐκέτι παρακολουθοῦντες. ταῦτα τοίνυν ἃ λέγεις συμβαίνειν εἴωθεν ἐπὶ τῶν ἀνθρωπίνων ὀνείρων καὶ τῶν ἀπὸ ψυχῆς, ἢ τῶν ἐν ἡμῖν ἐννοιῶν ἢ λόγῳ ἀνακινουμένων, ἢ ὅσα ἀπὸ φαντασιῶν ἐγείρεται ἤ τινων μεθημερινῶν φροντίδων· ἃ τότε μέν ἐστιν ἀληθῆ τότε δὲ ψευδῆ, καὶ ἐπί τινων μὲν τυγχάνει τοῦ ὄντος, ἐπὶ δὲ τῶν πολλῶν ἀποτυγχάνει. οὐ μὴν οἵ γε θεόπεμπτοι καλούμενοι ὄνειροι τοῦτον γίνονται τὸν τρόπον ὅνπερ σὺ λέγεις· ἀλλ' ἤτοι τοῦ ὕπνου ἀπολείποντος, ἀρχομένων ἄρτι ἐγρηγορέναι, ἀκούειν πάρεστί τινος φωνῆς συντόμου περὶ τῶν πρακτέων ὑφηγουμένης, ἢ μεταξὺ τοῦ ἐγρηγορέναι καὶ καθεύδειν ὄντων ἢ καὶ παντελῶς ἐγρηγορότων αἱ φωναὶ ἀκούονται. καὶ ποτὲ μὲν ἀφανὲς καὶ ἀσώματον πνεῦμα περιέχει κύκλῳ τοὺς κατακειμένους, ὡς ὅρασιν μὲν αὐτοῦ μὴ παρεῖναι, τὴν δὲ ἄλλην συναίσθησιν καὶ παρακολούθησιν ὑπάρχειν, ῥοι-

4. *ἐννοιῶν*] *εὐνιῶν* A. || *λόγων* ACD. 5. *μεθημεριμνῶν* B. 6. *ποτὲ μέν* et *ποτὲ δὲ* A. 6. 7. *τίνων τυγχάνει μὴ ὄντος* D. 7. *ἀποτυγχάνει*] sic ACD, *ἀποτυγχάνει τοῦ ὄντος* O. 8. *γε*] sic AD, *τε* O. || *θεόπεμποι* C. 9. *ἤτοι*] *ἤ τι* A. 10. *ἀπολιπόντος* AD, *ἀπολείποντες* B. 11. *περὶ*] sic AC, *τῆς* O. 14. *ἀναφανὲς* A, *ἀναφὲς* CD. 16. *συνέσθησιν* A.

tamen et clare, ac si vigilaremus, nos non assequi. haec igitur quae dicis locum habent in somniis quae a causis humanis proveniunt, nempe quae ab anima nostra aut a cogitationibus nostris aut a ratione moveantur, aut denique quae concitentur ab imaginationibus aut curis diurnis: et haec quidem aliquando falsa deprehenduntur, in nonnullis rem attingunt in complurimis aberrant. somnia vero divinitus missa non ita se habent ut tu iam dixisti; sed vel somno abeunte, cum iam incipimus evigilare, vocem brevem quae quid sit faciendum doceat, audire videmur; vel inter vigiliam et somnum, vel cum plane evigilaverimus voces audiuntur. quandoque etiam spiritus quidam invisibilis et incorporeus se iacentibus circumfundit, ita ut non oculis sed alio quodam sensu et perceptione sentiatur; venit enim cum strepitu et undiquaque circumfunditur absque con-

ζομένου τε ἐν τῷ εἰσιέναι καὶ περικεχυμένου πανταχόθεν ἄνευ τινὸς ἐπαφῆς, θαυμαστά τε ἔργα ἀπεργαζομένου πρὸς ἀπαλλαγὴν παθῶν ψυχῆς τε καὶ σώματος. ἄλλοτε δὲ φωτὸς ἐπιλάμψαντος λαμπροῦ καὶ ἠρεμαίου κατέχεται μὲν ἡ τῶν ὀφθαλμῶν ὄψις, συμμύει τε, ἀναπεπταμένη μὲν οὖσα πρότερον· αἱ δ' ἄλλαι αἰσθήσεις διεγηγερμέναι τυγχάνουσι, καὶ συναισθάνονται πῶς εἰς τὸ φῶς οἱ θεοὶ ἐκφαίνονται, ὅσα τε λέγουσιν ἀκούουσι καὶ ὅσα δρῶσιν ἴσασι παρακολουθοῦσαι.

Τελειότερον δ' ἔτι τοῦδε θεωρεῖται, ἡνίκα ἂν καὶ ἡ ὄψις βλέπῃ καὶ ὁ νοῦς ἐρρωμένος ἐπακολουθῇ τοῖς δρωμένοις, κίνησίς τε τῶν θεωρούντων συνυπάρχῃ. ταῦτα δὴ οὖν τοσαῦτα ὄντα καὶ οὕτω διάφορα οὐδενὶ τῶν ἀνθρωπίνων προσέοικεν· ἀλλ' ὅ τε ὕπνος καὶ ἡ κατοχὴ τῶν ὀμμάτων καὶ ἡ κάρῳ προσφερὴς κατάληψις καὶ ἡ μεταξὺ τοῦ ὕπνου τε καὶ τῆς ἐγρηγόρσεως κατάστασις καὶ ἡ ἄρτι ἀνεγειρομένη ἢ ἡ παντελὴς ἐγρήγορσις πάντα θεῖά ἐστι

2. ἀπεργαζομένου] sic A, ἀπεργαζομένης O. 5. post ὄψις ACD addunt καί. 6. μὲν om. AD. 10. τοῦδε] τοῦτο O. 11. βλέπῃ ACD, βλέπει O. || ἐρρωμένος] sic A, ἐρρωμένους D, ἐρώμενος O. || ἐπακολουθῇ ACD, ἐπακολουθεῖ O. 12. συνυπάρχῃ AC, συνυπάρχει O. 14. προσέοικεν] sic D, προσέηκεν A, προσέηκε C, προσέοικε O. 15. προσεμφερὴς ACD.

tactu, operaque praestat mirifica ad passiones animae et corporis restinguendas. aliquando vero lumen liquidum et tranquillum fulget, sub quo visus detinetur et connivet antea patulus; alii interea sensus experrecti sunt, persentiscuntque quando dii manifesto se ostendunt, et quae loquuntur aguntque concurrente animadversione percipiunt.

Perfectius autem id totum discernitur, quando et visus percipit et intellectus corroboratus quae fiunt assequitur, et simul qui spectant afficiuntur. tanta tamque differentia somnia haud puto humana sunt: sed ille somnus et quod ita oculi teneantur, et caro quasi opprimamur, et quod sic medii simus inter somnum et vigiliam, vel quod aut paene expergefiamus vel etiam quod omnino, omnia inquam ista sunt divina et ad deos suscipiendos accommodata, immo ab ipsis

καὶ πρὸς ὑποδοχὴν τῶν θεῶν ἐπιτήδεια, ἀπ' αὐτῶν τε ἐπιπέμπεται τῶν θεῶν, μέρος τε τῆς θείας ἐπιφανείας καὶ κατὰ τοιαῦτα προηγεῖται.

Ἄνελε οὖν ἐκ τῶν θείων ὀνείρων, ἐν οἷς δὴ καὶ μάλιστά ἐστι τὸ μαντικόν, τὸ καθεύδειν ὁπωσοῦν καὶ τὸ μὴ παρακολουθεῖν ὡς ὕπαρ τοῖς ἐπιφαινομένοις. οὐδὲ γὰρ οὐδὲ οἷόν τέ ἐστι τὴν ἐναργῆ παρουσίαν τῶν θεῶν τῆς ὕπαρ ἐγγινομένης παρακολουθήσεως ἀπολείπεσθαι· ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, καὶ σαφεστέραν αὐτὴν εἶναι ἀνάγκη καὶ ἀκριβεστέραν ἐκείνης καὶ σύνεσιν ἐμποιοῦσαν τελειοτέραν. ἃ δὴ μὴ γινώσκοντές τινες δείγματα τῶν ὄντως μαντικῶν ὀνείρων, κοινὸν δέ τινα τρόπον ἐπ' αὐτῶν ἀνθρώπινον ἐπινοοῦντες, παραπίπτουσι κατὰ συντυχίαν σπανιάκις ἐπ' αὐτῶν τῇ τοῦ μέλλοντος προγνώσει, καὶ ἐντεῦθεν εἰκότως ἀποροῦσι, πῶς συνέχουσιν οἱ ὄνειροι τὸ ἀληθές. ὃ δὴ καὶ σὲ θράττειν μοι δοκεῖ διὰ τὸ μὴ εἰδέναι τὰ ἀληθινὰ αὐτῶν γνωρίσματα. ἀλλὰ δεῖ στοιχεῖα ταῦτα προστησάμενόν σε τῆς ἀληθινῆς τῶν ὀνείρων ἐπιγνώσεως

1. τῶν om. A. 2. τε] δὲ O. 3. κατὰ] τὰ AD. 4. ἐκ τῶν] αὐτῶν AC. 5. καθεύδειον D. 10. ἐμποιοῦσα CD. 11. δεῖγμα C. ‖ ὄντως] sic AC, ὄντων O. 13. κατὰ] sic AD, κατὰ τὴν O. 16. θράττει D, πράττειν B.

diis concessa, et quaedam portio divinae epiphaniae illabitur per huiusmodi praeparationes.

Quare tolle a divinis somniis, quae maxime vaticinii vim continent, omnem omnino dormitionem; tolle et hoc, non perinde nos assequi quod tum ostendatur ac cum vigilemus. nec enim deos praesentes minus clare animadvertimus quam quae vigilantes percipimus: immo, quod verum est, illa deorum apparitio omni nostra animadversione non potest non esse manifestior et accuratior, tum etiam perfectiorem quam illa cognitionem gignit. haec vere divinorum somniorum indicia quidam non observantes, sed idem de humanis ac de his existimantes, raro admodum per ista et casu veram futurorum cognitionem assequuntur; ac proinde dubitant non immerito, an aliqua sit in somniis veritas: quod te quoque proinde video perturbat, quia non nosti somniorum indicia et discrimina. sed

ἀκολουθῆσαι τοῖς ὅλοις περὶ τῆς καθ' ὕπνον μαντικῆς λόγοις.

3 Λέγουσι δὲ τάδε, τῆς ψυχῆς διττὴν ἐχούσης ζωὴν τὴν μὲν σὺν τῷ σώματι τὴν δὲ χωριστὴν παντὸς σώματος· περὶ μὲν τὸν ἄλλον βίον ἐγρηγορότες τὰ πολλὰ τῇ κοινῇ μετὰ τοῦ σώματος ζωῇ χρώμεθα, πλὴν εἴ που κατὰ τὸ νοεῖν καὶ διανοεῖσθαι τοῖς καθαροῖς λόγοις ἀφιστάμεθα ἀπ' αὐτοῦ παντάπασιν· ἐν δὲ δὴ τῷ καθεύδειν ἀπολυόμεθα παντελῶς ὥσπερ ἀπό τινων παρακειμένων ἡμῖν δεσμῶν, καὶ τῇ κεχωρισμένῃ τῆς γενέσεως ζωῇ χρώμεθα· τότε δὴ οὖν εἴτε νοερὸν εἴτε θεῖον ταὐτὸν ὑπάρχον εἴτε καὶ ἕν, ἰδίᾳ ἑκάτερον καθ' ἑαυτὸ ὂν τὸ τῆς ζωῆς εἶδος ἀνεγείρεται ἐν ἡμῖν καὶ ἐνεργεῖ ᾗ πέφυκεν. ἐπειδὴ οὖν ὁ μὲν νοῦς τὰ ὄντα θεωρεῖ, λόγους δὲ ἡ ψυχὴ τῶν γιγνομένων ἐν αὐτῇ πάντων περιέχει, εἰκότως δὴ κατὰ τὴν περιέχουσαν αἰτίαν τασσόμενα ἐν τοῖς προηγουμένοις αὐτῶν λόγοις προγινώσκει τὰ μέλλοντα.

Καὶ ταύτης δ' ἔτι τελειοτέραν ποιεῖται μαντείαν,

10. γενέσεως] sic A, γνώσεως O. 12. ἑκάτερον ἰδίᾳ A.

oportet te, ubi haec posueris tamquam fundamenta somniorum vere cognoscendorum, universum divinationis per quietem sermonem audire.

3 Dicunt igitur sapientes haec, anima duplicem habet vitam, unam simul cum corpore alteram ab omni corpore separabilem. quando vigilamus utimur utplurimum vita quae communis est cum corpore, praeterquam siquando a corpore prorsus abalienemur per noëticae aut dianoëticae facultatis operationes puras; inter dormiendum vero, soluti prorsus a quibusdam quasi iniectis vinculis, vita illa utimur a generatione libera et separata: et tunc haec vitae species quae intellectualis est et divina, sive haec idem sint sive utrunque unum quid sit privatim per se existens, statim in nobis expergiscitur, agitque quemadmodum sua fert natura. quoniam vero mens entia contemplatur, anima autem generabilium omnium in se rationes complectitur, non mirum est si secundum causam comprehendentem futura, in praecedentibus ea rationibus ordinata praenoscat.

Sed si anima copulet universalibus, a quibus decisa est, duas

ἡνίκα ἂν τοῖς ὅλοις, ἀφ᾽ ὧν ἀπεμερίσθη, συνάπτῃ τὰς μοίρας τῆς ζωῆς καὶ τῆς νοερᾶς ἐνεργείας· πληροῦται γὰρ ἀπὸ τῶν ὅλων τότε τῆς πάσης εἰδήσεως, ὡς ἐπὶ τὸ πλεῖστον ἐξικνεῖσθαι ταῖς ἐννοίαις τῶν περὶ τὸν κόσμον ἐπιτελουμένων. οὐ μὴν ἀλλ᾽ ὁπόταν γε καὶ τοῖς θεοῖς ἑνωθῇ κατὰ τὴν τοιαύτην ἀπόλυτον ἐνέργειαν, αὐτὰ τὰ ἀληθέστατα δέχεται τηνικαῦτα πληρώματα τῶν νοήσεων, ἀφ᾽ ὧν ἀληθῆ μαντείαν προβάλλει τῶν θείων ὀνείρων· ἐντεῦθεν τὰς γνησιωτάτας ἀρχὰς καταβάλλεται. ἀλλ᾽ ἐὰν μὲν τὸ νοερὸν ἑαυτῆς ἡ ψυχὴ καὶ τὸ θεῖον συνυφαίνῃ τοῖς κρείττοσι, τότε καὶ τὰ φαντάσματα αὐτῆς ἔσται καθαρώτερα, ἤτοι περὶ θεῶν ἢ τῶν καθ᾽ ἑαυτὰς ἀσωμάτων οὐσιῶν, ἢ ὡς ἁπλῶς εἰπεῖν, περὶ τῶν εἰς ἀλήθειαν συμβαλλομένων τὴν περὶ τῶν νοητῶν. ἐὰν δὲ τοὺς λόγους τῶν γιγνομένων ἀνάγῃ πρὸς τοὺς αἰτίους αὐτῶν θεούς, δύναμιν ἀπ᾽ αὐτῶν προσλαμβάνει καὶ γνῶσιν ἀναλογιζομένην ὅσα τε ἦν καὶ ὅσα ἔσται, θεωρίαν τε παντὸς χρόνου ποιεῖται, καὶ τῶν ἐν τῷ χρόνῳ συμβαινόντων ἐπισκο-

1. ἀπεμερίσθη B. || συνάπτῃ] sic Velsenius, συνάπτη A, συνάπτει O. 8—9. τῶν θείων — καταβάλλεται ex margine in textum venisse censet Gale not. 10. μὲν] sic AC, om. O. || συνηφαίνη CD. 15. γινομένων AD. || ἀνάγκη ACD. 16. προσλαμβάνειν ABD. 17. θεωρίαν] sic ACD, θεωρία O.

illas vitae et intellectualis operationis portiones, perfectius adhuc reportabit vaticinium: repletur enim tunc omni scientia ab universalibus, ita ut complurima etiam penetret suis cogitationibus, quae in superiori mundo geruntur. immo quoties diis copulatur per abstractam huiusmodi operationem, haurit certe verissimas ab iis notiones, a quibus elicit veram in somniis divinis vaticinationem indeque firmissima sternit fundamenta. quod si anima partem sui intellectualem et divinam melioribus naturis connexuerit, tunc omnia eius phantasmata, sive sint de diis sive de rebus per se incorporeis, sive, ut absolvam omnia, de rebus ad intelligibilium veritatem quovis modo spectantibus, puriora et liquidiora exorientur. si vero anima, quas in se habet rerum generabilium rationes, connectat cum diis earum causis, potentiam ab iis accipit et capacitatem cognoscendi et quae fuerint quaeque futura sunt, omniaque tempora per-

πεῖ τὰ ἔργα, τάξιν τε αὐτῶν καὶ ἐπιμέλειαν καὶ ἐπανόρθωσιν τὴν προσήκουσαν μεταλαγχάνει· καὶ τὰ μὲν κεκμηκότα σώματα θεραπεύει, τὰ δὲ πλημμελῶς καὶ ἀτάκτως ἔχοντα παρ' ἀνθρώποις εὖ διατίθησι, τεχνῶν τε εὑρέσεις πολλάκις καὶ διανομὰς τῶν δικαίων καὶ τῶν νομίμων θέσεις παραδίδωσιν.

Οὕτως ἐν Ἀσκληπιοῦ μὲν τὰ νοσήματα τοῖς θείοις ὀνείροις παύεται· διὰ δὲ τὴν τάξιν τῶν νύκτωρ ἐπιφανειῶν ἡ ἰατρικὴ τέχνη συνέστη ἀπὸ τῶν ἱερῶν ὀνειράτων. τὸ δὲ Ἀλεξάνδρου στρατόπεδον πᾶν ἐσώθη, μέλλον ἄρδην νυκτὸς ἀπόλλυσθαι, Διονύσου κατ' ὄναρ ἐπιφανέντος καὶ τὴν λύσιν τῶν ἀνηκέστων παθημάτων σημήναντος. Ἄφουτις δὲ ὑπὸ Λυσάνδρου τοῦ βασιλέως πολιορκουμένη κατὰ τοὺς ἀπὸ τοῦ Ἄμμωνος πεμφθέντας ὀνείρους ἐσώθη, τὴν ταχίστην αὐτοῦ τὸν στρατὸν ἀναστήσαντος ἐκεῖθεν καὶ λύσαντος εὐθέως τὴν πολιορκίαν. καὶ τί δεῖ καθ'

7. *Ἀσκληπιοῦ*] aegyptiacum nominis etymon proposuit Röth (ägypt. Glaubensl. Not. 153, p. 112): Aschklep, magnus revelator, multum revelans; *asch* = multus, magnus; *klep, sklep* = revelare. 8. *νείκτωρ* C. 10. *Ἀλεξάνδρου*] non liquet utrum ad Ammonem an per Gedrosiam innuatur iter. || *μέλλον*] sic BCD, *μᾶλλον* O. 11. *ἀπόλεσθαι* D. 13. *Ἄφουτις*] *Ἀφύτη ἢ Ἄφυτις ἢ Ἄφυτος, πόλις πρὸς τῇ Παλλήνῃ Θρᾴκης .... ἔσχε δὲ ἡ πόλις μαντεῖον Ἄμμωνος.* Steph. Byz. ed. Mein. *Ἀφυταίων πόλις* Plut. Lys. 20.

lustrat, eorum quae in tempore eventura sunt contemplatur opera, sortiturque provinciam, ea prout oportet ordinandi curandi corrigendi. si qua corpora infirma sunt, sanat, si qua apud homines exorbitantia et in ordinem peccantia, commode disponit, artes invenit, iura distribuit, legum constitutiones tradit.

Sic in Aesculapii templo per somnia divina morbi sanantur, ipsaque medendi ars constitutis observationibus nocturnarum apparitionum in divinis somniis comparata est. totus Alexandri exercitus funditus periisset, nisi per quietem apparuisset Dionysus et calamitatum gravissimarum remedia monstrasset. Aphutis urbs, cum arctissime a Lysandro rege obsideretur, liberabatur per somnia quae ei Juppiter Ammon misit; exercitum enim continuo inde movit obsidionemque solvit. sed quid opus est singula percurrere expli-

ἕκαστον ἐπεξιόντι μηνύειν τῶν καθ' ἡμέραν ἀεὶ συμπιπτόντων, κρείττονα τοῦ λόγου τὴν ἐνέργειαν παρεχομένων.

Ταῦτα μὲν οὖν ἐξαρκεῖ εἰρῆσθαι περὶ τῆς καθ' ὕπνον
θείας μαντικῆς, τίς τέ ἐστι καὶ πῶς γίνεται καὶ ὅσον
παρέχεται τοῖς ἀνθρώποις τὸ ὄφελος· φῂς δὲ δὴ ὡς ἐπι- 4
βάλλουσι καὶ δι' ἐνθουσιασμοῦ καὶ θεοφορίας πολλοὶ τῷ μέλλοντι, ἐγρηγορότες μέν, ὡς ἐνεργεῖν κατ' αἴσθησιν, αὐτοῖς δὲ πάλιν οὐ παρακολουθοῦντες ἢ οὔτι γε ὡς πρότερον παρακολουθοῦντες ἑαυτοῖς. βούλομαι δὴ καὶ ἐν τούτοις τὰ τεκμήρια τῶν ὀρθῶς κατεχομένων ὑπὸ τῶν θεῶν παραδεῖξαι· ἢ γὰρ τὴν ἑαυτῶν ζωὴν ὑποτεθείκασιν ὅλην ὡς ὄχημα ἢ ὄργανον τοῖς ἐπιπνέουσι θεοῖς, ἢ μεταλλάττουσιν ἀντὶ τῆς ἀνθρωπίνης ζωῆς τὴν θείαν, ἢ καὶ ἐνεργοῦσι τὴν οἰκείαν ζωὴν πρὸς τὸν θεόν· οὔτε κατ' αἴσθησιν ἐνεργοῦσιν οὔτε ἐγρηγόρασιν οὕτως ὡς οἱ διεγηγερμένας ἔχοντες τὰς αἰσθήσεις, οὔτ' ἐπιβάλλουσιν αὐτοὶ τῷ μέλλοντι, οὔτε κινοῦνται ὡς οἱ καθ' ὁρμὴν ἐνεργοῦντες· ἀλλ' οὐδὲ παρακολουθοῦσιν ἑαυτοῖς οὔτε ὡς πρότερον

3. ὕπνου AC. 7. post ἐνεργεῖν ACD addunt καί. 10. τὰ] διὰ O. 11. ἢ] εἰ AC. 15. οὔτε] οὕτω D. 18. αὐτοῖς A.

cando, cum quotidie ea eveniant in hoc genere, quae omnem sermonem mirificis suis effectis exuperent.

Haec igitur sufficiat dixisse de divinatione per somnia, quibus
ostendimus quid sit, et unde proveniat, denique quantum mortalibus
afferat commodi. ais deinceps multos canere futura ex afflatu et 4
inspiratione divina, qui quidem adeo vigilent ut etiam sensibus utantur, nec tamen sui compotes sunt, aut saltem non adeo ut ante afflatum. volo igitur certa indicia demonstrare, ex quibus dignosci possit, qui revera a diis obsidentur. divinitus afflati quicunque sunt, aut suam vitam penitus subiiciunt afflantibus diis tamquam vehiculum aut organum, aut vitam propriam in divinam commutavere, vel denique vitam propriam ad dei nutum accommodant: neque sensuum utuntur officio neque ita vigilant ut qui sensus habent expeditos, neque ipsi quidem futura apprehendunt, neque humano more operantur; sed neque sui compotes sunt ut erant nuper, sed nullo

οὔτε ἄλλως ὁπωσοῦν, οὐδ' ὅλως ἐπιστρέφουσιν εἰς ἑαυτοὺς τὴν οἰκείαν σύνεσιν, οὐδ' ἔστιν ἥντινα ἰδίαν γνῶσιν προβάλλουσι.

Τεκμήριον δὲ μέγιστον· πολλοὶ γὰρ καὶ πυρὸς προσφερομένου οὐ καίονται, οὐχ ἁπτομένου τοῦ πυρὸς αὐτῶν διὰ τὴν θείαν ἐπίπνοιαν· πολλοὶ δὲ καιόμενοι οὐκ ἀντιλαμβάνονται, διότι οὐ τὴν τοῦ ζώου ζωὴν ζῶσι τηνικαῦτα. καὶ οἱ μὲν διαπείραντες ὀβελοὺς οὐκ ἐπαισθάνονται· οἱ δὲ πελέκεις προσαράσσοντες τοῖς νώτοις, οἱ δὲ καὶ ξιφιδίοις τὰς ὠλένας κατατέμνοντες οὐδαμῶς παρακολουθοῦσιν. αἵ τε ἐνέργειαι αὐτῶν οὐδαμῶς εἰσὶν ἀνθρώπιναι, τά τε γὰρ ἄβατα βατὰ γίνεται θεοφορουμένοις καὶ εἰς πῦρ φέρονται καὶ πῦρ διαπορεύονται καὶ ποταμοὺς διαπερῶσιν, ὥσπερ ἡ ἐν Κασταβάλλοις ἱέρεια. ἀπὸ δὲ τούτων δείκνυται, ὡς οὐ παρακολουθοῦσιν ἑαυτοῖς ἐνθουσιῶντες, καὶ ὅτι οὔτε τὴν ἀνθρωπίνην οὔτε τὴν τοῦ ζώου ζωὴν ζῶσι κατ' αἴσθησιν ἢ ὁρμήν, ἄλλην δέ τινα θειοτέραν ζωὴν

1. ἑαυτὴν B. 7. τοῦ om. O. 8. διαπείραντας O. ‖ ὀβολοὺς BD. 9. προσαῤῥάσσαντες A, προσαράσαντες D. 10. παρακολουθοῦσιν] sic AD, κατακολουθοῦσιν O. 12. θεοφορούμενα ABCD. 14. ἡ] οἱ BD. ‖ οἱ ἐν Κασταβάλοις ἱερεῖς margo B. ‖ καταβάλλοις AC. ‖ ἐν τοῖς Κασταβάλοις ἐστὶ τὸ τῆς Περασίας Ἀρτέμιδος ἱερόν, ὅπου φασὶ τὰς ἱερείας γυμνοῖς τοῖς ποσὶ δι' ἀνθρακιᾶς βαδίζειν ἀπαθεῖς. Strab. 537.

prorsus modo, neque reflectunt in se ipsos propriam intelligentiam, neque promunt cognitionem sua sponte.

Haec ita esse illud certissimo sit indicio: multi divinitus afflati admotis ignibus non uruntur, deus enim intus afflans ignem non sinit attingere, multi iterum etiamsi urantur, nihil persentiscunt, quoniam tunc temporis vitam non vivunt animalem. alii virubus transfixi non sentiunt, alii in terga securibus percussi alii brachiis lancinatis cultello nihil animadvertunt. sed et eorum actiones non sunt amplius humanae, dei enim afflatu vecti viam per loca invia inveniunt, in ignem feruntur illaesi, ignem calcant, fluvios mirifice tranant, quemadmodum facit sacerdos in Castabalis. atque per hoc ostensum est, quod afflati non intelligant suas operationes, quod neque

ἀνταλλάττονται, ἀφ' ἧς ἐπιπνέονται καὶ ἀφ' ἧς τελέως κατέχονται.

Ἔστι δὴ οὖν πολλὰ τῆς θείας κατακωχῆς εἴδη καὶ πολλαχῶς ἡ θεία ἐπίπνοια ἀνακινεῖται, ὅθεν δὴ καὶ πολλὰ τὰ σημεῖα αὐτῆς ἐστὶ διαφέροντα. τοῦτο μὲν γὰρ οἱ θεοὶ διαφέροντες, ἀφ' ὧν ἐπιπνεόμεθα, καὶ τὴν ἐπίπνοιαν ποιοῦσιν ἑτέραν, τοῦτο καὶ ὁ τρόπος τῶν ἐνθουσιασμῶν παραλλάττων ποιεῖ καὶ τὴν θεοφορίαν ἑτέραν. ἢ γὰρ ὁ θεὸς ἡμᾶς ἔχει, ἢ ἡμεῖς ὅλοι τοῦ θεοῦ γιγνόμεθα, ἢ κοινὴν ποιούμεθα πρὸς αὐτὸν τὴν ἐνέργειαν· καὶ ποτὲ μὲν τῆς ἐσχάτης δυνάμεως τοῦ θεοῦ μετέχομεν, ποτὲ δ' αὖ τῆς μέσης, ἐνίοτε δὲ τῆς πρώτης· καὶ ποτὲ μὲν μετουσία ψιλὴ γίνεται, ποτὲ δὲ καὶ κοινωνία, ἐνίοτε δὲ καὶ ἕνωσις τούτων τῶν ἐνθουσιάσεων· ἢ μόνη ἡ ψυχὴ ἀπολαύει, ἢ τῷ σώματι συμμετέχει, ἢ καὶ τὸ κοινὸν ζῷον.

Ἐκ δὴ τούτων καὶ τὰ σημεῖα τῶν ἐπιπνεομένων γίνονται πολυειδῆ, κινήσεις τε τοῦ σώματος καὶ μορίων

3. εἴδη om. BCD. 5. post ἐστὶ ACD addunt καί. 7. καὶ post τοῦτο om. A. 13. ψηλὴ B. || κινωνία D. 14. post τούτων AC addunt δὲ. || ἀπολάβει B. 14. 15. ἢ τῷ] sic A, ἢ καὶ τῷ O. 15. συμμετέχει ἢ καὶ τὸ (τὸν D) sic ACD, περιέχει ἢ τὸ O. 17. κίνησίς τε ACD.

vitam hominis neque animalis vivunt, sed aliam longe diviniorem a qua inspirantur et possidentur.

Sunt autem variae divinae obsessionis species, et variis modis divina inspiratio efficitur, unde eius signa quoque diversa esse contingit. vel enim dii qui nos inspirant differunt, et afflationem efficiunt diversam, vel modus inspirandi alius est atque alius, unde etiam raptus divinus differt. aut enim deus ipse nos occupat, aut nos ei totos addicimus, aut una cum ipso eodemque tenore operamur. item aliquando aut infimae divinae potentiae compotes evadimus, aut mediae aut ultimae. item aliquando est nuda dei praesentia, aliquando etiam communio, nonnunquam et unio fit harum afflationum. rursum respirationis vel anima sola fit particeps, vel simul cum corpore fruitur, vel totum animal.

Secundum horum diversitates diversa quoque fiunt inspiratorum signa: alii quippe toto corpore agitantur, alii quibusdam membris,

τινῶν παντελεῖς τε αὐτοῦ ἠρεμαῖαι, τάξεις τε ἐναρμόνιοι καὶ χορεῖαι καὶ φωναὶ ἐμμελεῖς ἢ τἀναντία τούτων· καὶ ἤτοι τὸ σῶμα ἐπαιρόμενον ὁρᾶται ἢ διογκούμενον ἢ μετέωρον ἐν τῷ ἀέρι φερόμενον ἢ τἀναντία τούτων περὶ αὐτὸ φαίνεται γιγνόμενα· φωνῆς τε ὁμαλότης κατὰ μέγεθος ἢ κατὰ τὰ μεταξὺ διαλαμβανόμενα τῇ σιωπῇ διαστήματα πολλὴ θεωρεῖται καὶ ἀνωμαλία, αὖθις ἐνίοτε μουσικῶς μὲν ἐπιτεινομένων καὶ ἀνιεμένων τῶν ἤχων, ἐνίοτε δ' ἄλλον τρόπον.

6 Τὸ δὲ μέγιστον ὁρᾶται τῷ θεαγωγοῦντι τὸ κατιὸν πνεῦμα καὶ εἰσκρινόμενον, ὅσον τέ ἐστι καὶ ὁποῖον· μυστικῶς τε πείθεται καὶ διακυβερνᾶται. ὁρᾶται δὲ καὶ τῷ δεχομένῳ τὸ τοῦ πυρὸς εἶδος πρὸ τοῦ δέχεσθαι· ἐνίοτε δὲ καὶ τοῖς θεωροῦσι πᾶσιν ἔκδηλον γίνεται, εἴτε κατιόντος ἢ ἀναχωροῦντος τοῦ θεοῦ· ἀφ' οὗ δὴ καὶ τὸ ἀληθέστατον αὐτοῦ καὶ δυνατώτατον καὶ μάλιστα τεταγμένον περὶ τίνων τε πέφυκεν ἀληθεύειν καὶ τίνα δύναμιν παρέχειν ἢ ἐπιτελεῖν τοῖς ἐπιστήμοσι, γνώριμον γίνεται. οἱ

1. ἠρεμίαι ACD. 3. ἐπαιρώμενον D. 5. γιγνόμενον ACD. 6. ἢ τὰ μεταξὺ ACD. 8. μὲν μουσικῶς ACD. 9. δ' ἄλλον] δι' ἄλλον B. 12. καὶ alterum] sic AD, om O. 14. ἔκδειλον D. || εἴτε] ἤτοι ACD. 15. δὴ] δεῖ D. 18. ἐπιστελεῖν D.

alii rursum omnino quiescunt; aliquando harmoniae audiuntur bene ordinatae et choreae et voces concinnae, aliquando contraria his. rursum corpus eorum vel concrescere videtur in altum vel in amplum, vel per aërem ferri sublime, vel omnia his contraria patitur. item observatur vocis aequabilis tenor et contentio, iterum varietas plurima propter interposita silentii spatia, sonis musice nunc intensis nunc remissis, aliquando etiam alio modo.

6 Quod autem longe maximum est, is qui deducit numen, aliquando videt spiritum descendentem insinuantemque se, et quantus sit et qualis, atque ab eo mystice docetur et regitur. qui autem numen concipit, ante susceptionem videt quandam ignis speciem, quam quidem etiam omnes praesentes aliquando vident, vel sub adventum dei vel sub excessum: unde harum rerum periti optime iudicant de veritate de potestate et maxime de ordine istius numinis, et quibus de rebus verax esse possit, quas vires praebere, quid de-

δὲ ἄνευ τῶν μακαρίων τούτων θεαμάτων ἀφανῶς ποιούμενοι τὰς ἀγωγὰς τῶν πνευμάτων ὥσπερ ἐν σκότῳ ἀφάσσουσι, καὶ οὐδὲν ἴσασιν ὧν ποιοῦσι, πλὴν πάνυ μικρῶν τῶν διὰ τοῦ σώματος φαινομένων σημείων τοῦ ἐνθουσιῶντος καὶ τῶν ἄλλων τῶν ἐναργῶς ὁρωμένων, τὰ ὅλα τῆς θείας ἐπιπνοίας ἐν ἀφανεῖ κεκρυμμένα ἀγνοοῦντες. ἀλλ' ἐκεῖσε πάλιν ἐπάνειμι. εἰ γὰρ παρουσία τοῦ τῶν θεῶν πυρὸς καὶ φωτός τι εἶδος ἄρρητον ἔξωθεν ἐπιβαίνει τῷ κατεχομένῳ, πληροῖ τε αὐτὸν ὅλον ἐπικρατεῖ, καὶ κύκλῳ τε πανταχόθεν ἐν ἑαυτῷ συνείληφεν, ὡς μηδεμίαν οἰκείαν ἐνέργειαν δύνασθαι διαπράττεσθαι, τίς ἂν αἴσθησις ἢ παρακολούθησις ἢ ἐπιβολὴ οἰκεία παραγένοιτο τῷ καταδεχομένῳ τὸ θεῖον πῦρ; ἢ τί ἂν τότε ἀνθρώπινον κίνημα παρεμπέσοι, ἢ ποία καταδοχὴ γένοιτ' ἂν ἀνθρωπίνη πάθους ἢ ἐκστάσεως ἢ παρατροπῆς φαντασιῶν ἢ ἄλλου τινὸς τοιούτου, ὁποῖον ὑπολαμβάνουσιν οἱ πολλοί; τοιαῦτα δὴ οὖν ἔστω καὶ τὰ θεῖα τεκμήρια τῆς ἀληθινῆς

2. σκόπῳ D. 7. ἐκεῖσε] sic ACD, ἐκεῖ O. 9. πληροῖ τε] sic AC et marg. B, πληροῖ καὶ D, πληροῖτο O. ‖ καὶ ἐπικρατεῖ] sic A, ἐπικρατεῖ O. 10. συνήληφεν C. 14. παρεμπέσῃ D. ‖ ἂν om. AC. 17. δὴ] sic AD, om. O.

nique perficere valeat. qui autem his beatis spectaculis frustrati spiritus deducunt quos non vident, caecutiunt prorsus tamquam in tenebris, neque quidquam intelligunt praeter pauca admodum indicia quae se manifestant in corpore hominis correpti, et nonnulla alia per se aperta, ignorantes interim divinae inspirationis praecipua omnia quae latent iis ignota. sed redeo iterum in viam. cum igitur divini ignis affluentia quaedam et ineffabilis luminis species extrinsecus occupato incubet, impleatque ipsum totum, penitusque ei invalescat et circumquaque in se complectatur, adeo ut nullam queat actionem peragere propriam, quisnam sensus perceptiove et animadversio propria potest adesse animo divinum ignem suscipienti? aut quae tunc intervenire possit humana motio aut obsessio passionis humanae, et ecstaseos aut phantasiae aversionis aut quidquam tale, quemadmodum multi credunt? haec igitur sint divinae inspirationis

ἐνθουσιάσεως, οἷς ἄν τις προσέχων οὐκ ἂν διαμάρτοι τῆς ὀρθῆς περὶ αὐτὴν ἐπιγνώσεως.

7 *Οὐ μὴν ἐξαρκεῖ γε ταῦτα μόνα μαθεῖν, οὐδ' ἄν τις γένοιτο τέλειος εἰς τὴν θείαν ἐπιστήμην ταῦτα μόνα εἰδώς. ἀλλὰ χρὴ γνῶναι καὶ τίς ὁ ἐνθουσιασμός ἐστι καὶ ὅπως γίνεται. φορὰ μὲν οὖν τῆς διανοίας μετὰ δαιμονίας ἐπιπνοίας ψευδῶς δοξάζεται. οὔτε γὰρ ἡ διάνοια ἡ ἀνθρωπίνη φέρεται, εἴ γε ὄντως κατέχεται, οὔτε δαιμόνων, θεῶν δὲ γίνεται ἐπίπνοια. ἀλλ' οὐδ' ἔκστασις ἁπλῶς οὕτως ἐστίν, ἀλλ' ἐπὶ τὸ κρεῖττον ἀναγωγὴ καὶ μετάστασις, ἡ δὲ παραφορὰ καὶ ἔκστασις ἐμφαίνει καὶ τὴν ἐπὶ τὸ χεῖρον ἀνατροπήν. ἔτι τοίνυν ὁ τοῦτο ἀποφαινόμενος λέγει μέντοι περὶ τῶν συμβεβηκότων περὶ τοὺς ἐνθουσιῶντας, οὐ μέντοι τὸ προηγούμενον ἀναδιδάσκει. ἔστι δὲ τοῦτο τὸ κατέχεσθαι ὅλους αὐτοὺς ὑπὸ τοῦ θείου, ᾧ ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἐξίστασθαι. ψυχῆς μὲν οὖν καί τινος τῶν ἐν αὐτῇ δυνάμεων, ἢ νοῦ ἢ ἐνεργειῶν, ἢ μετὰ σωμα-*

3. *γε*] sic AC, *τε* O. 4. *τέλειος*] *τέλος* ACD. 8. *ὄντως*] sic ACD, *οὕτως* O. 9. *ὄντως* AC. 12. *λέγει*] sic ACD, *λέγοι* O. 17. post *δυνάμεων* A sic pergit *ἢ ἐνεργειῶν νοῦ καί τινος τῶν ἐν αὐτῷ δυνάμεων ἢ ἐνεργειῶν ἢ μετὰ σωματικῆς*, D sic pergit *ἢ νοῦ καί τινος τῶν ἐν αὐτῷ δυνάμεων ἢ ἐνεργειῶν ἢ σωματικῆς.* ‖ *ἢ νοῦ* om. C. ‖ *μετὰ*] sic A sec. manu, om. O

verae indicia, quibus qui diligenter attenderit a vero indicio circa eam non aberrabit.

7 Sed nec satis est haec sola didicisse, nec qui haec sola cognorit ad divinae scientiae perfectionem-perventurus est. oportet praeterea scire quid sit et quomodo contingat enthusiasmus. et male quidem creditur esse mentis motio una cum inspiratione daemonica. nam si vere mens hominis obsessa detineatur, utique non agitatur; sed nec illa afflatio a daemonibus fit sed a diis. adde quod enthusiasmus non recte vocatur ecstasis: nam potius dici debet reductio animi et restitutio in melius, cum ecstasis et raptus in deterius perversionem haud obscure significet. propterea qui sic de hac re disputat, ea forte dicit quae solent divinitus afflatis accidere, non tamen rei ipsius naturam et quod praecipuum est tangit. praecipuum autem est ipsos afflatos penitus a deo obsideri, quam quidem obsessionem postea sequitur tamquam accidens ecstasis et alienatio. non recte

τικῆς ἀσθενείας ἢ ἄνευ ταύτης οὐκ ἄν τις ὑπολάβοι δικαίως τὸν ἐνθουσιασμὸν εἶναι, οὐδ' ἂν οὕτω γίγνεσθαι εἰκότως ἂν ὑπόθοιτο· οὔτε γὰρ ἀνθρώπινόν ἐστι τὸ τῆς θεοφορίας ἔργον, οὔτε ἀνθρωπίνοις μορίοις ἢ ἐνεργήμασι τὸ πᾶν ἔχει κῦρος· ἀλλὰ ταῦτα μὲν ἄλλως ὑπόκειται, καὶ χρῆται αὐτοῖς ὁ θεὸς ὡς ὀργάνοις· τὸ δὲ πᾶν ἔργον τῆς μαντείας δι' αὐτοῦ πληροῖ, καὶ ἀμιγῶς ἀπὸ τῶν ἄλλων ἀφειμένος οὔτε ψυχῆς κινουμένης οὐδ' ὁτιοῦν οὔτε σώματος ἐνεργεῖ καθ' αὐτόν. ὅθεν δὴ καὶ ἀψευδῆ γίνονται τὰ μαντεῖα τὰ οὕτως ὡς λέγω κατορθούμενα. ἐπειδὰν δ' ἡ ψυχὴ προκαταταραχθῇ, ἢ μεταξὺ κινῆται ἢ τῷ σώματι παρεμπίπτῃ καὶ τὴν θείαν ἁρμονίαν ἐπιταράττῃ, θορυβώδη γίνονται καὶ ψευδῆ τὰ μαντεῖα, καὶ ὁ ἐνθουσιασμὸς οὐκέτι ἀληθὴς ὑπάρχει οὐδὲ γνησίως θεῖος.

*Εἰ μὲν οὖν ἀπόλυσις τοῦ θείου ἀπὸ τῆς ἄλλης ψυ- 8
χῆς ἢ χωρισμὸς τοῦ νοῦ ἤ τις ἐπίτευξις ῇ ἡ ἀληθὴς μαντεία, ἢ σφοδρότης καὶ ἐπίτασις ἐνεργείας ἢ πάθους ἢ*

2. *τὸν*] *τὸ* D. 3. *ἂν*] sic A, *οὖν* O. 4. *ἢ*] sic A, *καὶ* O. 9. *ἀψευδῆ*] sic AC, *ἀψευδῶς* O. 11. *προκαταταραχθῇ* margo B, *προκατάρχῃ* O. ‖ *κινῆται*] sic ACD, *κινεῖται* O. ‖ *ἢ τὸ σῶμα τι* D. 12. *παρεμπίπτῃ* AC, *παρεμπίπτει* O. 14. *οὐκετ'* AD. ‖ *γνησίως θεῖος*] sic ACD, *γνήσιος* O. 16. *ἐπίτευξις*] sic AC, *ἐπίταξις* D, *ἐπίτασις* O. ‖ *ῇ ἡ*] *ῇ ἢ* AC, *ἢ* D.

igitur existimaverit enthusiasmum pendere ab anima aut ab aliquibus animae facultatibus, aut ab intellectu aut ab operationibus, aut per corpoream valetudinem aut sine hac fieri aut non fieri. opus namque plus quam humanum est divinus raptus, nec facultatibus vel operationibus mortalibus innititur, quanquam iis quasi subiectis et organis utatur deus, qui tamen totum vaticinii munus per se praestat, et penes se pure separatimque ab aliis omnibus, anima et corpore nihil ministrantibus, operatur. unde et vaticinia ad hunc modum concepta vera sunt. quod si anima ante afflationem perturbata fuerit, aut interim concitetur aut corpori confundatur aut divinam harmoniam interpellet, confusa et fallacia evadunt vaticinia, nec sperari potest genuinus aut vere divinus enthusiasmus.

Si igitur vera vaticinatio nihil esset aliud quam solutio partis 8
divinioris animae a reliqua anima, aut mentis sequestratio aut suc-

ὀξύτης καὶ φορὰ τῆς διανοίας ἢ τὸ διαθερμαίνεσθαι τὸν νοῦν, πάντα ἂν τὰ τοιαῦτα ἀπὸ τῆς ἡμετέρας ψυχῆς ἀνακινούμενα, ψυχῆς ἄν τις τὸν ἐνθουσιασμὸν εἶναι εὐλόγως ὑποτίθοιτο. εἰ δὲ τὸ σῶμα κατὰ τὰς ποιὰς κράσεις ἤτοι μελαγχολικὰς ἢ ὁποιασοῦν, ἢ καὶ ἰδίως ἔτι μᾶλλον κατὰ τὸ θερμὸν καὶ ψυχρὸν καὶ ὑγρὸν ἢ τὸ ποιόν τι τούτων εἶδος, ἢ τὴν ἐν λόγῳ τούτων μῖξιν ἢ κρᾶσιν ἢ τὸ πνεῦμα ἢ τὸ μᾶλλον ἢ τὸ ἧττον τούτων, αἴτιον καθίσταται τῆς ἐνθουσιαστικῆς ἐκστάσεως, σωματικὸν ἂν εἴη τὸ τῆς παρατροπῆς πάθος, καὶ ἀπὸ τῶν φυσικῶν κινήσεων ἐγειρόμενον· εἰ δ' ἐξ ἀμφοῖν ἡ ἀρχὴ σώματός τε καὶ ψυχῆς ἀνεγείρεται, καθὸ συμπέπηκται ταῦτα ἀλλήλοις, κοινὸν ἔσται τοῦ ζώου τὸ τοιόνδε κίνημα· ἀλλ' οὔτε σώματος οὔτε ψυχῆς οὔτε τοῦ συναμφοτέρου τὸ ἐνθουσιᾶν ἐστὶν ἔργον· οὐδὲ γὰρ ἔχει τινὰ ταῦτα ἐν ἑαυτοῖς αἰτίαν τῆς θείας παραλλάξεως, οὐδὲ πέφυκεν ἀπὸ τῶν χειρόνων τὰ κρείττονα ἀπογεννᾶσθαι.

2. ἂν] sic ACD, om. O. 3. post εὐλόγως ACD addunt ἂν. 4. ὑποτίθοιτο] ὑπετίθετο ACD, ὑποτίθετο B. 5. μεταγχονικὰς C, μελαγχονικὰς D. 7. τούτων] τοσαύτων D. 9. ἐξετάσεως ABCD. 12. ἔσται] sic C, ἔσται τὸ O.

cessus quidam, aut si vehementior et contentior tantum actionis passionisve gradus, aut acutior et concitatior cogitatio aut fervor animae esset, quandoquidem isthaec omnia ab anima nostra profluunt, sane non immerito aliquis animae quoque enthusiasmum attribueret. porro si corpus propter certa sua temperamenta, puta melancholica vel quaelibet alia, aut ut particularius dicam propter calidum aut frigidum aut humidum innatum, aut aliam qualitatis ex his omnibus conflatam speciem, aut mistionis et compositionis proportionem, aut propter certum spiritum, aut denique propter horum omnium excessum aut defectum, censeatur iusta enthusiastici raptus causa, certe alienatio ista corporea passio esset, ortumque suum naturalibus motionibus imputaret. si vero ab utroque tum corpore tum anima, quatenus haec duo compositum constituunt, originem trahere afflationem concederemus, communicaret utique ista agitatio cum utraque animalis parte. sed revera enthusiasmus nec corporis nec animae nec compositi totius opus est, nec enim ista in se habent vel causam fontemve divinae illius alienationis, nec solent quae sunt praestantiora a deterioribus procreari.

Ἀλλὰ δεῖ ζητεῖν τὰ τῆς θείας μανίας αἴτια· ταῦτα δέ ἐστι τὰ καθήκοντα ἀπὸ τῶν θεῶν φῶτα καὶ τὰ ἐνδιδόμενα πνεύματα ἀπ᾽ αὐτῶν καὶ ἡ ἀπ᾽ αὐτῶν παροῦσα παντελὴς ἐπικράτεια, περιέχουσα μὲν πάντα τὰ ἐν ἡμῖν, ἐξορίζουσα δὲ πάντη τὴν οἰκείαν ἡμῶν παρακολούθησιν καὶ κίνησιν, καὶ λόγους μὲν προϊεμένη οὐ μετὰ διανοίας δὲ τῶν λεγόντων, ἀλλὰ μαινομένῳ φασὶ στόματι φθεγγομένων αὐτοὺς καὶ ὑπηρετούντων ὅλων καὶ παραχωρούντων μόνῃ τῇ τοῦ κρατοῦντος ἐνεργείᾳ. τοιοῦτός τίς ἐστιν ὁ σύμπας ἐνθουσιασμὸς καὶ ἀπὸ τοιούτων αἰτίων ἀποτελούμενος, ὡς ἐν τύπῳ καὶ μὴ δι᾽ ἀκριβείας περὶ αὐτοῦ εἰρῆσθαι.

Ἃ δὲ λέγεις ἐπὶ τούτοις ἐστὶ ταῦτα· ὡς τῶν ἐξιστα- 9
μένων ἔνιοί τινες αὐλῶν ἀκούοντες ἢ κυμβάλων ἢ τυμπάνων ἤ τινος μέλους ἐνθουσιῶσιν, ὡς οἵ τε κορυβαντιζόμενοι καὶ οἱ τῷ Σαβαζίῳ κάτοχοι καὶ οἱ μητρίζοντες· δεῖ

3. *παροῦσα*] sic AC, om O. 7. *μαινομένων* AC. ‖ *σώματι* B, *στόμασι* D. 9. *τις* om. D. 11. *διακριβείας* A. 14. *αὐλῶν*] sic AC, *αὐτῶν* O. 15. ante *μέλους* margo B addit *αὐλῶν*· 16. *τῷ*] *τῶν* BD. ‖ *σαβαξίῳ* A, *σαβαξίων* D, *σαβιξίων* B. ‖ *καὶ ὁ Σαβάζιος δὲ τῶν Φρυγιακῶν ἐστι καὶ τρόπον τινὰ τῆς μητρὸς τὸ παιδίον, παραδοὺς τὰ τοῦ Διονύσου καὶ αὐτός.* Strab. 470.

Age igitur indagemus causam et originem furoris divini. ea vero alia non est quam illuminatio ab ipsis usque diis promanans, spiritusque ab iis concessi, et obsessio ab iis proveniens, qua nos tenent plena et absoluta, quae quidem omnes nostras facultates absorbeat, motusque et operationes humanas et sensum nostri prorsus exterminet, sermones proferens quos tamen non intelligant qui loqui videntur, sed furioso ore pronuntient, ut omnia prorsus quae nostra sint occupantis dei potestati soli ministrent tantum et obsecundentur. huiusmodi est omnis verus enthusiasmus et ex his oritur causis, ut strictim non accurate de eo iam dixisse libuit.

Quae deinceps dicis sunt huiusmodi: esse nimirum quosdam ex 9
iis qui ecstasin patiuntur, qui ita afficiuntur quoties audiant tibias vel cymbala vel tympana vel certum quoddam melos, quales sunt Corybantes et Sabasii et matris Cybeles mystae. oportet igitur et

δὴ καὶ περὶ τούτων τὰς αἰτίας διελθεῖν πῶς τε γίνονται, ἐπιτελούμενά τε τίνα ἔχει λόγον.

Τὸ μὲν οὖν κινητικόν τι καὶ παθητικὸν εἶναι τὴν μουσικήν, καὶ τὸ τῶν αὐλῶν ἐμποιεῖν ἢ ἰατρεύειν τὰ πάθη τῆς παρατροπῆς, καὶ τὸ μεθιστάναι τὰς τοῦ σώματος κράσεις ἢ διαθέσεις τὴν μουσικήν, καὶ τὸ ἄλλοις μὲν μέλεσιν ἀναβακχεύεσθαι ἄλλοις δὲ ἀποπαύεσθαι τῆς βακχείας, καὶ πῶς αἱ τούτων διαφοραὶ πρὸς τὰς τῆς ψυχῆς ἑκάστας διαθέσεις προσαρμόττουσι, καὶ ὅτι τὸ ἄστατον καὶ ἀκατάστατον μέλος πρὸς τὰς ἐκστάσεις οἰκεῖον, οἷα δή ἐστι τὰ Ὀλύμπου, καὶ ὅσα τοιαῦτα λέγεται, πάντα ἀλλοτρίως μοι δοκεῖ λέγεσθαι πρὸς τὸν ἐνθουσιασμόν· φυσικά τε γάρ ἐστι καὶ ἀνθρώπινα καὶ τέχνης ἡμετέρας ἔργα· τὸ δὲ θεῖον ἐν αὐτοῖς οὐδ' ὁπωστιοῦν διαφαίνεται.

Μᾶλλον οὖν ἐκεῖνα λέγομεν, ὡς ἠχοί τε καὶ μέλη καθιέρωνται τοῖς θεοῖς οἰκείως ἑκάστοις, συγγένειά τε

1. *γίγνεται* A. || post *γίνονται* B add. *καί*. 2. *ἐπιτετελεσμένα* O. 3. *τι*] sic AD, *τε* C, om. O. || *εἶναι* om. A. 4. *αὐχῶν* B. 9—10. *προσαρμόττουσι—ἐκστάσεις* om. O. 10. *οἰκεῖα* O. 11. *τὰ Ὀλύμπου*] *φαίνεται δ' Ὄλυμπος αὐξήσας μουσικὴν τῷ ἀγένητόν τι καὶ ἀγνοούμενον ὑπὸ τῶν ἔμπροσθεν εἰσαγαγεῖν, καὶ ἀρχηγὸς γενέσθαι τῆς Ἑλληνικῆς καὶ καλῆς μουσικῆς.* Plut. de mus. 12. p. 1135 c. 14. *ὁπωστιοῦν*] *ὅπως τοιοῦν* D. 16. *ἑκάστης* D.

harum rerum causas percurrere, tum quomodo fiant tum quomodo perficiantur.

Quod igitur dici solet, musicam vires habere quibus nos ad agendum patiendumque permoveat, quodque soleat animis nostris perturbationes inferre et auferre, tibiarum sonus etiam quod temperiem corporis permutare et variare valeat, musica quodque aliis carminibus debacchari faciat aliis compescat debacchationes, et quemadmodum carminum diversitas animi nostri affectionibus consonet, utque agitata et inquieta carmina animi elevationi conveniant, quod de carminibus Olympi compertum est, item quaecunque ad hanc sententiam afferri video, omnia mihi quidem inepte ad enthusiasmum applicari videntur: naturalia enim sunt et humana et artis nostrae inventa, divini autem in illis nihil quidquam apparet.

Illa igitur ad haec potius explicanda dicimus, quod soni et carmina diis consecrantur sua cuique propria, quod sit in his affinitas

αὐτοῖς ἀποδέδοται προσφόρως κατὰ τὰς οἰκείας ἑκάστων τάξεις καὶ δυνάμεις καὶ τὰς ἐν αὐτῷ παντὶ κινήσεις καὶ τὰς ἀπὸ τῶν κινήσεων ῥοιζουμένας ἐναρμονίους φωνάς· κατὰ δὴ τὰς τοιαύτας τῶν μελῶν πρὸς τοὺς θεοὺς οἰκειότητας παρουσία τε αὐτῶν γίνεται (οὐδὲ γάρ ἐστί τι τὸ διεῖργον), ὥστε μετέχειν αὐτῶν εὐθὺς τὸ τὴν τυχοῦσαν ἔχον πρὸς αὐτοὺς ὁμοιότητα, κατοχή τε συνίσταται εὐθὺς τελεία καὶ πλήρωσις τῆς κρείττονος οὐσίας καὶ δυνάμεως. οὐχ ὅτι τὸ σῶμα καὶ ἡ ψυχὴ ἀλλήλοις ἔστι συμπαθῆ καὶ συμπάσχει τοῖς μέλεσιν, ἀλλ' ἐπεὶ τῆς θείας ἁρμονίας ἡ τῶν θεῶν ἐπίπνοια οὐκ ἀφέστηκεν, οἰκειωθεῖσα δὲ πρὸς αὐτὴν καταρχὰς μετέχεται ὑπ' αὐτῆς ἐν μέτροις τοῖς προσήκουσιν· ἔχει δὲ καὶ τὸ ἀνεγείρεσθαι καὶ τὸ ἀποπαύεσθαι κατὰ τὴν τῶν θεῶν τάξιν ἑκάτερον. ἀπέρασιν δὲ καὶ ἀποκάθαρσιν ἰατρείαν τε οὐδαμῶς αὐτὸ κλητέον. οὐδὲ γὰρ κατὰ νόσημά τι ἢ πλεονασμὸν ἢ περίττωμα

2. post αὐτῷ est lacuna in B. 3. ῥοιζομένας AC. 6. εὐθὺς] sic AD, εὐθὺ O. 7. κακοχή B, κακωχή CD. 9. ἀλλήλοις] sic ACD, ἐν ἀλλήλοις O. || συμπαθῆ] sic C, συμπαθεῖ O. 10. ἐπὶ CD. 14. ἀπέρασιν] sic CD, ἀπέρασιν (corr. alia man. ἀφαίρεσιν) A, ἃ πέρασι B, ἀφαίρεσιν O, et tum BCD Fesch. recedunt ad 2, 4 τὰ δὲ τῶν ψυχῶν.

mira, quae respondeat propriis singulorum deorum ordinibus et potentiis etiam et universi conversionibus et harmonicis concentibus, qui ab istis conversionibus profluunt, quodque propter hanc affinitatem quae carminibus cum diis intercedit, ipsi statim ita praesentes se sistant (nihil enim est quod disiungat), ut de iis participent qui mediocrem ad eos habent similitudinem, immo perfecta statim evadat obsessio et melioris naturae potestatisque plenioris haustus. non quod corpus et anima invicem commoveantur et compatiantur per carmina, sed quoniam deorum afflatio nunquam destituit harmoniam divinam, cui cum ab origine familiaris sit et cognata, recte censetur ab ea hauriri mensuris convenientibus; atque hinc fit quod nunc excitetur nunc submittatur, utrumque iuxta deorum ordines. multo minus afflatio dici debet evacuatio purgatio aut animae medela. neque enim in nobis primum innascitur ex morbo aliquo praevio, aut

πρώτως ἐν ἡμῖν ἐμφύεται, θεία δὲ αὐτοῦ συνίσταται ἡ πᾶσα ἄνωθεν ἀρχὴ καὶ καταβολή.

Ἀλλ' οὐδὲ τοῦτο δεῖ λέγειν, ὡς ἡ ψυχὴ πρώτως ὑφέστηκεν ἐξ ἁρμονίας καὶ ῥυθμοῦ· ἔστι γὰρ οὕτω ψυχῆς μόνης οἰκεῖος ὁ ἐνθουσιασμός· βέλτιον οὖν καὶ τὴν τοιαύτην ἀπόφασιν ἐκεῖσε μετάγειν, ὅτι δὴ ἡ ψυχὴ πρὶν καὶ τῷ σώματι δοῦναι ἑαυτήν, τῆς θείας ἁρμονίας κατήκουεν· οὐκοῦν καὶ ἐπειδὰν εἰς σῶμα ἀφίκηται, ὅσα ἂν μέλη τοιαῦτα ἀκούσῃ οἷα μάλιστα διασώζῃ τὸ θεῖον ἴχνος τῆς ἁρμονίας, ἀσπάζεται ταῦτα καὶ ἀναμιμνήσκεται ἀπ' αὐτῶν τῆς θείας ἁρμονίας, καὶ πρὸς αὐτὴν φέρεται καὶ οἰκειοῦται, μεταλαμβάνει τε αὐτῆς ὅσον οἷόν τε αὐτῆς μετέχειν.

Κοινῶς μὲν οὖν οὕτως ἄν τις ἀποδοίη τὴν αἰτίαν τῆς θείας μαντείας· τοὺς δὲ ἰδίους περὶ αὐτῆς ἀπολογισμοὺς προσάγωμεν, οὐ τοῦτο λέγοντες, ὅτι ἡ φύσις ἕκαστον ἄγει πρὸς τὸ οἰκεῖον· οὐδὲ γάρ ἐστι φύσεως ἔργον

2. καταβολὴ] sic ACD, μεταβολὴ O. 5. 6. τοιαύτην] sic ACD, ταύτην O. 7. κατήκουεν] sic ACD, κατήκοεν O. 8. ὅσα] ὅσαν D. 9. οἷα] οἷ B. || διασώζει AC. 15. 16. ἀπολογισμοὺς] sic AD, λογισμοὺς O. 16. προσάγομεν CD, προσαγομένων B.

excessu et redundantia, potius omnis eius origo et fundatio divinitus deducenda est.

Sed nec illud oportet dicere, quod anima primo ex harmonia constiterit et rhythmo. ita enim ad animam iterum trahemus enthusiasmum, eique appropriabimus. rectius igitur huiusmodi negationem illuc accommodabimus, quod quidem anima priusquam corpori se insinuaret divinam audivit harmoniam, postquam in corpus devenerit, et ea audierit carmina quae divinae harmoniae quam proxime stricturas repraesentant, utique ea amplectitur et per ea divinam harmoniam recuperat, ad quam proinde rapitur et unice sese applicat, hauritque de ea quantum potest ipsa capere.

Atque hoc modo possit quis communiter loquendo divini vaticinii causam assignare. age vero proprias vaticinii iam afferamus rationes; nec id primo ponemus, quod natura simile ducat ad simile, nam ut saepe diximus enthusiasmus naturae opus non est: sed

τὸ ἐνθουσιᾶν· οὐδ' ὅτι ἡ τοῦ ἀέρος καὶ τοῦ περιέχοντος κρᾶσις διάφορον ἐμποιεῖ καὶ τὴν ἐν τῷ σώματι κρᾶσιν τῶν ἐνθουσιώντων· οὐδὲ γὰρ σωματικαῖς δυνάμεσιν ἢ κράσεσι τὰ τῶν θεῶν ἔργα τῆς ἐπιπνοίας ἐναλλάττεται· οὐδ' ὅτι πρὸς τὰ πάθη καὶ τὰ γιγνόμενα προσφόρως καὶ τὴν τοῦ θεοῦ ἐπεφήμισαν ἐπίπνοιαν· ἀπαθὴς γὰρ καὶ κρείττων πάσης γενέσεως ἡ δόσις τῶν θεῶν εἰς ἀνθρώπους ἐστὶ τῆς οἰκείας ἐνεργείας. ἀλλ' ἐπεὶ τῶν μὲν Κορυβάντων φρουρητική πώς ἐστιν ἡ δύναμις καὶ ἐπιτελεστική, τοῦ Σαβαζίου δὲ εἰς βακχείας καὶ ἀποκαθάρσεις ψυχῶν καὶ λύσεις παλαιῶν μηνιμάτων οἰκειότητα παρεσκεύασται, διὰ ταῦτα δὴ καὶ αἱ ἐπίπνοιαι αὐτῶν τῷ παντὶ διεστήκασι.

Τῆς δὲ μητρὸς τῶν θεῶν σὺ μὲν ἔοικας ἄρρενας εἶναι νομίζειν τοὺς κατόχους· οὕτω γὰρ αὐτοὺς καὶ προσηγόρευσας τοὺς μητρίζοντας· οὐ μὴν τό γε ἀληθὲς οὕτως ἔχει· γυναῖκες γάρ εἰσιν αἱ προηγουμένως μητρίζουσαι, ἀρρένων δὲ ὀλιγοστοὶ καὶ ὅσοι ἂν ὦσιν ἁπαλώτεροι. δύ-

1. ἄρεος B. 5. γιγνόμενα] sic AD, γινόμενα O. 6. ἐπιφήμισαν O. 8. μὲν] sic ACD, om. O. 9. φρουρητικὴ] sic AD, φρουρετικὴ O.* 10. σαβαξίου ABD. ‖ βακχείας] βραχείας ABCD. 11. μηνιμάτων] sic AD, μηνυμάτων O. 12. αἱ] sic ACD, om. O. 18. δὲ] sic ACD, δὲ οἱ O.

nec illud quod aëris et continentis temperies differentiam in afflatorum crasi efficiat; nequeunt enim divini afflatus opera a diis profecta corporeis qualitatibus aut temperamentis affici et mutari: sed nec illud quod ad passiones et res genitas quidam accommodarunt deorum inspirationem; impatibilis enim est et praestantior quam ut in generationem prolabatur ea largitio, qua dii suas operationes hominibus communicant. quare cum Corybantum vis et afflatio ad rerum custodias et initia pertineat, Sabazii autem apta sit ad debacchationes et animarum purgationes et veterum irarum solutiones, manifestum est diversissimos quoque esse illorum afflatus.

Quod ad deorum matrem attinet videris tu quidem existimare, solos mares eius afflatu corripi, sic enim eos metrizantes appellabas. atqui res ita non se habet, nam mulieres praecipue eius sectam sequuntur, virorum paucissimi iique fere qui sunt effeminatiores. habet

ναμιν δ' ἔχει καὶ οὗτος ὁ ἐνθουσιασμὸς ζωογόνον τε καὶ ἀποπληρωματικήν, καθὸ δὴ καὶ διαφερόντως τῆς ἄλλης μανίας πάσης διενήνοχεν.

Οὕτω δὴ οὖν καθ' ὁδὸν ἰόντες τὴν ἑξῆς τοῦ παρόντος λόγου καὶ τὰς τῶν Νυμφῶν ἢ Πανὸς ἐπιπνοίας καὶ τὰς ἄλλας αὐτῶν διαφορὰς κατὰ τὰς τῶν θεῶν δυνάμεις οἰκείως διακρίνοντες, διαστήσομεν κατὰ τὰς προσηκούσας αὐτῶν ἰδιότητας ἐξηγησόμεθά τε διὰ τί ἐκπηδῶσι καὶ ἐν ὄρεσι διατρίβουσι καὶ διὰ τί δεδεμένοι φαίνονταί τινες καὶ διὰ τί διὰ θυσιῶν θεραπεύονται· πάντα τε ταῦτα τοῖς θείοις αἰτίοις ἀποδώσομεν ὡς ἔχουσιν ἐν ἑαυτοῖς τὸ πᾶν κῦρος· ἀλλ' οὔτε σωματικά τινα ἢ τῆς ψυχῆς περιττώματα συναθροιζόμενα δεῖσθαι τοῦ ἀποκαθαίρεσθαι ἐροῦμεν, οὔτε ὡρῶν περιόδους αἰτίας εἶναι τῶν τοιούτων παθημάτων, οὔτε τὴν τοῦ ὁμοίου καταδοχὴν καὶ τὴν τοῦ ἐναντίου ἀφαίρεσιν ἰατρείαν τινὰ φέρειν τῆς τοιαύτης ὑπερβολῆς φήσομεν· τὰ γὰρ τοιαῦτα πάντα σωματοειδῆ

4. τὴν] τὸ O. 5. τὰς] sic ACD, om. O. 8. διὰ τί] sic C, διά τι A, δι' ἃ O. 9. δεδόμενοι B, δεδομένοι C, δεδομένοι (in marg. a sec. manu: an δεδεμένοι?) D. 11. θείοις] θεοῖς D. 13. συναθριζόμενα D. 14. ὁρῶν B. 16. φέρειν] sic ACD, ἀφαιρεῖν O.

autem afflatus ille vim ad vitam generationemque perficiendam, unde et longissime ab omni alio furoris genere differt.

Atque hoc modo quod reliquum est huius sermonis ordine pertexentes, etiam Nympharum et Panis afflationes et alias illorum differentias tum ipsas deorum vires distincte prodemus iuxta proprias eorum proprietates, praeterea explicabimus quam ob causam in montibus vagantur, et quare ex iis quidam vincti apparent, et quare sacris factis curantur; et haec omnia divinis causis assignabimus, quae quidem in se omnem harum rerum pondus et rationem continent. sed nec recurremus eo ut dicamus, corporis quosdam aut animae excessus confluxisse et purgationem indicasse; sed nec certas periodos affectionum talium causas esse, nec similis receptionem et contrarii amolitionem ullum medicamentum afferre dicemus huiusmodi excessui. haec quippe omnia mere corporea sunt, et a vita divina

καθέστηκε, ζωῆς δὲ θείας καὶ νοερᾶς πάντῃ κεχώρισται. ἕκαστον δὲ ᾗ πέφυκε ταύτῃ συμβαίνει καὶ τὰ περὶ αὐτὸ ἐνεργήματα τελεῖσθαι· ὥστε καὶ τὰ ἀπὸ τῶν θεῶν ἐγείροντα καὶ ἀναβακχεύοντα τοὺς ἀνθρώπους πνεύματα ἐκβέβληκεν ἄλλην πᾶσαν ἀνθρωπίνην καὶ φυσικὴν κίνησιν, καὶ οὐ δεῖ δὴ τὸν τρόπον αὐτῶν ἀφομοιοῦν ταῖς συνήθως γιγνομέναις ἐνεργείαις, ἐπὶ δὲ τὰ παντελῶς παραλλάττοντα καὶ πρωτουργὰ τῶν θεῶν αἴτια αὐτὰς ἀνάγειν προσήκει.

Ἓν μὲν δὴ οὖν τοῦτο εἶδος θεοφορίας τοιόνδε καὶ οὕτω γιγνόμενον ὑπάρχει· ἕτερον δὲ τὸ τῶν χρηστηρίων 11
διαβόητον καὶ ἐναργέστατόν ἐστι πολυμερὲς ἔνθεον μαντεῖον, περὶ οὗ τὰ τοιαῦτα ἀποφαίνεις· οἱ δ' ὕδωρ πιόντες, καθάπερ ὁ ἐν Κολοφῶνι ἱερεὺς τοῦ Κλαρίου, οἱ δὲ στομίοις παρακαθήμενοι, ὡς αἱ ἐν Δελφοῖς θεσπίζουσαι, οἱ δ' ἐξ ὑδάτων ἀτμιζόμενοι, καθάπερ αἱ ἐν Βραγχίδαις προ-

4. ἀναβαχεύοντα D. 6. συνήθων AC. 7. γιγνομέναις scripsi, γιγνωσκομέναις AB, γινωσκομέναις CD, γινομέναις O. 10—12. ἕτερον δὲ — μαντεῖον post ἀποφαίνεις (v. 12) iterum ponit D. 12. ἀποφαίνει CD. 13. Κολοφῶνι] Colophone in Apollinis Clarii specu lacuna est, cuius potu mira redduntur oracula, bibentium breviore vita. Plin. 2. 103. 232 Sill. || Κλαρίου] βλαρίου ABC, βλαρίου (in marg. ab alia manu κλαρίου) D. 14. παρακαθέμενοι O. 15. ἐνβραγχίδες C.

et intellectuali longissime absunt. unumquodque autem consentanee operatur ad naturam quam est nactum; et proinde spiritus qui a diis missi concitant et in raptus homines propellunt, omnem humanam et physicam motionem ab initio eiiciunt; neque aequum est eorum operationes cum aliis quae nostro more solent fieri comparare, sed ad divinas causas quae prorsus differunt quaeque has inferiores operando antevertunt, referre decet.

Talis igitur est et hoc modo divinae fit inspirationis una species. alia vaticinii divini species est ea quae per oraculum fit, ce- 11
lebris illa quidem et ab omnibus agnita et multiplex, de qua talia profers. aliqui vero sunt qui aquam bibunt, quemadmodum in Colophone Clarii sacerdos, alii ad os antri sedent, ut quae Delphis vaticinatur, alii ex aquis vaporem hauriunt, ut quae in Branchidis

φήτιδες. τριῶν δὴ τουτωνὶ διωνύμων χρηστηρίων ἐμνημόνευσας, οὐχ ὅτι μόνα ἐνταῦθα, πολὺ γὰρ πλείονα ὑπῆρχε τὰ παραλειπόμενα· ἀλλ' ἐπεὶ προεῖχε τῶν ἄλλων ταῦτα, καὶ ἅμα οὗ ἕνεκα ἐζητεῖτο ἱκανῶς ἂν ἐδίδασκες περὶ τοῦ τρόπου, φημὶ τῆς ἐκ θεῶν ἀνθρώποις ἐπιπεμπομένης μαντείας, διὰ τοῦτο δὴ ἠρκέσθης τούτοις. καὶ ἡμεῖς οὖν περὶ τῶν τριῶν τούτων ποιησόμεθα λόγον, τὸν περὶ τῶν πολλῶν μαντείων λόγον ὑπερβάντες.

Τὸ δὴ ἐν Κολοφῶνι μαντεῖον ὁμολογεῖται παρὰ πᾶσι δι' ὕδατος χρηματίζειν. εἶναι γὰρ πηγὴν ἐν οἴκῳ καταγείῳ καὶ ἀπ' αὐτῆς πίνειν τὸν προφήτην· ἔν τισι δὲ τακταῖς νυξὶν ἱερουργιῶν πολλῶν γενομένων πρότερον, πιόντα δὲ χρησμῳδεῖν οὐκέθ' ὁρώμενον τοῖς παροῦσι θεωροῖς. τὸ μὲν οὖν εἶναι μαντικὸν ἐκεῖνο τὸ ὕδωρ αὐτόθεν πρόδηλον· τὸ δὲ πῶς ἐστὶ τοιοῦτον, οὐκέτ' ἂν κατὰ τὴν παροιμίαν πᾶς ἀνὴρ γνοίη· δοκεῖ μὲν γὰρ διήκειν τι δι' αὐτοῦ πνεῦμα μαντικόν· οὐ μέντοι τό γε ἀληθὲς οὕτως ἔχει. τὸ γὰρ θεῖον οὐ διαπεφοίτηκεν οὕτω διαστατῶς καὶ μεριστῶς ἐν

5. τῆς] τοῖς D. 6. ἠρκέσθης] sic AC, ἠρκέσθην O. 11 ἀπ'] ἐπ' O. ‖ δὲ om. AC. 12. ποίοντα D. 14. εἶναι om. O. 16. αὐτοῦ] sic AD, αὐτὸ O.

prophetides audiunt. horum trium nominatim meministi oraculorum, non quod haec sint omnia, multa enim sunt plura quae praetermisisti; sed quoniam haec aliis famosiora essent, et quod ad modum docendum quo dii vaticinium hominibus communicant, id quod quaerimus, sufficiebant, ideo opinor his contentus fuisti. quare et nos de his tribus solis agemus, longam de aliis oraculis omnibus sermonem insuper habituri.

Est igitur in confesso apud omnes quod oraculum Colophonium per aquam responsa edat: esse enim constat in antro subterraneo fontem e quo bibit propheta. postquam autem biberit et multa statutis noctibus sacra prius peracta fuerint, tum demum vaticinatur invisibilis factus omnibus qui intersunt quod igitur aqua illa divinatrix sit manifestum est ex his: quomodo tamen talis fiat, id quidem ut est in proverbio non est cuiuslibet hominis intelligere. videri enim potest spiritus divinus per aquam transire; sed ita re vera non se habent ista. ipsum namque divinum numen non ita secun-

τοῖς αὐτοῦ μετέχουσιν, ἀλλ' ὡς παρέχον ἔξωθεν καὶ ἐπιλάμπον τὴν πηγήν, πληροῖ δυνάμεως αὐτὴν ἀφ' ἑαυτοῦ μαντικῆς· οὐ μέντοι τοῦγε θεοῦ πᾶσά ἐστιν ἡ ἐπίπνοια, ἥντινα παρέχει τὸ ὕδωρ, ἀλλ' αὐτὴ μὲν ἐπιτηδειότητα μόνον καὶ ἀποκάθαρσιν τοῦ ἐν ἡμῖν αὐγοειδοῦς πνεύματος ἐμποιεῖ, δι' ἣν δυνατοὶ γιγνόμεθα χωρεῖν τὸν θεόν. ἄλλη δ' ἐστὶν ἡ τοῦ θεοῦ παρουσία καὶ προτέρα ταύτης καὶ ἄνωθεν ἐναστράπτουσα· αὕτη τοίνυν οὐδενὸς ἀφέστηκε τῶν ἐχόντων διὰ τὴν τῆς οἰκειότητος συναφὴν πρὸς ἑαυτήν· πάρεστι δ' εὐθὺς καὶ χρῆται ὡς ὀργάνῳ τῷ προφήτῃ οὔτε ἑαυτοῦ ὄντι οὔτε παρακολουθοῦντι οὐδὲν οἷς λέγει ἢ ὅπου γῆς ἐστιν· ὥστε καὶ μετὰ τὴν χρησμῳδίαν μόγις ποτὲ ἑαυτὸν λαμβάνει· καὶ πρὸ τοῦ πίνειν δὲ οὕτως ἀσιτεῖ τὴν ἡμέραν ὅλην καὶ νύκτα, καὶ ἐν ἱεροῖς τισιν ἀβάτοις τῷ πλήθει καθ' ἑαυτὸν ἀνακεχώρηκεν ἀρχόμενος ἐνθουσιῶν, καὶ διὰ τῆς ἀποστάσεως καὶ ἀπαλλαγῆς τῶν ἀνθρωπίνων πραγμάτων ἄχραντον ἑαυτὸν εἰς ὑποδοχὴν τοῦ θεοῦ παρασκευάζει· ἐξ ὧν δὴ εἰς καθαρὰν ἕδραν τῆς ἑαυτοῦ ψυχῆς

2. πληγὴν B. 3. τοῦγε] sic AD, γε O. 4. αὕτη D.
5. μόνον om. D. || ἀγοειδοῦς B. 8. ἀναστράπτουσα B.
9. τὴν om. ACD. 11. οὐδενὶ O. || λέγειν B. 12. μόλις D.
15. ἀνακεχώρικεν CD. || ἐνθουσιᾷν A.

dum distantiam et divisionem transcurrit per ea quae de eo participant, sed extrinsecus comprehendit et affulget fonti, eumque de suo implet potestate ad divinandum conferente. quamquam ea quam nobis aqua praebet, non est tota quae a deo venit inspiratio, nam haec nos duntaxat parat, purgatque spiritum in nobis luminosum, ita ut apti efficiamur ad deum recipiendum. sed alia est dei praesentia isthac antiquior et caelitus irradians, atque haec quidem a nemine abest qui propter congruitatem eam possit contingere. adest itaque cito, utiturque propheta tamquam organo, qui interim neque sui iuris est, neque assequitur quidquam eorum quae dicit, neque ubi gentium sit constitutus; unde et post effata vix sero se ipsum recolligit. quinetiam ante potum aquae diem noctemque a cibis abstinet, et ad sacra quaedam se revocat vulgo inaccessibilia, iamiam enthusiasmo se praeparans: itaque propter sequestrationem et negotiorum humanorum fugam sincerum se reddit aptumque ad deum

ἐλλάμπουσαν ἔχει τὴν τοῦ θεοῦ ἐπίπνοιαν, ἀκώλυτόν τε ἑαυτῇ παρέχει τὴν κατακωχὴν καὶ τὴν παρουσίαν τελείαν καὶ ἀνεμπόδιστον.

Ἡ δ' ἐν Δελφοῖς προφῆτις, εἴτε ἀπὸ πνεύματος λεπτοῦ καὶ πυρώδους ἀναφερομένου ποθὲν ἀπὸ στομίου θεμιστεύει τοῖς ἀνθρώποις, εἴτε ἐν τῷ ἀδύτῳ καθημένη ἐπὶ δίφρου χαλκοῦ τρεῖς πόδας ἔχοντος χρηματίζει, εἴτε καὶ ἐπὶ τοῦ τετράποδος δίφρου ὅς ἐστιν ἱερὸς τοῦ θεοῦ, πανταχῇ οὕτω δίδωσιν ἑαυτὴν τῷ θείῳ πνεύματι, ἀπό τε τῆς τοῦ θείου πυρὸς ἀκτῖνος καταυγάζεται. καὶ ὅταν μὲν ἀθρόον καὶ πολὺ τὸ ἀναφερόμενον ἀπὸ τοῦ στομίου πῦρ κύκλῳ πανταχόθεν αὐτὴν περιέχῃ, πληροῦται ἀπ' αὐτοῦ θείας αὐγῆς· ὅταν δὲ εἰς ἕδραν ἐνιδρυθῇ τοῦ θεοῦ, τῇ σταθερᾷ τοῦ θεοῦ μαντικῇ δυνάμει συναρμόζεται· ἐξ ἀμφοτέρων δὲ τῶν τοιούτων παρασκευῶν ὅλη γίνεται τοῦ θεοῦ. καὶ τότε δὴ πάρεστιν αὐτῇ χωριστῶς ὁ θεὸς ἐπιλάμπων, ἕτερος ὢν καὶ τοῦ πυρὸς καὶ τοῦ πνεύματος καὶ

2. αὐτῇ AC. 3. καὶ om. AC. 7—8. τρεῖς πόδας ἔχοντος —τετράποδος δίφρου] duae indicantur Pythiae sacerdotis sellae, quarum altera tribus, altera quattuor pedibus fulciebantur. de quibus sellis aliam apud veteres scriptores notitiam frustra quaesivi. C. O. Mülleri dissertationem de tripode Delphico inspicere mihi non licuit. 10. θείου om. O. 12. περιέχῃ scripsi, περιέχη A, περιέχει (corr. περιέχη) D, περιέχει O. 16. 17. ἐπιλάμπει AC.

suscipiendum: et per haec quidem puram animae suae tabulam divinae substernit inspirationi affulgenti, obsessionem efficit liberam et praesentiam perfectam expeditamque.

Sibylla in Delphis, sive per spiritum tenuem et igneum erumpentem ex antri ore hominibus oracula fundit, sive in adyto sedens super aeneum tripodem, aut ut fit super sellam quattuor habentem pedes deo sacram responsa prodat, utrobique se dat divino spiritui, unde radio divini ignis illustratur. et quando contingit illam circumcingi copioso ex antri ore profluenti igne, divino splendore tota repletur. iterum quando occupat dei sellam, accommodatur stabiliter divinatrici dei potentiae: utrisque vero his apparatibus dei tota fit vates. adest ei sane tunc deus et affulget separatim, et alius

τῆς ἰδίας ἕδρας καὶ πάσης τῆς περὶ τὸν τόπον φυσικῆς καὶ ἱερᾶς φαινομένης κατασκευῆς.

Καὶ μὴν ἥ γε ἐν Βραγχίδαις γυνὴ χρησμῳδός, εἴτε ῥάβδον ἔχουσα τὴν πρώτως ὑπὸ θεοῦ τινὸς παραδοθεῖσαν πληροῦται τῆς θείας αὐγῆς, εἴτε ἐπὶ ἄξονος καθημένη προλέγει τὸ μέλλον, εἴτε τοὺς πόδας ἢ κράσπεδόν τι τέγγουσα τῷ ὕδατι ἢ ἐκ τοῦ ὕδατος ἀτμιζομένη δέχεται τὸν θεόν, ἐξ ἁπάντων τούτων ἐπιτηδεία παρασκευαζομένη πρὸς τὴν ὑποδοχὴν ἔξωθεν αὐτοῦ μεταλαμβάνει.

Δηλοῖ δὲ καὶ τὸ τῶν θυσιῶν πλῆθος καὶ ὁ θεσμὸς τῆς ὅλης ἁγιστείας καὶ ὅσα ἄλλα δρᾶται πρὸ τῆς χρησμῳδίας θεοπρεπῶς, τά τε λουτρὰ τῆς προφήτιδος καὶ ἡ τριῶν ὅλων ἡμερῶν ἀσιτία καὶ ἡ ἐν ἀδύτοις αὐτῆς διατριβὴ καὶ ἐχομένης ἤδη τῷ φωτὶ καὶ τερπομένης ἐν πολλῷ χρόνῳ· καὶ γὰρ αὐτὰ πάντα παράκλησιν τοῦ θεοῦ ὥστε παραγενέσθαι καὶ παρουσίαν ἔξωθεν ἐπιδείκνυσιν, ἐπίπνοιάν τε θαυμασίαν οἵαν πρὶν καὶ εἰς τὸν συνήθη τόπον ἀφικέσθαι, καὶ ἐν αὐτῷ τῷ πνεύματι τῷ ἀπὸ τῆς πηγῆς

1. τόπον] sic ACD, τρόπον B, om. O. 3. ἐνβραγχίδες C. 5. ἄξωνος O. 11. 12. χρησμωδίας] χωρῆς μωδίας D. 14. ἑρπομένης BD. 17. τόπον] sic ACD, τρόπον B, om. O.

existit ab igne et spiritu sedeque propria et omni circa istum locum apparatu, sive sit physicus sive religiosus.

Femina quinetiam in Branchidis fatidica, sive virgam tenens manu a deorum aliquo olim traditam divino splendore repleatur, sive sedens in axe futura canat, sive pedes aut limbum in aqua tingens sive ex aqua vaporem hauriens, deum quoque suscipiat, per omnia haec parata et ad suscipiendum instructa deum extrinsecus admittit.

Sed praeter haec manifestum est ex sacrificiorum multitudine ex stato sanctimoniae ritu ex iis omnibus quae iuxta divinas leges ante vaticinium fiunt, qualia sunt prophetidis lavacra, dierum trium iugis inedia, in adytis secessus, cum iamiam inceperit lumine circumfundi et gaudio pertentari ex aliquanto tempore: haec omnia id ostendunt, deum ut velit adesse rogari, et ab extrinseco praesentiam expectari, et sacerdotem priusquam ad ipsum locum perveniat miro modo inspirari, et ipso postquam sit in loco, alium esse a

ἀναφερομένῳ, ἕτερόν τινα πρεσβύτερον χωριστὸν ἀπὸ τοῦ τόπου θεὸν ἀποφαίνει, τὸν αἴτιον καὶ τοῦ τόπου καὶ τῆς πηγῆς αὐτῆς καὶ τῆς μαντικῆς ὅλης.

12 Φαίνεται δὴ οὖν καὶ ἡ τῶν χρηστηρίων μαντεία συνομολογοῦσα ταῖς ὅλαις ὑποθέσεσιν ἃς προειρήκαμεν περὶ τῆς μαντικῆς. ἀχώριστος μὲν γὰρ οὖσα τῆς φύσεως τῶν τόπων καὶ τῶν ὑποκειμένων αὐτῇ σωμάτων ἡ τοιαύτη δύναμις, ἢ προϊοῦσα κατὰ κίνησιν τὴν ἀφοριζομένην ἀριθμῷ, οὐ δύναται τὰ πανταχοῦ καὶ ἀεὶ προγινώσκειν ὡσαύτως· ἀφειμένη δὲ ἀπόλυτος τῶν τόπων καὶ τῶν διαμεμετρημένων τοῖς ἀριθμοῖς χρόνων (ἅτε δὴ κρείττων οὖσα τῶν γιγνομένων κατὰ χρόνον καὶ τῶν ὑπὸ τόπου κατεχομένων) τοῖς πανταχοῦ οὖσιν ἐξ ἴσου πάρεστι, καὶ τοῖς κατὰ χρόνον φυομένοις πάντοτε ἅμα σύνεστιν, ἐν ἑνί τε συνείληφε τῶν ὅλων τὴν ἀλήθειαν διὰ τὴν χωριστὴν ἑαυτῆς καὶ ὑπερέχουσαν οὐσίαν.

Εἰ δὴ ταῦτα ὀρθῶς εἰρήκαμεν, ὑπ' οὐδενὸς οὔτε τόπου

2. τρόπου B. 3. πηγῆς] sic ACD, γῆς O. || ante τῆς AC addunt περὶ. 5. ἃς] ἀεὶ BD. 6. περὶ τῆς] sic D, περὶ O. 8. ἢ] sic D, ἡ O. 10. δὲ] sic AD, δὲ καὶ O. 11. χρόνον ACD. 11—12. ἅτε δὴ — κατὰ χρόνον om. O. 12. γιγνομένων] sic CD, γινομένων A. 13. πάρεστι om. D. 14. πάντοτε] sic AC, πάντα τε D, πάντα O. 17. δὴ] δὲ D.

spiritu illo qui ex aqua ascendit praestantiorem, tum ab ipso illo loco independentem deum, qui auctor est omnis vaticinii quod ex isto loco aut fonte provenit.

12 Consentit igitur oraculorum vaticinatio omnibus quas proposuimus de mantice hypothesibus. sed si statuatur inseparabilis esse a locorum natura et corporum ei subiectorum vis haec, sive progredi censeatur ad motum aliquem determinatum numero, nunquam poterit ea quae ubique et semper sunt ipsa quoque ubique et semper praecognoscere: sin autem liberetur a locis et temporis numero (quippe quae praestantior est iis quae in tempore fiunt et in locis continentur), omnibus ubicunque sint ex aequo aderit, omniaque quandocunque fiunt simul complectetur, omniumque veritatem simul continebit propter separatam illam et eximiam essentiam.

Haec autem si vere diximus, vis illa deorum vaticinatrix parti-

οὔτε μεριστοῦ σώματος ἀνθρωπίνου οὔτε ψυχῆς κατεχομένης ἐν ἑνὶ εἴδει μεριστῶν περιείληπται μεριστῶς ἡ μαντικὴ τῶν θεῶν δύναμις, χωριστὴ δὲ οὖσα καὶ ἀδιαίρετος ὅλη πανταχοῦ πάρεστι τοῖς μεταλαμβάνειν αὐτῆς δυναμένοις, ἔξωθέν τε ἐπιλάμπει καὶ πληροῖ πάντα, δι' ὅλων τε τῶν στοιχείων διαπεφοίτηκε, γῆν τε καὶ ἀέρα καὶ πῦρ καὶ ὕδωρ κατείληφεν, οὐδέν τε ἄμοιρον ἑαυτῆς οὔτε τῶν ζώων οὔτε τῶν ἀπὸ φύσεως διοικουμένων ἀπολείπει, ἀλλὰ τοῖς μὲν μᾶλλον τοῖς δὲ ἧττον ἀφ' ἑαυτῆς δίδωσί τινα μοῖραν προγνώσεως· αὐτὴ μέντοι πρὸ τῶν ὅλων προϋπάρχουσα αὐτῷ τῷ χωριστῷ ἑαυτῆς ἱκανὴ γέγονεν ἀποπληρῶσαι πάντα, καθ' ὅσον ἕκαστα δύναται αὐτῆς μετέχειν.

Ἴδωμεν τοίνυν τὸ ἐντεῦθεν ἄλλο εἶδος ἰδιωτικὸν καὶ οὐ δημόσιον μαντείας, περὶ οὗ λέγεις ταῦτα· οἱ δὲ ἐπὶ χαρακτήρων στάντες ὡς οἱ πληρούμενοι ἀπὸ εἰσκρίσεων. τοῦτο τοίνυν διὰ τοὺς κακῶς αὐτῷ χρωμένους οὐ ῥᾴδιον ἑνὶ λόγῳ περιλαβεῖν. ἀλλὰ τὸ μὲν πρόχειρον καὶ κακῶς ἐπιπολάζον ἐν τοῖς πολλοῖς ἀνθρώποις ψευδολογίᾳ τε καὶ 13

2. περίληπται D. 7. τε om. O. 11. αὐτῷ] οὕτω D.
14. οὐ] οὗ O. 15. οἱ] οὐ C. 17. ἑνὶ] ἐν ἑνὶ AD.

biliter nusquam continetur, nec a loco nec a corpore quovis humano particulari neque ab anima certae alicui particularium speciei addicta, sed separata ab omnibus existens et indivisibilis tota simul omnibus adest quae eam capere possunt, illustrans forinsecus et omnia replens, perque omnia elementa discurrens, terramque et aërem ignem et aquam complectens; nec praeterit animal aliquod vel naturam cui se non impertiat, quin his magis illis minus det de praecognoscendi facultate: ipsa siquidem ante omnia praeexistens vi sua abstracta replet omnia, quatenus singula eam possunt percipere.

Videamus porro aliam vaticinationis non publicam sed privatam 13
speciem, de qua tu quidem istaec dixisti „nonnulli enthusiastae evadunt consistendo super characteres: quod videtur in iis qui spirituum insinuationibus replentur.“ sed nec facile est sub una ratione speciem hanc perstringere, quod multi sint qui ea perperam utuntur. obvia quidem est haec vaticinandi via et superficialis male, et plu-

ἀπάτῃ χρώμενον οὐκ ἀνεκτῇ, οὐδ' ὅλως ἔχει τινὸς θεοῦ παρουσίαν, κίνησιν δέ τινα τῆς ψυχῆς ποιεῖται παρὰ τοὺς θεούς, καὶ ἀμυδράν τινα ἀπ' αὐτῶν εἰδωλικὴν ἔμφασιν ἕλκει, ἥτις διὰ τὸ ἐξίτηλον τῆς δυνάμεως εἴωθεν ἐνίοτε ὑπὸ τῶν δαιμονίων φαύλων πνευμάτων ἐπιταράττεσθαι· ἡ δ' ὄντως τῶν θεῶν τυγχάνουσα, τά τε ἄλλα εἰλικρινὴς καὶ καθαρὰ ἄτρεπτος ἀληθής, καὶ δὴ καὶ ὑπὸ τῶν ἐναντίων πνευμάτων ἄβατός ἐστι καὶ ἀνεμπόδιστος· ὥσπερ γὰρ ἡλίου καταλάμψαντος οὐ πέφυκε τὴν αὐγὴν ὑπομένειν τὸ σκότος, ἐξαίφνης δὲ ἀφανὲς ἄρδην καθίσταται, καὶ παντελῶς ἐκ μέσων ὑποχωρεῖ καὶ ἐκποδὼν ἐξίσταται, οὕτω καὶ τῆς πάντα ἀγαθῶν πληρούσης τῶν θεῶν δυνάμεως πολλαχόθεν ἐπιλαμπούσης οὐκ ἔχει χώραν ἡ τῶν κακῶν ταραχὴ πνευμάτων, οὐδὲ δύναταί που διαφαίνεσθαι, ἀλλ' ὡς τὸ μηδὲν ἢ ἐν τῷ μὴ ὄντι κεχώρισται, οὐδαμοῦ φύσιν ἔχουσα κινεῖσθαι τῶν κρειττόνων παρόντων, ἢ παρενοχλεῖν αὐτοῖς δυναμένη ἡνίκα ἂν ἐπιλάμπωσι.

1. *οὐ δόλως* C. 5. *δαιμονίων*] sic ACD, *δαιμόνων* O. 6. *ἄλλα*] sic ACD, *ἀλλ' ἀεὶ* O. ‖ *εἰλικρινῆ* AC. 7. *καὶ δὴ ὑπὸ* D. 8. *ἀνεμώδιστος* D. 9. *γὰρ*] sic ACD, *καὶ* O. 11. *ἐκ μέσων*] sic AC, *ἐν μέσῳ* O. 12. *οὕτω* om. O. 13. post *πολλαχόθεν* BCD recedunt ad 2, 8, de Feschiano nil annotatum. 16. *παρόντων* om. et add. in marg. pr. m. D.

ribus proinde nota, fraudibus et errore plena non ferendis, nec omnino de praesentia divina quidquam habet, sed motum quendam levem in anima praeter deos facit, trahitque subobscuram ab iis et similitudinariam emphasin, quae subinde ob infirmitatem suam solet a malis daemonicis spiritibus confundi. quae autem deorum ipsorum est apparitio, ut est in ceteris omnibus sincera et pura et inpermutabilis et vera, ita contrariis spiritibus inaccessa est et impediri minime potest. quemadmodum enim solis coruscantis splendorem ferre nequeunt tenebrae, sed penitus evanescunt, e medio facessunt et extemplo abscedunt, ita cum deorum potestas quae omnia bonis replet fulgeat undecunque, malorum spirituum turba locum amplius non habet, neque potest se ostendere, sed ac si revera nihilum esset in nihilum abit; nec enim vel movere sese potest vel negotium facessere, quoties meliores spiritus comparent.

Τί ποτ' οὖν τοσοῦτον διάφορόν ἐστιν ἑκατέρου τούτων, οὐκ ἄλλοις χρήσομαι γνωρίσμασιν εἰς τὴν διάκρισιν αὐτῶν ἢ αὐτοῖς τοῖς παρὰ σοῦ ῥηθεῖσιν· ὅταν γὰρ εἴπῃς οἱ ἐπὶ χαρακτήρων στάντες, οὐδὲν ἄλλο ἔοικας σημαίνειν ἢ τὸ αἴτιον τῶν περὶ ταῦτα κακῶν πάντων. εἰσὶ γάρ τινες οἳ τὴν ὅλην πραγματείαν τῆς τελεσιουργοῦ θεωρίας παριδόντες περί τε τὸν καλοῦντα καὶ περὶ τὸν ἐπόπτην, τάξιν τε τῆς θρησκείας καὶ τὴν ὁσιωτάτην ἐν πολλῷ χρόνῳ τῶν πόνων ἐμμονὴν ἀτιμάσαντες, θεσμούς τε καὶ εὐταξίας καὶ τὰς ἄλλας ἁγιστείας παρωσάμενοι, ἀποχρῶσαν νομίζουσι τὴν ἐπὶ τῶν χαρακτήρων μόνην στάσιν, καὶ ταύτην ἐν μιᾷ ὥρᾳ ποιησάμενοι, εἰσκρίνειν νομίζουσί τι πνεῦμα· καίτοι τί ἂν γένοιτο ἀπὸ τούτων καλὸν ἢ τέλειον; ἢ πῶς ἔνεστι τὴν ἀίδιον καὶ τῷ ὄντι τῶν θεῶν οὐσίαν ἐφημέροις ἔργοις συνάπτεσθαι ἐν ταῖς ἱεραῖς πράξεσι; διὰ ταῦτα δὴ οὖν οἱ τοιοῦτοι προπετεῖς ἄνδρες τοῦ

1. τοσαῦτον O. 4. ἄλλο] ἄλλ' O. ‖ μαίνειν C. 6. οἳ] οἱ O. 7. ἐπιόπτην B. 8. ὁσιοτάτην D. 10. εὐταξίας. τελετάς. ἐντυχίας. εὐσταθείας margo B, ἐνταχίας (corr. ἐνταφίας) A, ἐνταχίας CD, ἐνταχείας B, ἐντυχίας Gale in corrigendis. 11. ἐπὶ] ἀπὸ D. 13. καλὸν] κακὸν D.

Cum igitur haec ita differant, non aliis indiciis utar ad discrimen statuendum inter ea, quam iis ipsis verbis quae tu attulisti. cum enim sic diceres „quidam soli characteribus innitentes“ plane mihi significare visus es malorum circa haec omnium causam. sunt enim quidam qui totum negotium sacrorum rituum et ordinem insuper habent tum quoad sacerdotem tum quoad epopten, qui constitutiones religionis et sanctissimam laborum per longum tempus tolerantiam nihili facientes, legesque et statuta aliasque caeremonias reiicientes, solam characterum contexturam sufficere credunt, quam cum una hora observarint, posse se spiritum aliquem includere existimant. enimvero quid boni aut perfecti ab istis sperari potest, aut quomodo poterit quis unius dieculae operationibus sempiternam et veram illam deorum essentiam sacris faciendis attingere? per haec igitur constat

παντὸς ἁμαρτάνουσιν, οὐδὲ ἄξιον αὐτοὺς ἐν μάντεσι καταριθμεῖσθαι.

14 *Περὶ δὲ ἄλλου γένους μαντικῆς λέγεις ταῦτα· ἄλλοι παρακολουθοῦντες ἑαυτοῖς κατὰ τὰ ἄλλα, κατὰ τὸ φανταστικὸν θειάζουσιν, οἱ μὲν σκότος σύνεργον λαβόντες οἱ δὲ καταπόσεις τινῶν οἱ δ' ἐπῳδὰς καὶ συστάσεις· καὶ οἱ μὲν δι' ὕδατος φαντάζονται οἱ δὲ ἐν τοίχῳ οἱ δ' ἐν ὑπαίθρῳ ἀέρι οἱ δ' ἐν ἡλίῳ ἢ ἄλλῳ τινὶ τῶν κατ' οὐρανόν. πᾶν δὴ καὶ τοῦτο ὃ λέγεις τῆς μαντείας γένος πολυειδὲς ὂν μιᾷ συνείληπται δυνάμει, ἣν ἄν τις φωτὸς ἀγωγὴν ἐπονομάσειεν. αὕτη δή που τὸ περικείμενον τῇ ψυχῇ αἰθερῶδες καὶ αὐγοειδὲς ὄχημα ἐπιλάμπει θείῳ φωτί, ἐξ οὗ δὴ φαντασίαι θεῖαι καταλαμβάνουσι τὴν ἐν ἡμῖν φανταστικὴν δύναμιν κινούμεναι ὑπὸ τῆς βουλήσεως τῶν θεῶν. ὅλη γὰρ ἡ ζωὴ τῆς ψυχῆς καὶ πᾶσαι αἱ ἐν αὐτῇ δυνάμεις ὑποκείμεναι τοῖς θεοῖς κινοῦνται, ὅπως ἂν ἡγεμόνες αὐτοῖς ἐθέλωσι.*

Καὶ τοῦτο διχῶς γίνεται ἢ παρόντων τῇ ψυχῇ τῶν

1. *οὐδὲ*] *τοῦ δὲ* BC, *τοῦδε* D, *τοῦ* A. || *ἄξιον*] *ἀξίους* C, *ἄξιον εἶναι* A. 5. *σύνεργον*] sic ACD, *συνεργεῖν* O cf. 133, 12. 7. *τύχῳ* B. 11. *δή*] sic AC, *δέ* O. 12. *ἀγωειδὲς* D.

quod prorsus peccant audaces homines, neque oportet eos in vatum numero percensere.

14 **De alio vaticinii genere haec affers „alii cum cetera satis apud se sint sola phantasia afficiuntur, quoniam aliqui tenebras habent auxiliatrices alii potiones quasdam alii carmina et compositiones: alii per aquam phantasma accipiunt alii in pariete alii in aperto aëre alii in sole alii in stellis aliis.“ sed totum hoc genus manticae quanquam multiforme sit potest tamen sub una specie comprehendi, quam non male illuminationem quis appellaverit. illa autem circumpositum animae aetherium et splendidum vehiculum divina luce perfundit, unde ad deorum voluntatem percitae imagines divinae eam quae est in nobis attingunt phantasiam tota enim animae vita omnesque eius facultates deorum parent motibus, ut quo velint earum duces impellant.**

Fit autem dupliciter hoc vel cum dii sola praesentia sine medio

θεῶν ἢ προδραμόν τι εἰς αὐτὴν φῶς ἀφ' ἑαυτῶν ἐπιλαμπόντων· καθ' ἑκάτερον δὲ τὸν τρόπον χωριστὴ καὶ ἡ θεία παρουσία ἐστὶ καὶ ἡ ἔλλαμψις. ἡ μὲν οὖν προσοχὴ καὶ διάνοια τῆς ψυχῆς παρακολουθεῖ τοῖς γιγνομένοις, ἐπειδὴ τούτων τὸ θεῖον φῶς οὐκ ἐφάπτεται· ἐπιθειάζει δὲ τὸ φανταστικόν, διότι οὐκ ἀφ' ἑαυτοῦ, ἀπὸ δὲ τῶν θεῶν ἐγείρεται εἰς τρόπους φαντασιῶν, ἐξηλλαγμένης πάντῃ τῆς ἀνθρωπίνης συνηθείας.

Ἐπειδὴ δὲ καὶ ἢ τὸ ἐναντίον δεκτικόν ἐστι τοῦ ἐναντίου κατὰ μεταβολὴν καὶ ἔκστασιν ἀφ' ἑαυτοῦ, ἢ τὸ συγγενὲς καὶ οἰκεῖον δι' ὁμοιότητα, διὰ ταῦτα δὴ εἰκότως τοτὲ μὲν σκότος συνεργὸν λαμβάνουσιν οἱ φωταγωγοῦντες, τοτὲ δὲ ἡλίου φῶς ἢ σελήνης ἢ ὅλως τὴν ὑπαίθριον αὐγὴν συλλαμβανόμενα ἔχουσι πρὸς τὴν ἔλλαμψιν.

Ἐνίοτε δὲ καὶ καταστάσεσί τινων χρῶνται, ὅσα οἰκεῖα τοῖς θεοῖς ὑπάρχει τοῖς μέλλουσιν ἐπιφέρεσθαι, ἢ καὶ ἐπῳδαῖς ἢ συστάσεσι καὶ αὐταῖς οἰκείως παρεσκευασμέναις

4. γιγνομένοις] sic A, γιγνουμένοις D, γενομένοις O. 5. οὐκ om. A. 7. ἐξηλλαμένης A. 9. ἐπειδὴ] ἐπεὶ AD. 12. τοτὲ μὲν et τοτὲ δὲ] sic D, τό τε μὲν et τό τε δὲ O. || λαμβάνουσιν οἱ φωταγωγοῦντες om. et add. in marg. pr. m. D. 13. 14. αὐγὴν] αὐτὴν O. 17. οἰκείαις CD.

animae adsunt vel cum lumen aliquod praevium in animam emittunt; sed utroque modo separabilis permanet tum praesentia deorum tum irradiatio. nam attentio quidem animi et cogitatio animadvertit quae fiunt, nam ad has rationis facultates divina lux non pertingit; sed numine afflatur phantasia, eo quod non a se ipsa sed a diis evehatur in modos phantasiarum, commutata prorsus humana consuetudine.

Quandoquidem vero omne contrarium post mutationem factam et sui inanitionem susceptibile est contrarii sui, et simile potest recipere simile, ideo congruenter illuminati tum tenebras in auxilium adsciscunt, tum etiam solem lunam et ut verbo dicam universum aetheris fulgorem ad illustrationem mutuantur.

Aliquando vero adhibent quaedam diis insinuandis accommoda, ut carmina et incantationes convenientes ad praeparandum spectaculum praesentiae et epiphaniae deorum. aliquando mediante aqua

εἴς τε τὴν κατασκευὴν τῆς ὑποδοχῆς καὶ τὴν παρουσίαν τῶν θεῶν καὶ ἐπιφάνειαν. ἐνίοτε δ' αὖ καὶ δι' ὕδατος ἄγουσι τὸ φῶς, ἐπειδὴ διαφανὲς ὂν τοῦτο εὐφυῶς διάκειται πρὸς ὑποδοχὴν τοῦ φωτός. ἄλλοτε δ' εἰς τοῖχον αὐτὸ ποιοῦσιν ἐπιλάμπειν, ταῖς ἱεραῖς τῶν χαρακτήρων καταγραφαῖς προευτρεπίζοντες ἕδραν ἀρίστως εἰς τὸν τοῖχον τῷ φωτί, καὶ ἅμα ἀποστηρίζοντες αὐτὸ ἐνταῦθα ἔν τινι στερεῷ χωρίῳ, ὥστε μὴ ἐπὶ πολὺ διαχεῖσθαι.

Γένοιντο δ' ἂν καὶ ἄλλοι πλείονες τρόποι τῆς τοῦ φωτὸς ἀγωγῆς· ἀλλ' ὅμως εἰς ἓν ἀνάγονται πάντες, εἰς τὴν τῆς αὐγῆς ἔλλαμψιν, ὅπουπερ ἂν καὶ δι' οἵων ὀργάνων ἐπιλάμπωσιν. ἐπειδὴ τοίνυν ἔξωθέν τέ ἐστιν αὕτη καὶ μόνη τῇ βουλήσει καὶ νοήσει τῶν θεῶν ὑπηρετοῦντα κέκτηται τὰ πάντα, τὸ δὲ μέγιστον φῶς ἔχει ἱερὸν καταυγάζον, τὸ μὲν ἄνωθεν ἀπὸ τοῦ αἰθέρος τὸ δὲ ἐξ ἀέρος ἢ σελήνης ἢ καὶ ἡλίου καταλάμπον ἢ ἄλλης τινὸς οὐρανίας σφαίρας, φαίνεται ἐκ πάντων τούτων αὐτεξούσιος καὶ πρωτουργὸς καὶ τῶν θεῶν ἐπάξιος ὁ τοιοῦτος τρόπος τῆς μαντείας.

2. *θεῶν*] *θεῶν τε* D. 4. *εἰς*] *εἰ* ABCD. 6. *τεῖχον* AC. 11. *αὐγῆς*] *αὐτῆς* O. 14. 15. *καταυγάζειν* AC. 15. *ἀπὸ*] sic AD, *ὑπὸ* O. 16. 17. *οὐρανίου* O. 18. *τρόπος*] *ὃν τρόπον* A, *ὃν τρόπον* BD, *ὧν τρόπος* Gale not.

lucem deducunt, quippe quod aqua peridonea sit ad lucem suscipiendam, eo quod transparens sit. alias eam in parietem dirigunt, sacris ad hoc characteribus praeparatum, ut sit idonea lucis sedes, certoque in loco quasi circumscribunt, ne in latius spatium dissipetur.

Possent et alii plures modi illuminationis adferri, sed ad unum revocari possunt, videlicet ad splendoris irradiationem, ubicunque tandem aut per qualiacunque organa dii eam voluerint emittere. quatenus igitur haec illuminatio extrinsecus venit nihilque habet in se quod non servum sit voluntatis et intellectus divini, et quod maximum est lucem habet sacram illuminantem, vel sursum ab aethere vel ab aëre et luna et sole vel ab alia sphaera caelesti, satis constat ex his omnibus quod hic modus vaticinii liberrimus sit primo movens et diis dignissimus.

Φέρε δὴ οὖν ἐπὶ τὸν διὰ τέχνης ἀνθρωπίνης ἐπιτελούμενον τρόπον μετέλθωμεν, ὅστις στοχασμοῦ καὶ οἰήσεως πλείονος εἴληφε· λέγεις δὲ καὶ περὶ τούτου τοιαῦτα· οἵδε ἤδη καὶ διὰ σπλάγχνων καὶ δι' ὀρνίθων καὶ δι' ἀστέρων τέχνην συνεστήσαντο τῆς θήρας τοῦ μέλλοντος. εἰσὶ μὲν καὶ ἄλλαι πλείονες τέχναι τοιαῦται, πλὴν ἀλλὰ καὶ αὗταί γε ἀποχρῶσιν ἐνδείξασθαι πᾶν τὸ τεχνικὸν εἶδος τῆς μαντικῆς. ὡς μὲν οὖν τὸ ὅλον εἰπεῖν, σημείοις τισὶ τοῦτο θείοις χρῆται ἐκ θεῶν ἐπιτελουμένοις κατὰ ποικίλους τρόπους. ἀπὸ δὲ τῶν θείων τεκμηρίων κατὰ τὴν συγγένειαν τῶν πραγμάτων πρὸς τὰ δεικνύμενα σημεῖα συμβάλλει πως ἡ τέχνη, καὶ στοχάζεται τῆς μαντείας ἐξ εἰκότων τινῶν αὐτὴν συλλογιζομένη. τὰ μὲν οὖν σημεῖα οἱ θεοὶ ποιοῦσι διὰ τῆς φύσεως τῆς δουλευούσης αὐτοῖς πρὸς τὴν γένεσιν, τῆς τε κοινῆς καὶ τῆς ἰδίας ἑκάστων, ἢ διὰ τῶν γενεσιουργῶν δαιμόνων οἵτινες τοῖς στοιχείοις τοῦ παντὸς καὶ τοῖς μερικοῖς σώμασι, ζώοις τε καὶ τοῖς ἐν τῷ κόσμῳ πᾶσιν ἐπιβεβηκότες ἄγουσι τὰ φαινόμενα 15

2. *μετέλθωμεν*] sic ACD, *μετερχόμενος* O. 6. *τοιαῦτα* D. 7. *αὗταί γε*] *αὐτάς γε* B. 9. *τούτῳ* BD, *τούτῳ* C. 12. *τὴν μαντείαν* ACD et Gale not. 14. *αὐτοῖς*] sic A, *αὐτῆς* O. 18. *ἐπιβεβηκότος* B.

Age iam transeamus ad illud genus manticae quod arte humana constat plurimumque coniecturae habet et opinionis. de hoc igitur sic disseris „alii porro artem ad futurorum cognitionem aucupandam per extispicia et auguria et astrologiam condidere.“ sunt sane et aliae plures huiusmodi artes, sed hae sufficiunt ad ostendendum omnes vaticinii species ab arte profectas. ut igitur in universum dicam, ars haec utitur signis quibusdam divinis quae ab ipsis diis variis modis perficiuntur. ex his divinis ostentis humana sagacitas per rerum et signorum convenientiam coniectat utcunque, et vaticinationem colligit probabili ratiocinio. dii igitur signa ostendunt per naturam tum genericam tum specificam, quae iis in generatione subservit, vel per daemonas generationi praefectos qui praesidentes universi elementis tum corporibus particularibus animalibusque et ceteris in toto universo, omnia quae fiunt cum facilitate ad deorum 15

μετὰ ῥᾳστώνης ὅπηπερ ἂν δοκῇ τοῖς θεοῖς. συμβολικῶς δὲ τὴν γνώμην τοῦ θεοῦ ἐμφαίνουσι, καὶ τὴν τοῦ μέλλοντος προδήλωσιν καθ' Ἡράκλειτον οὔτε λέγοντες οὔτε κρύπτοντες ἀλλὰ σημαίνοντες, ἐπειδὴ τῆς δημιουργίας τὸν τρόπον ἀποτυποῦσι διὰ τῆς προδηλώσεως. καθάπερ οὖν δι' εἰκόνων γεννῶσι πάντα, καὶ σημαίνουσιν ὡσαύτως διὰ συνθημάτων· ἴσως δὲ καὶ τὴν ἡμετέραν σύνεσιν ἀπὸ τῆς αὐτῆς ἀφορμῆς εἰς ὀξύτητα πλείονα ἀνακινοῦσι.

16 *Ταυτὶ μὲν οὖν κοινῶς ἡμῖν περὶ τῆς ὅλης ἀνθρωπίνης τοιαύτης τέχνης διωρίσθω· κατ' ἰδίαν δὲ τὰ μὲν σπλάγχνα ἥ τε ψυχὴ τῶν ζώων καὶ ὁ ἐφεστηκὼς αὐτοῖς δαίμων καὶ ὁ ἀὴρ ἥ τε κίνησις τοῦ ἀέρος καὶ ἡ τοῦ περιέχοντος περιφορὰ μεταβάλλει ποικίλως ὅπηπερ ἂν ἀρέσκῃ τοῖς θεοῖς. σημεῖον δὲ τὸ πολλάκις εὑρίσκεσθαι αὐτὰ ἀκάρδια ἢ ἄλλως ἄμοιρα τῶν κυριωτάτων μερῶν, ὧν ἀπεστερημένα οὐχ οἷά τε ἦν ὅλως τοῖς ζώοις παρέχειν τὸ ζῆν. τοὺς δὲ ὄρνιθας κινεῖ μὲν καὶ ἡ τῆς ἰδίας ψυχῆς ὁρμή,*

1. *μετὰ*] sic ACD, *μετὰ τῆς* O, om. B. 2. *ἐμφαίνουσι, καὶ τὴν τοῦ* om. O. 3. *καθ' Ἡράκλειτον*] Schleiermacher pag. 333. 5. *διὰ*] *καὶ διὰ* ACD. 6. *εἰκόνων*] *εἰδῶν* Tayl. ‖ *προσημαίνουσιν* Gale not. ‖ *διὰ*] *καὶ διὰ* ABCD. 7. *σύνεσιν*] sic Gale not.; *σύνθεσιν* O. 11. *ἐφεστικὼς* D.

obsequium perficiunt. symbolice vero voluntatem dei significant et futurorum notitiam, ut inquit Heraclitus „nec loquentes nec celantes sed significantes", quoniam rerum agendarum rationem quasi praefigurant per hanc praeviam manifestationem. et quemadmodum dii per ideas omnia generant, itidem per synthemata haec omnia significant; immo sagacitatem nostram hac occasione acutiorem reddunt.

16 Haec igitur a nobis in genere de universa hac humana arte vaticinandi definita sunto; particularius autem exta animalium varie permutant ad deorum voluntatem tum ipsa eorum anima tum daemon iis praefectus tum aër tum caeli circuitus. hoc ita esse signum illud est, quod saepe exta sine corde aut sine aliis partibus principalibus deprehendantur, sine quibus non possent vitam animalibus praebere. aves itidem permoventur tum a suae animae impetu tum a praeside

κινεῖ δὲ καὶ ὁ τῶν ζώων ἔφορος δαίμων, ἤδη δὲ καὶ ἡ τοῦ ἀέρος τροπὴ καὶ ἡ καθήκουσα ἀπὸ τοῦ οὐρανοῦ δύναμις εἰς τὸν ἀέρα· πάντα συμφωνοῦντα τοῖς βουλήμασι τῶν θεῶν ἄγει αὐτὰς ὁμολογουμένως οἷς οἱ θεοὶ καταρχὰς ἐπιτάττουσι. σημεῖον δὲ καὶ τούτου μέγιστον· οὐ γὰρ τῶν κατὰ φύσιν τινὶ προσέοικε πράγματι τὸ ἀπορρήσσειν τοὺς ὄρνιθας αὐτοὺς ἑαυτοὺς καὶ ἀναιρεῖν πολλάκις· ἀλλ' ὑπερφυὲς δὴ τὸ ἔργον ἐστὶ τοῦτο, ὡς ἑτέρου τινὸς ὄντος τοῦ διὰ τῶν ὀρνίθων ταῦτα ἀπεργαζομένου.

Ἀλλὰ μὴν αἵ γε τῶν ἄστρων φοραὶ πλησιάζουσι μὲν ταῖς κατ' οὐρανὸν ἀιδίοις περιφοραῖς, οὐ τόπῳ μόνον ἀλλὰ καὶ ταῖς δυνάμεσι καὶ ταῖς τοῦ φωτὸς διαδρομαῖς· κινοῦνται δὲ ὅπηπερ ἂν οἱ κατ' οὐρανὸν θεοὶ κελεύωσι. τὸ γὰρ εὐαγέστατον καὶ ἄκρον τοῦ ἀέρος ἐπιτηδείως ἔχον ἐξάπτεσθαι εἰς πῦρ, ἅμα τε ἐπινεύουσιν οἱ θεοὶ καὶ εὐθὺς ἀνακαίεται. ἐὰν δέ τις καὶ νομίζῃ τῶν οὐρανίων τινὰς ἀπορροίας ἐνδίδοσθαι εἰς τὸν ἀέρα, καὶ οὗτος οὐκ ἀλλότρια δοξάσει τῶν δρωμένων ἐν τῇ θείᾳ τέχνῃ πολλάκις.

1. *δὲ καὶ*] sic ACD, *δὲ* O. 6. *ἀπορρήσσειν*] sic Gale not., *ἀπορίσσειν* D, *ἀπορήσσειν* O. 7. *τοὺς*] *τὰς* A. 8. *δὴ*] *δή τι* ACD. 10. *φωναὶ πλησιάζουσαι* B. 15. *ἐξάπτεσθαι*] *ἐξάπτεται* Gale not. 16. *τις*] *τι* CD. ‖ *νομίζῃ*] sic Velsenius, *νομίζη* ACD, *νομίζει* O. 17. *ἀποῤῥίας* D.

omnibus animalibus daemone tum ab aëre tum ab influentiis caeli; quae omnia conspirant cum deorum voluntate, easque agunt congruenter ad id quod ab initio dii praeceperunt. huius rei illud indicium est maximum, quod saepe videamus aves, quod nullius rei natura patitur, se ipsas affligere in terram et interimere; ut necesse sit concedere, hoc aliud quid esse, quod ista per aves operatur.

Porro astrorum cursus vicini sunt aeternis caeli motibus, non tantum loco sed et qualitatibus et lucis radiationibus; unde nimirum ad deorum nutum et ipsi concitantur. nam aëris pars suprema et liquidissima cum apta sit ignem attingere, statim conflagrat quoties dii iusserint. quod si quis ita existimaverit quasdam e caelestibus in aërem emitti influentias, sane non aliena ab iis quae solent evenire in arte sacra existimabit. accedit quod unio et sympathia uni-

καὶ ἡ ἕνωσις δὲ καὶ ἡ συμπάθεια τοῦ παντὸς καὶ ἡ ὡς ἐφ' ἑνὸς ζώου συγκίνησις τῶν πορρωτάτω μερῶν ὡς ἐγγὺς ὄντων, τὴν τῶν σημείων τούτων πομπὴν ἐκ θεῶν ἀνθρώποις καταπέμπει, διὰ τοῦ οὐρανοῦ μὲν πρώτως ἔπειτα διὰ τοῦ ἀέρος ἐκφαινομένην τοῖς ἀνθρώποις ὡς οἷόν τε μάλιστα λαμπρότατα.

Δῆλον δὴ οὖν διὰ πάντων τῶν εἰρημένων καὶ τοῦτο γέγονεν, ὡς ὀργάνοις μέσοις πολλοῖς οἱ θεοὶ χρώμενοι τὰ σημεῖα τοῖς ἀνθρώποις ἐπιπέμπουσι, δαιμόνων τε ὑπηρεσίαις καὶ ψυχῶν καὶ τῆς φύσεως ὅλης χρώμενοι, πᾶσί τε τοῖς περὶ τὸν κόσμον ἐκείνοις ἀκολουθοῦσι κατὰ μίαν ἀρχὴν ἐξηγούμενοι καὶ ἀνιέντες τὴν ἀπ' αὐτῶν κατιοῦσαν κίνησιν, ὅπηπερ ἂν ἐθέλωσιν. αὐτοὶ δὴ οὖν χωριστοὶ πάντων καὶ ἀπολελυμένοι τῆς σχέσεως καὶ συντάξεως τῆς πρὸς τὴν γένεσιν ἄγουσι πάντα ἐν τῇ γενέσει καὶ φύσει κατὰ τὴν οἰκείαν βούλησιν. ἥκει δὴ οὖν εἰς ταὐτὸ τῷ τῆς δημιουργίας καὶ προνοίας τῶν θεῶν λόγῳ καὶ ὁ περὶ τῆς μαντικῆς ἀπολογισμός. οὐ γὰρ καθέλκει οὐδὲ οὗτος

4—5. καταπέμπει—ἀνθρώποις om. O. 5. ἐκφαινομένου D. 9. 10. ὑπηρεσίαις] sic AC, ὑπερησίας O. 10. ὅλοις D. 12. ἐξητούμενοι BCD. || ἀπ'] ἐπ' D. 14. τῆς] τοῖς O.

versi et quasi unius cuiusvis animalis concordia in membris etiam longe distantibus, ac si prope essent, istam signorum emissionem a diis ad homines demittit, primum quidem per caelum, deinde per aërem hominibus quam manifestissime apparentem.

Quod igitur dii utentes multis rebus tamquam organis signa hominibus indicant, ex omnibus quae diximus manifestum est. utuntur autem ministerio tum angelorum tum animarum tum totius naturae et omnium in mundo his obtemperantium, ipsi exordientes tamquam principium primum, et a se ad alia ubi volunt motum descendentem traiicientes. ipsi abstracti sunt ab omnibus, ipsi soluti ab omni relatione et compositione quae in generatione versantur, ducunt omnia in generatione et natura iuxta placitum suum. quare pulchre consentit haec vaticinii ratio cum opificio et providentia deorum. nec enim deorum praestantissimam mentem ad res

ἐπὶ τὰ τῇδε καὶ πρὸς ἡμᾶς τὸν τῶν κρειττόνων νοῦν, μένοντος δὲ αὐτοῦ ἐν αὑτῷ τά τε σημεῖα καὶ τὴν μαντείαν ὅλην πρὸς αὐτὸν ἐπιστρέφει καὶ ἀπ' αὐτοῦ προϊόντα αὐτὰ ἀνευρίσκει.

Ζητεῖς δὲ τὸ λοιπὸν περὶ τοῦ τρόπου τῆς μαντείας 17
τίς τέ ἐστι καὶ ὁποῖος, ὃν ἤδη μὲν ἡμεῖς κοινῇ τε καὶ κατ' ἰδίαν ἐξηγησάμεθα. σὺ δὲ πρῶτον μὲν ἀποφαίνῃ γνώμην τῶν μάντεων, ὡς πάντες διὰ θεῶν ἢ δαιμόνων φασὶ τοῦ μέλλοντος τυγχάνειν τῆς προγνώσεως, οὐδὲ οἷόν τε ἄλλους εἰδέναι αὐτὸ ἢ μόνον τοὺς τῶν ἐσομένων κυρίους. ἔπειτα ἀπορεῖς εἰ ἄχρι τοσούτου κατάγεται εἰς ὑπηρεσίαν ἀνθρώπων τὸ θεῖον, ὡς μὴ ὀκνεῖν τινὰς καὶ ἀλφιτομάντεις εἶναι. τὸ δὲ οὐ καλῶς ὑπολαμβάνεις, τὴν περιουσίαν τῆς δυνάμεως τῶν θεῶν καὶ τὴν ὑπερβάλλουσαν ἀγαθότητα καὶ τὴν πάντα περιέχουσαν αἰτίαν κηδεμονίαν τε ἡμῶν καὶ προστασίαν, ὑπηρεσίαν ἐπονομάζων. καὶ ἔτι ἀγνοεῖς τὸν τρόπον τῆς ἐνεργείας, ὥστε οὐ καθέλκεται οὔτε ἐπιστρέφεται οὗτος εἰς ἡμᾶς, χωριστὸς δὲ

1. κριττόνων D. 3. ἐπιφέρει (corr. pr. man. ἐπιστρέφει) D. 5. τὸ] sic AC, om. O. 10. μόνους CD Reg. || τοὺς om. O. 12. ὑπερσίαν D. 15. 16. κηδαιμονίαν C. 18. χωριστὼς D.

inferiores et nostras pertrahit, sed manente in dignitate sua divina mente, haec nostra hypothesis ad eam revocat tum signa tum manticen totam, et ab ea haec utraque descendere deprehendit.

Quaeris deinceps de modo vaticinii quis sit et qualis, quem 17
nos iamiam tum in genere tum etiam speciatim explicuimus. et primum ostendis sententiam omnium vatum aientium se nancisci futurorum cognitionem per deos et daemonas, nec posse alios futura cognoscere nisi solos futurorum dominos· deinde subdubitas an eo usque summittat se divinitas ad humana servitia, ut velit etiam ex farina vates efficere. ceterum non tu recte quidem facis, cum voces servitium id quod dii faciunt ex potestatis suae plenitudine ex bonitatis exuberantia ex cura nostri et providentia ex causalitate omnia complectente. quid quod ignorare videris modum operationis divinae; nec enim ad nos deus quasi detrahitur aut convertitur, sed praeest separatus, itaque communicat participantibus se ipse, tamen

προηγεῖται καὶ δίδωσι μὲν τοῖς μετέχουσιν ἑαυτόν, αὐτὸς δὲ οὔτε ἐξίσταται ἀφ' ἑαυτοῦ οὔτε ἐλάττων γίνεται οὔθ' ὑπηρετεῖ τοῖς μετέχουσιν, ἀλλὰ τοὐναντίον πᾶσιν ὑπηρετοῦσι προσχρῆται.

Δοκεῖ δέ μοι καὶ ἄλλο διαμαρτάνειν ἡ παροῦσα ἐπίστασις· ὡς γὰρ ἐπ' ἀνθρώπων ὑποθεμένη τῶν θεῶν τὰ ἔργα, οὕτω διαμφισβητεῖ περὶ αὐτῶν πῶς γίνεται. διότι γὰρ ἡμεῖς ἐπιστρεφόμενοι καὶ τοῖς πάθεσιν ἐνίοτε προσκείμενοι τοῖς διοικουμένοις ἐπιμελούμεθα αὐτῶν, διὰ τοῦτο κακῶς εἰκάζει καὶ τὴν τῶν θεῶν δύναμιν ὑπηρετικὴν εἶναι τοῖς ὑπ' αὐτῶν κατευθυνομένοις· ἡ δ' οὔτε ἐν τῇ ποιήσει τῶν κόσμων οὔτε ἐν τῇ προνοίᾳ τῆς γενέσεως οὔτε ἐν τῇ περὶ αὐτῆς μαντείᾳ καθέλκεταί ποτε εἰς τὰ μετέχοντα, ἀλλὰ μεταδίδωσι μὲν πᾶσι τῶν ἀγαθῶν καὶ παραπλήσια πρὸς ἑαυτὴν τὰ ὅλα ἀπεργάζεται, ὠφελεῖ τε τὰ διοικούμενα ἀφθόνως, μένει δὲ ὡς πολὺ μᾶλλον ἐφ' ἑαυτῆς τοσούτῳ μᾶλλον τῆς οἰκείας τελειότητος πεπλήρωται. καὶ αὕτη μὲν οὐ γίνεται τῶν μετεχόντων, τὰ δὲ μεταλαμβάνοντα ἴδια ἑαυτῆς ἀπεργάζεται καὶ σώζει μὲν αὐτὰ παντελῶς,

9. *ἐπιτελούμεθα* C. 10. *εἰκάζει*] sic BCD, *εἰκάζειν* A, *εἰκάζεις* O. 12. *τῆς* om. AC. 13. *καθέλκηταί* A, *καθέλιταί* D. 16. *ἀφθόρως* B. || *ὡς*] sic A, om. O. 19. *αὐτὸ* B.

nec excedit e se ipso, nec minor fit, nec servit iis qui eum capiunt, sed vice versa ipse gubernat et tamquam servis utitur omnibus.

Sed et aliter videtur mihi peccare haec velitatio; operationes enim divinas metitur ad modum humanum, deinde dubitat de iis qui fieri possint. quoniam enim nos rerum curam agimus non nisi ad eas conversi et affectibus affixi iis negotiis quae administramus; ea propter haec opinio male coniectat etiam et deorum potentiam ita servire iis rebus quas procurat: quae sane ad ea quae sui participant nunquam sic trahitur nec in mundorum creatione nec in providentia rerum factarum nec in vaticinio circa eas, sed contra omnibus ultro bona impertit omnia ad sui similitudinem format omnia sine invidia administrata adiuvat, et quanto magis manet apud se tanto magis propria adimpletur bonitate. nec ipsa ita se dat participantibus ut eorum fiat mancipium, sed participantia de se sibi pro-

μένει δὲ ἐν ἑαυτῇ τελεία καὶ συλλαμβάνει μὲν αὐτὰ ἅμα ἐν ἑαυτῇ, ὑπ' οὐδενός γε μὴν ἐκείνων οὔτε κρατεῖται οὔτε περιέχεται.

Μάτην οὖν ἡ τοιαύτη ὑπόνοια παρενοχλεῖ τοῖς ἀνθρώποις. οὐδὲ γὰρ μερίζεται ὁ θεὸς παρὰ τοὺς διῃρημένους τρόπους τῆς μαντείας, ἀλλ' ἀμερίστως ἅπαντας κατεργάζεται· οὐδὲ κατὰ χρόνον διῃρημένως ἄλλοτε ἄλλους ἐπιτελεῖ, ἀλλὰ ἀθρόως καὶ ἅμα δημιουργεῖ πάντας κατὰ μίαν ἐπιβολήν· οὐδὲ περὶ τὰ σημεῖα κατέχεται περιειλημμένος ἐν αὐτοῖς ἢ διωρισμένος, ἀλλ' ἐν ἑαυτῷ καὶ τὰ σημεῖα συνέχει, συνείληφέ τε αὐτὰ ἐν ἑνὶ καὶ προάγει κατὰ μίαν βούλησιν ἀφ' ἑαυτοῦ.

Εἰ δὲ καὶ ἄχρι τῶν ἀψύχων οἷον ψηφιδίων ἢ ῥάβδων ἢ ξύλων τινῶν ἢ λίθων ἢ πυρῶν ἢ ἀλφίτων διήκει τῇ προδηλώσει, αὐτὸ τοῦτο καὶ τὸ θαυμασιώτατόν ἐστι τῆς θείας μαντικῆς προσημασίας, διότι καὶ τοῖς ἀψύχοις ψυχὴν καὶ τοῖς ἀκινήτοις κίνησιν ἐνδίδωσι, ποιεῖ τε πάντα

1. αὐτὰ] ἑαυτὰ D. 2. γε om. D. 4. μάτην] μάντην A. || ὑπόνεια D. 5. οὐδὲ] sic D, οὔτε O. 6. 7. ἀπεργάζεται AD. 9. ἐπιβουλὴν D. 10. διωρισμένος scripsi, διορισμένος AD, διωρισμένως O. 10. 11. τὰ σημεῖα] sic ACD, τάσσει μίᾳ B, τάξει μίᾳ O. 13. ψηφίδων A. 17. τοῖς] om. O.

pria reddit eaque integre servat, perstat apud se perfecte, eaque omnia in se comprehendit, ab eorum nullo tenetur aut comprehenditur.

Itaque frustra huiusmodi suspicio turbat homines. neque enim deus distrahitur pro variis vaticinii quos assignavimus modis, sed indistractus omnes efficit: nec temporibus diversis alios atque alios suppeditat, sed uno nutu semel et simul omnes suggerit; neque in ostentis continetur distrahiturve, sed ista ostenta in se ipso continet et in una forma complectitur, et ex se producit omnia uno voluntatis actu.

Quod autem ad signa nobis ostendenda descendat etiam ad inanimata, puta ad calculos virgas ligna quaedam, lapides frumentum farinam, est hoc quidem in divina vaticinii praesignificatione quod maxime miremur, quoniam nostri gratia inanimatis animam, motum immobilibus largiatur, faciatque omnia perspicua et cognoscibilia et

σαφῆ καὶ γνώριμα καὶ λόγου μετέχοντα καὶ ἀφωρισμένα τοῖς τῆς νοήσεως μέτροις, καίτοι μηδένα λόγον ἔχοντα ἀφ' ἑαυτῶν. καὶ ἄλλο δή τί μοι δοκεῖ δαιμόνιόν τι θαῦμα, ὃ θεὸς ἐν τούτοις διασημαίνει. ὥσπερ γὰρ ἐνίοτε τῶν εὐηθικῶν τινὰ ἀνθρώπων ποιεῖ σοφίας μετὰ λόγου ἀποφθέγγεσθαι, δι' οὗ πᾶσι κατάδηλον γίνεται, ὡς οὐκ ἀνθρώπινόν τι, θεῖον δὲ τὸ ἔργον ἐστὶ τὸ γεγονός, οὕτω διὰ τῶν ἀπεστερημένων γνώσεως τὰ πάσης γνώσεως προέχοντα νοήματα ἀποκαλύπτει· κἀκεῖνο ἅμα ἀναφαίνει τοῖς ἀνθρώποις ὡς πίστεως ἄξια ὑπάρχει τὰ δεικνύμενα σημεῖα, καὶ ὅτι κρείττων ἐστὶ τῆς φύσεως καὶ ἐξῃρημένος ἀπ' αὐτῆς ὁ θεός· οὕτω τὰ ἐν τῇ φύσει ἄγνωστα γνωστὰ ποιεῖ καὶ τὰ μὴ γινώσκοντα γινώσκοντα, ἡμῖν τε δι' αὐτῶν ἐντίθησι φρόνησιν, καὶ δι' ὅλων τῶν ὄντων ἐν τῷ κόσμῳ κινεῖ τὸν νοῦν ἡμῶν ἐπὶ τὴν ἀλήθειαν, τῶν τε ὄντων καὶ γεγονότων καὶ ἐσομένων.

Οἶμαι δὴ οὖν καὶ ἀπὸ τούτων τὸν τρόπον τῆς μαντικῆς γεγονέναι καταφανῆ παντελῶς ὑπεναντίον ὄντα οἷς

1. ἀφορισμένα D. 4. ὃ] ὁ A. 5. μετὰ σοφίας O. 7. ἀνθρώπειον ACD. 8. οὑτωσὶ ACD. || ἀποστερημένων A. 11. κρείττονα ABCD. 13. γνωστὰ om. et pon. in marg. pr. m. D. 16. γεγονότων] sic AC, γενομένων O.

rationis quasi capacia, et intelligentiae in cancellis ponat quae omnis per se rationis sint expertia. sed et aliud mihi videtur ingens sane miraculum, quod deus in his ostendit. nam ut deus saepe fatuum aliquem hominem facit sapienter edere verba, per quod interim omnibus manifestum, non id hominis sed dei esse opus, sic per ea quae cognitione carent patefacit quaedam omni cognitione superiora: simul et illud declarat hominibus, signa istiusmodi omni fide digna esse, et quod deus praestantior sit naturae effectis, et quod ipse ab ea in operando non dependeat. adeo ea quae naturaliter incognita sunt nota, et quae non intelligunt intelligentia facit, prudentiamque nobis per ea suggerit, et per omnia quae sunt in mundo nostram mentem excitat ad veritatem cognoscendam eorum quae sunt quae fuerunt et quae ventura sunt.

Atque per haec opinor modum vaticinii alium omnino esse ac credebas et suspicabaris tu satis manifestum est. est enim princi-

ὑφορᾶς σὺ καὶ ὑποπτεύεις. ἡγεμονικὸς γάρ ἐστι καὶ πρωτουργὸς αὐτεξούσιός τε καὶ ὑπερέχων συνειληφώς τε ἐν ταὐτῷ τὰ ὅλα ἀλλ' οὐκ αὐτὸς περιεχόμενος ὑπό τινων οὐδὲ διειργόμενος ὑπὸ τῶν μεταλαμβανόντων, ἀλλ' αὐτὸς ἀθρόως καὶ ἀδιορίστως πᾶσιν ἐπιβεβηκὼς καὶ ἐνεξουσιάζων, ἀδιορίστῳ δὲ δυνάμει ἐπικρατῶν τὰ ὅλα καὶ διασημαίνων ἀθρόως. ἀφ' ὧν δὴ διαλύσεις ῥᾳδίως τὰς ἰδιωτικὰς ταύτας καὶ παρενοχλούσας τοῖς πολλοῖς ἀνθρώποις ἀπορίας, ἐπὶ δὲ τὴν νοερὰν καὶ θείαν καὶ ἄψευστον ἀπὸ πάντων προσημασίαν τῶν θεῶν ἑαυτὸν ἐπανάξεις δεόντως.

Ὅτι μὲν οὖν οὐ κατάγεται τὸ θεῖον εἰς τὰ σημεῖα τῆς μαντικῆς διὰ τούτων ἠγωνισάμεθα· δέχεται δ' ἡμᾶς 18
ἀγὼν ἐξ ἀγῶνος ἕτερος, οὐκ ἐλάττων τοῦ ἤδη προανυσθέντος, ὃν ἐπάγεις εὐθὺς περὶ τῶν αἰτίων τῆς μαντικῆς, εἰ θεὸς ἢ ἄγγελος ἢ δαίμων ἢ ὁστισοῦν πάρεστι ταῖς ἐπιφανείαις ἢ μαντείαις ἢ ταῖς ὁποιαισοῦν ἱεραῖς ἐνεργείαις; πρὸς δὴ τοῦτο ἁπλοῦς ἐστιν ὁ παρ' ἡμῖν λόγος,

1. ὑφορᾶς] sic Gale not., ὑφορᾶ ACD, ἐφορᾶ B, ἐφορᾶς O. 1. 2. προτουργὸς D. 4. διεργόμενος D. 6. ἀδιορίστως AC. 7. δὴ om. D. 9. ἀπορίαν B. || δὲ] δὴ A. || ἄψαστον D. 10. δέοντων C. 11. οὖν] sic ACD, om. O. 12. τούτων] sic AC, τοῦτο O. 17. ἡμῶν ACD.

palis et primomovens liber et eximius in se complectens omnia a nullo interim ipse comprehensus nec ab ipsis participantibus coërcitus, simul et indivisim omnibus praesidet et imperat, potestate illimitata tenet omnia et simul praedicit. per haec igitur facile dissolves dubitationes istas vulgares quae pluribus hominibus negotium facessunt, et prout oportet reduces te ipsum ad intellectualem divinam infallibilem in omnibus praedictionem deorum.

Quod igitur divinitas non deducitur in signa vaticinatoria per hoc evicimus; sed excipit nos aliud ex alio certamen, nec levius est 18
eo quod iam conficimus, quod a te statim adiicitur de causis vaticinii: an deus an angelus an daemon aut quilibet meliorum naturarum adsit in epiphaniis et vaticiniis et aliis quibuscunque sacris operationibus? ad hoc igitur una est apud nos responsio, quod

ὡς οὐχ οἷόν τέ τι τῶν θείων ἔργων δρᾶσθαι ἱεροπρεπῶς ἄνευ τοῦ παρεῖναί τινα τῶν κρειττόνων ἔφορον καὶ ἀποπληρωτὴν τῆς ἱερᾶς ἐνεργείας. ἀλλ' ὅπου μὲν τέλεια τὰ κατορθώματά ἐστι καὶ αὐτάρκη καὶ ἀνενδεῆ, θεοὶ τούτων εἰσὶν ἡγεμόνες, ὅπου δὲ μέσα καὶ βραχύ τι τῶν ἄκρων ἀπολειπόμενα ἀγγέλους ἔχει τοὺς ἐπιτελοῦντας αὐτὰ καὶ ἐπιδεικνύοντας, τὰ δ' ἔσχατα δαίμοσι διαπράττεσθαι ἀπονενέμηται· πάντα γε μὴν ἑνί γέ τινι τῶν κρειττόνων ἐπιτέτραπται τῶν θεοπρεπῶν πράξεων ἡ κατόρθωσις· ἐπεὶ οὐδὲ λόγον περὶ θεῶν ἄνευ θεῶν λαλεῖν δυνατόν, μήτοι γε δὴ ἰσόθεα ἔργα καὶ πᾶσαν πρόγνωσιν ἄνευ θεῶν τις ἂν ἐπιτηδεύσειε. τὸ γὰρ ἀνθρώπινον φῦλον ἀσθενές ἐστι καὶ σμικρόν, βλέπει τε ἐπὶ βραχύ, σύμφυτόν τε οὐδένειαν κέκτηται· μία δ' ἐστὶν ἐν αὐτῷ τῆς ἐνυπαρχούσης πλάνης καὶ ταραχῆς καὶ τῆς ἀστάτου μεταβολῆς ἰατρεία, εἴ τινα μετουσίαν θείου φωτὸς κατὰ τὸ δυνατὸν μεταλάβοι· ὁ δὲ ταύτην ἀποκλείων ταὐτὸν ποιεῖ τοῖς ἐξ ἀψύχων ψυχὴν παράγουσιν ἢ τοῖς ἀπὸ τῶν ἀνοήτων νοῦν ἀπογεννῶσι·

1. *τέ τι*] sic Gale not., *τε τὶ* A, *τε* O. 2. *εὔφορον* B. 8. *πάντα*] *πάντῃ* vel *πάντως* Gale not. 10. *λαβεῖν* ACD. || *μήτοι*] *μή τι* C, *μήτε* A. 12. *ἀνθρώπειον* ACD. 13. *οὐδένειαν*] sic ACD, *οὐδὲν* O. 15. *εἴ*] *ἤ* B.

nihil in sacris operibus digne possit praestari nisi adsit aliquis superum spectator operis et consummator. et opera quidem absoluta perfecta et plena deos habent auctores, ubi vero media sunt et ab extremis parum recedunt, angeli ea perficiunt et ostendunt, postremi ordinis opera daemonibus attribuuntur. omnino debita divinorum operum administratio alicui superum permittitur. quoniam autem non possumus vel verbum loqui recte de diis sine diis, multo minus quis rite instituerit opera diis digna et vaticinationem diis non faventibus. nostra enim natura infirma est et imbecillis et parum prospicit, cognatamque habet nullitatem: et unica est ei medela erroris et tumultuationis et instabilis transmutationis, si possit aliquam divini luminis particulam haurire. qui autem secludit divinum lumen in hoc negotio perinde mihi facere videtur ac ii qui velint ex inanimis animam producere, aut mentem ex iis generare quae omni mente

καὶ γὰρ αὐτὸς ἀπὸ τῶν μὴ θείων τὰ θεῖα ἔργα ἀναιτίως ὑφίστησι.

Τὸ μὲν οὖν θεὸν ἢ δαίμονα ἢ ἄγγελον εἶναι τὸν ἀποτελοῦντα τὰ κρείττονα ἔργα συγχωρήσειεν ἄν τις· οὐ μὴν ἔτι γε δίδομεν ὃ σὺ προσέρριψας ὡς ὁμολογούμενον, ὅτι δι' ἡμῶν ἑλκόμενος ἀνάγκαις ταῖς τῆς κλήσεως ταῦτα ἐπιτελεῖ. κρείττων γὰρ ἀνάγκης ἐστὶν ὁ θεὸς καὶ πᾶς ὁ συναπτόμενος αὐτῷ τῶν κρειττόνων χορός, οὐ τῆς ἐξ ἀνθρώπων ἐπαγομένης μόνον, ἀλλὰ καὶ ὅση τὸν κόσμον κατείληφε· διότι δὴ τὴν ἄυλον φύσιν καὶ μηδεμίαν παραδεχομένην ἐπίκτητον τάξιν οὐκ ἔστι δουλεύειν οὐδεμιᾷ ἀλλαχόθεν ἐπεισιούσῃ ἀνάγκῃ. εἶτα μέντοι καὶ ἡ κλῆσις καὶ τὰ δρώμενα ὑπὸ τοῦ ἐπιστήμονος τῇ ἐξομοιώσει καὶ τῇ οἰκειώσει προστρέχει τοῖς κρείττοσιν αὐτὰ καὶ συνάπτεται, ἀλλ' οὐχὶ διὰ βίας ἀπεργάζεται τὴν ἑαυτῶν ἐνέργειαν.

Οὐ τοίνυν, ὡς σὺ νενόμικας, παθόντος τοῦ ἐπιστήμονος θεουργοῦ τὰ γινόμενα ὁρᾶται εἰς τοὺς θεσπίζον-

5. *δίδωμεν* A. || *προσέρριψας*] sic ACD, *προέρριψας* O. 10.11. *παρεχομένην* C. 11. *ἔνεστι* ACD. 12. *ἐπεισιοῦσι* D. 14. *αὐτὰ* A. 17. *ὡς σὺ*] *ὡς καὶ σὺ* AC, *καὶ σὺ* BD.

carent; id enim facit qui ex non divinis divina opera sine ratione producere velit.

Concedet ergo quis aut deum aut angelum aut daemonem divinorum operum esse perfectorem, nec tamen concedimus id quod tu tamquam confessum adiecisti, quod necessitatibus quibusdam attractus per invocationem nostram haec obeat deus. praestantior enim est deus omni necessitate omnisque adeo ab eo pendens superum chorus, nec ab ea tantum necessitate quam homines invehere possint, sed ab omni ea quae mundum occupavit: quoniam natura immaterialis omnisque adventitii ordinis minime capax nulli aliunde supervenienti servire possit necessitati. deinde invocatio quidem et cetera opera sacra ab intelligente sacerdote facta, vi similitudinis et quasi cognationis ad deos ipsa ultro currunt et connectuntur, nec tamen violentia suas operationes conficiunt.

Non igitur, quemadmodum tu existimasti, quae divinantibus eveniunt cum sacerdotis prudentis aliqua passione fiunt, aut vaticinium

τας, οὐδὲ πάθους προηγησαμένου εἰς τὸν χρησμῳδοῦντα
διὰ τῆς ἀνάγκης οὕτως ἐπιτελεῖται ἡ μαντεία, ἀλλότρια
γὰρ ταῦτα τῆς τῶν κρειττόνων οὐσίας καὶ πρὸς ἄλλα
19 ἐνάρμοστα ὑπάρχει· ἀλλ' οὐδὲ ὡς ὄργανόν τι μέσον ἐστὶ
τὸ τῶν κρειττόνων αἴτιον, καὶ δρᾷ διὰ τοῦ θεσπίζοντος
ὁ καλῶν. καὶ γὰρ ταῦτα ἀνόσιον φθέγγεσθαι· πολὺ γὰρ
τοῦδε μᾶλλόν ἐστιν ἀληθὲς ἐκεῖνο ὡς θεὸς μὲν πάντα
ἐστὶ καὶ πάντα δύναται καὶ πάντα πεπλήρωκεν ἑαυτοῦ,
καὶ μόνος οὗτος σπουδῆς ἀξιολόγου καὶ τιμῆς μακαρίας
ἐστὶν ἄξιος· τὸ δὲ ἀνθρώπειον αἰσχρὸν καὶ ἐν οὐδενὸς
μέρει καὶ παίγνιόν ἐστι πρὸς τὸ θεῖον παραβαλλόμενον.
γελῶ δὲ ἔγωγε καὶ τοῦτο ἀκούων, ὡς αὐτόματός τισιν ὁ
θεὸς πάρεστιν ἤτοι διὰ γενέσεως περίοδον ἢ δι' ἄλλας
αἰτίας. οὐ γὰρ ἔτ' ἔσται ἀγέννητον τὸ κρεῖττον, εἰ ἡ
περίοδος αὐτὸ ἄγει τῆς γενέσεως, οὐδὲ πρώτως αἴτιον
τῶν ὅλων, εἰ κατ' ἄλλας αἰτίας καὶ αὐτό τισι συντάττε-
ται. ταῦτα μὲν οὖν ἀνάξια καὶ τῆς περὶ θεῶν ἐννοίας
ὑπάρχει καὶ τῶν ἐν τῇ θεουργίᾳ γιγνομένων ἔργων ἀλ-

1. τὸν] τὸ A. 4. ἐνάρμοστα] sic A, ἀνάρμοστα O. 7. ἐστι δ' ἀληθὲς O. 9. οὗτος additum ex A. || ἀξιολόγου] sic Gale not., ἄξιος λόγος A, ἀξίας λόγος C, ἀξίως λόγου B, ἀξίας λόγου O. 10. δὲ] sic ACD, om. O. || ἰσχρὸν D. 14. ἔτ'] sic AD, ἔτι O. || ἔσται] sic A, ἔσται τὸ O. || γεννητὸν D. 16. αὐτό] sic AC, αὐτός O. 17. περὶ] sic margo B, παρὰ O.

fit vaticinante prius affectibus ex necessitate obsesso, haec enim ab-
19 sunt longe a meliorum natura et cum aliis concordant, sed neque
tamquam instrumentum aliquod medium est ipsa meliorum causa,
et agit per fatidicum invocans. est enim impium haec dicere. et
longe verius est illud quod deus quidem omnia est omnia potest
omniaque sui reddiderit plena, quod solus obsequio honesto et honore divino dignus sit, quod humana omnia si cum divinis conferantur turpia sint nullius numeri et plane ludibria. quare et rideo cum audio, deus nonnullis sua sponte adest vel propter geniturae periodum vel alias ob causas. ita enim ingeneratum non erit praestantius, si geniturae periodi id ducant, sed neque universorum prima potest dici causa, si per alias causas ipsum nonnullis concilietur.

λότρια. πέπονθε δὲ ἡ τοιαύτη ζήτησις ταὐτὸν ὅπερ καὶ περὶ τῆς δημιουργίας τοῦ παντὸς καὶ τῆς προνοίας οἱ πολλοὶ πάσχουσι. μὴ δυνάμενοι γὰρ μαθεῖν ὅστις ὁ τρόπος αὐτῶν, τάς τε ἀνθρώπων φροντίδας καὶ τοὺς λογισμοὺς ἐπὶ τῶν θεῶν ἀποκρίνοντες, καὶ τὸ ὅλον ἀναιροῦσιν ἐπ' αὐτῶν τὴν πρόνοιάν τε καὶ δημιουργίαν.

Ὥσπερ οὖν πρὸς τούτους ἀπαντᾶν εἰώθαμεν, ὡς ἄλλος τις τρόπος ἐστὶν ὁ θεῖος τῆς ποιήσεως καὶ κηδεμονίας, οὗ δὴ δι' ἄγνοιαν οὐ χρὴ τὸ πᾶν ἀποδοκιμάζειν ὡς οὐδὲ τὴν ἀρχὴν ὑφεστήκοι, οὕτω καὶ πρός σε ἄν τις δικαιολογήσαιτο, ὡς πρόγνωσις πᾶσα καὶ ἔργων ἀιδίων πρᾶξις θεῶν μέν ἐστιν ἔργα, οὔτε δι' ἀνάγκης οὔτε δι' ἄλλας ἀνθρωπίνας αἰτίας ἐπιτελεῖται, ἀλλὰ διὰ τοιαύτας ὁποίας οἱ θεοὶ μόνοι γιγνώσκουσιν.

Ἆρ' οὖν ἀφιέμενοι τούτων εὐλόγως ἂν τὴν δευτέραν 20
παρὰ σοὶ τιθεμένην αἰτιολογίαν περὶ τῶν αὐτῶν ἀπο-

5. ἐπικρίνοντες margo B. || ὅλον] ἄλλον B. 6. ἐπ'] ἀπ'? 7. εἰώθαμεν] sic ACD, εἰώθεμεν O, εἴωθεν B. 10. ὑφεστήκει A. 10. 11. δικαιολογίσοιτο ACD. 12. οὔτε δι'] sic D, οὔτε δὲ δι' O. 14. γιγνώσκουσιν] sic AD, γινώσκουσιν O. 15. ἀφιέμενοι] ἐφέμενοι ACD, ἐφιέμενοι B. 16. ἀντιολογίαν B.

sunt igitur haec indigna quae de diis cogitemus et aliena prorsus ab iis quae in theurgia fiunt. qui autem hac de re sic quaerunt videntur mihi idem facere cum iis qui de mundi productione et providentia disputant. cum enim nequeant intelligere quomodo fiant ista, nec vellent diis humana consilia et rationes adscribere, funditus ab illis tum providentiam tum mundi conditum abiudicavere.

Quemadmodum igitur solemus respondere his, quod alius longe sit divinus ille providendi et condendi modus, quem si ignoras non tamen prorsus eum denegare oportebit; sic et tibi quis iuste regerat, quod praedictio omnis et operationum divinarum praestatio plane deorum opera sint, quae neque ex necessitate neque ex alia aliqua causa humana perficiantur, sed per eas causas quae solis diis cognoscuntur.

His igitur omissis proferamus aliam harum rerum quam tu as- 20
signas causam. ea autem haec est „quod anima loquitur, anima vi

δειξαίμεθα ὡς ἡ ψυχὴ ταῦτα λέγει τε καὶ φαντάζεται, καὶ ἔστι ταύτης πάθη ἐκ μικρῶν αἰθυγμάτων ἐγειρόμενα. ἀλλ' οὔτε ἔχει φύσιν ταῦτα οὔτε ὁ λόγος αἱρεῖ ὡδὶ ὑπολαμβάνειν· πᾶν μὲν γὰρ τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς γίγνεται, καὶ τὸ συγγενὲς ὑπὸ τοῦ συγγενοῦς ἀποτελεῖται, τὸ δὲ θεῖον ἔργον οὔτε αὐτόματόν ἐστιν (ἀναίτιον γὰρ τὸ τοιοῦτον καὶ οὐ πάντως τεταγμένον) οὔτε ἀπ' ἀνθρωπίνης αἰτίας ἀπογεννᾶται· ἀλλότριον γὰρ καὶ τοῦτο καὶ ὑποδεέστερον, τὸ δὲ τελειότερον ὑπὸ τοῦ ἀτελοῦς οὐκ ἔχει δύναμιν παράγεσθαι. πάντα ἄρα ἀπὸ θείας αἰτίας ἀποβλαστάνει τὰ προσόμοια αὐτῇ ἔργα φυόμενα. ἡ γὰρ ἀνθρωπίνη ψυχὴ κατέχεται ὑφ' ἑνὸς εἴδους καὶ ὑπὸ τοῦ σώματος πανταχόθεν ἐπισκοτεῖται· ὅπερ εἴτε Ἀμέλητα ποταμὸν εἴτε Λήθης ὕδωρ εἴτε ἄγνοιαν καὶ παραφροσύνην εἴτε διὰ παθῶν δεσμὸν εἴτε ζωῆς στέρησιν ἢ ἄλλο τι τῶν κακῶν ἐπονομάσειεν, οὐκ ἄν τις ἐπαξίως εὕροι τὴν ἀτοπίαν αὐτοῦ προσονομάσαι. πότε οὖν ὑπὸ τοιούτου εἱρμοῦ

2. *αἰθυγμάτων* punctis delet D. 4. *γιγνόμενον*] sic AD, *γινόμενον* O. 5. *γίγνεται*] sic A, *γίνεται* O. 6. *ἔσται* ACD. 10. *αἰτείας* C. 11. *αὐτῇ*] sic AC, *αὐτοῦ* O. 12. *καταδέχεται* A. 13. *Ἀμέλητα*] *σκηνᾶσθαι οὖν σφᾶς ἤδη ἑσπέρας γιγνομένης παρὰ τὸν Ἀμέλητα ποταμόν, οὗ τὸ ὕδωρ ἀγγεῖον οὐδὲν στέγειν.* Plat. resp. 10. 621 a. 15. *στέρησιν*] sic ACD, *ὑστέρησιν* O. ‖ *ἢ*] *εἴτε* AD. 17. *εἱρμοῦ* (corr. *εἱργμοῦ*) C, *εἱργμοῦ* D.

imaginatrice isthaec operatur; suntque adeo eius affectiones quaedam ex latentibus in ea seminibus excitatae.“ enimvero sunt haec tum a natura tum ab omni ratione aliena. quicquid enim fit. fit sane ab aliqua causa, et simile a simili producitur, divinum autem opus neque fortuito erit (nam quae talia sunt causam non habent neque certum ordinem) neque a causa humana progeneratur: quicquid enim huiusmodi est, alienum est et inferius, atque quod perfectius est non solet ab imperfectiori produci. omnia igitur opera quae sunt divinitati similia nascuntur et pullulant a causa divina. anima enim humana et sub una specie continetur et undequaque a corpore obtenebratur; quod quidem corpus si quis vel Ameleta fluvium vel Lethes aquam vel ignorantiam vel passionum vinculum aut vitae privationem aut aliud quodvis malum appellare velit, non satis

κατεχομένη ἱκανή ποτε ἂν γένοιτο πρὸς τὴν τοιαύτην ἐνέργειαν, οὐκ ἔστιν οὐδαμῶς τοῦτο εὔλογον ὑπολαμβάνειν.

Εἰ γάρ πού τι καὶ δοκοῦμεν εἶναι δυνατοὶ ποιεῖν τῷ μετέχειν καὶ καταλάμπεσθαι ὑπὸ τῶν θεῶν, τούτῳ μόνῳ καὶ τῆς θείας ἐνεργείας ἀπολαύομεν. διὰ τοῦτο οὐχ ἡ τὴν οἰκείαν ἔχουσα ἀρετὴν καὶ φρόνησιν ψυχή, αὕτη καὶ τῶν θείων ἔργων μετέχει· καίτοι εἰ ψυχῆς ἦν τὰ τοιαῦτα ἔργα, ἢ πᾶσα ἂν αὐτὰ ψυχὴ ἀπειργάζετο, ἢ μόνη ἡ τὴν οἰκείαν ἔχουσα τελειότητα· νῦν δὲ οὐδετέρα αὐτῶν ἱκανῶς εἰς τοῦτο παρεσκεύασται· ἀλλὰ καὶ ἡ τελεία ὡς πρὸς τὴν θείαν ἐνέργειάν ἐστιν ἀτελής. ἄλλη ἄρα ἡ θεουργός ἐνέργεια, καὶ παρὰ μόνων θεῶν ἡ τῶν θείων ἔργων ἐνδίδοται κατόρθωσις, ἐπεὶ οὐδ' ἐχρῆν ὅλως τῇ θεραπείᾳ τῶν θεῶν χρῆσθαι, ἀλλὰ τούτῳ γε τῷ λόγῳ ἄνευ τῆς θρησκείας παρ' ἑαυτῶν ἂν ἡμῖν ὑπῆρξε τὰ θεῖα ἀγαθά. εἰ δὴ ταῦτα μανιώδη τὰ δοξάσματά ἐστι καὶ ἀνόητα, ἀφίστασθαι χρὴ καὶ τῆς τοιαύτης ὑπονοίας, ὡς αἰτίαν

3. *τῷ*] sic AC, *τὸ* O. 5. *ἀπολάβομεν* B. 6. *ἔχουσαν* D. 7. *εἰ* om. D. 8. *ἀπηργάζετο* D. 9. *ἔχουσα*] sic ACD, *ἀνέχουσα* B, om. O. || *νῦν*] sic Gale not. *νοῦν* O. 14. *γε* additum ex AC. 17. *ἀφιστάναι* A, *ἀφίστα* C, *ἀφι.....* D.

digne eius incommoda demonstrarit. quomodo igitur anima tali examine malorum obsessa apta fieri possit ad talem operationem, sane hoc non est creditu facile.

Si quando vero videamur tale quid posse ut deorum aspiratione participemus, eo tantummodo et divina operatione fruimur. quapropter anima quatenus suam habet aut potestatem aut intelligentiam, non est particeps operum divinorum. quinetiam si divina opera proficiscerentur ab anima, tum vel omnis anima istaec ederet, vel ea sola quae propriam nacta esset perfectionem. iam vero neutra satis ad haec idonea est: nam perfecta anima ad divinam operationem est imperfecta. quare longe alia est divina operatio, divinarumque operationum praestatio a solis diis nobis inseritur, alioquin non oporteret deorum cultui vacare, nam ex hac ratione sine omni religioso obsequio divina nobis per nos ipsos inessent bona. si igitur insana sint haec dogmata et abhorrentia a ratione, abhorrere

παρεχομένης ἀξιόλογον πρὸς τὴν τῶν θείων ἔργων ἀποπλήρωσιν.

21 Μήποτε οὖν ὃ τρίτον προσέθηκάς ἐστιν ἀληθέστερον, ὡς ἄρα μικτόν τι γίνεται ὑποστάσεως εἶδος ἔξ ἡμῶν τε τῆς ψυχῆς καὶ ἔξωθεν θείας ἐπιπνοίας. ὅρα δὴ οὖν αὐτὸ ἀκριβέστερον, μή ποι λάθωμεν παρ' αὐτοῦ παραποδισθέντες καὶ τῆς ἐν αὐτῷ φαινομένης εὐπρεπείας. εἰ γάρ πού τι ἐκ δυοῖν ἓν ἀποτέλοιτο, ὁμοειδὲς τοῦτο καὶ ὁμοφυὲς πᾶν ἐστὶ καὶ ὁμοούσιον· οὕτω τὰ στοιχεῖα συνερχόμενα εἰς ταὐτὸ ἐκ πολλῶν ἕν τι ἀπεργάζεται, καὶ ψυχαὶ πλείονες εἰς ψυχὴν μίαν τὴν ὅλην συμπήγνυνται. οὐ μέντοι τὸ παντελῶς ἐξῃρημένον πρὸς τὸ ἐκβεβηκὸς ἑαυτοῦ γένοιτο ἄν ποτε ἕν, οὐδὲ ψυχὴ τοίνυν μετὰ τῆς θείας ἐπιπνοίας ἕν τι ποιεῖ ὑποστάσεως εἶδος. εἰ γὰρ ἄμικτόν ἐστι τὸ θεῖον οὐδ' ἡ ψυχὴ πρὸς αὐτὸ συμμίγνυται, καὶ εἰ ἀμετάβλητον ὑπάρχει οὐκ ἂν ἐκ τῆς συγκράσεως εἰς τὸ κοινὸν ἀπὸ τοῦ ἁπλοῦ μεταβληθείη.

Πρότερον μὲν οὖν μικρὰ αἰθύγματα ἀνεγείρειν ἐνό-

4. μικρόν C. 9 10. συνεχόμενα ACD. 11. συμμίγνυνται ACD. 14. τι] τινι D. || ποιεῖ om. O. || εἰ] οὐ B. 16. συγκράσεως] sic ACD, συγκρίσεως O.

quoque oportet ab omni tali hypothesi, quae quasi praebet causam iustam contra divinorum operum expletionem.

21 Quod addidisti tertio loco videamus si forte verius sit. mistam quandam hypostaseos speciem fingis, constantem ex anima nostra et divino afflatu extrinsece. vide autem hoc ipsum diligentius, ne forte fallamur ab eo, et a specie quae in eo est rationis supplantemur. quotiescunque enim ex duobus fit unum aliquod, totum illud unius speciei naturae et essentiae sit oportet; sic elementa ex multis compositum unum conficiunt convenientia, et animae multae in unam animam coalescunt. enimvero quod longe eminentius est nunquam conspirabit in unum a sua perfectione delapsum, quare nec anima cum divina inspiratione unam quandam unquam hypostasin constituet. si enim immiscibilis est divinitas certe ei non admiscetur anima, et si impermutabilis est sane per confusionem nunquam simplicitatem suam commutabit in aliud commune duobus.

Prius quidem a nonnullis dictum fuerat, scintillis exiguis susci-

μιζόν τινες καὶ θεῖα ἐν ἡμῖν εἴδη, ἅπερ εἴτε φυσικὰ εἴτε ἄλλως ὁπωσοῦν ᾖν σωματοειδῆ, ἀδύνατα δήπουθεν ᾖν ἐκ τῶν τυχόντων εἰς τὰ θεῖα μεθίστασθαι· ἐν δὴ τῷ παρόντι τὴν ψυχὴν ἀποφαίνονται συναιτίαν τῆς θείας συγκράσεως, καὶ δῆλον ὅτι ἰσάξιος γίνεται τοῖς θεοῖς, δίδωσί τε αὐτοῖς τι μόριον καὶ ἐν τῷ μέρει δέχεται ἀπ' ἐκείνων, μέτρα τε τοῖς κρείττοσιν ἐπιθήσει καὶ αὐτὴ ἀπ' ἐκείνων ὁρισθήσεται· ὃ δὲ δεινότατον ὧν λέγουσί τινες, ὅτι καὶ ἐν στοιχείων τάξει οἱ θεοὶ προηγούμενοι ἐνυπάρξουσι τοῖς ἀποτελουμένοις ὑφ' ἑαυτῶν, καὶ ἔσται τι παραγόμενον ἀπὸ χρόνου καὶ τῆς κατὰ χρόνον συμμίξεως ὃ περιέχει τοὺς θεοὺς ἐν ἑαυτῷ. τί δὲ δὴ καὶ ἔστι τοῦτο τὸ σύμμικτον τῆς ὑποστάσεως εἶδος; εἰ μὲν γὰρ τὸ συναμφότερον, οὐκ ἔσται ἓν ἐκ δυοῖν ἀλλὰ σύνθετόν τι καὶ συμπεφορημένον ἀπὸ τῶν δύο· εἰ δ' ὡς ἕτερον ἀμφοῖν, μετάβλητα ἔσται τὰ ἀίδια, καὶ τὰ θεῖα τῶν ἐν τῇ γενέ-

3. *μεθιστάναι* A, *μεθίστοις* vel *μεθίσιους* C, *μεθίστους* D. || *δὴ*] *δὲ* A. 5. *ἰσάξιος*] sic Gale not., *ἰσαξίως* O. 7. 8. *καὶ αὐτὰ ἀπ' ἐκείνης* Gale not. 11. 12. *ὃ περιέχει*] sic ACD, *ὅπερ ἔχει* O. 12. *τοὺς*] *πρὸς* D. 15. *συμπεφυρμένον* margo B. || *εἰ*] *εἰς* A, *εἰς* (corr. *εἰ*) C.

tari in anima species divinas. esto; sed eae scintillae quandoquidem sunt naturales et corporeae, utcunque non possunt traduci ex fortuitis ad species simpliciter divinas. nunc autem denuo dicitur animam esse huius divinae compositionis concausam, unde sequitur quod anima pari dignitate sit cum diis, quod iis partem communicet et ab iis rursum partem recipiat; atque adeo modum ponet et mensuram se melioribus, iterumque ab iis ipsa limitabitur; et quod absurdissimum est omnium quae dicunt quidam, hinc sequitur deos tamquam elementa praevio quodam modo inesse iis omnibus quae ipsi perficiunt, et quod aliquid temporarium et ex generatione temporaria ortum deos in se continebit. quod vero tandem erit hoc mistae hypostaseos genus? si enim utrunque simul sit, iam non erit unum quid ex duobus sed compositum aliquod et coacervatum ex duobus. si vero ut quid tertium resultans ex duobus, iam aeterna quae sunt erunt mutabilia, nihilque different divina ab iis rebus quae

σει φυσικῶν οὐδεν διοίσει· και τὸ γιγνόμενον ἄτοπον μὲν ἔσται ἀίδιον φυόμενον διὰ γενέσεως, ἀτοπώτερον δέ τι διαλυθήσεται ἐξ ἀιδίων ὑφεστηκός. οὐδαμῶς ἄρα οὐδὲ ἡ τοιαύτη δόξα περὶ τῆς μαντείας ἔχει τινὰ λόγον.

Νοήσωμεν δ' ἔτι καὶ τὴν παράδοξον ταύτην ὑπόλη-
22 ψιν, εἴτε μίαν τις αὐτὴν θείη εἴτε δύο. λέγεις τοίνυν
ὡς ἡ ψυχὴ γεννᾷ δύναμιν φανταστικὴν τοῦ μέλλοντος
διὰ τοιούτων κινημάτων, ἢ τὰ προσαγόμενα ἀπὸ τῆς ὕλης
ὑφίστησι διὰ τῶν ἐνουσῶν δυνάμεων δαίμονας, καὶ μά-
λιστα ἡ ἀπὸ τῶν ζώων εἰλημμένη. δοκεῖ δέ μοι ταῦτα
δεινὴν παρανομίαν ἐμφαίνειν εἰς ὅλην τὴν θεολογίαν τε
καὶ τὴν θεουργικὴν ἐνέργειαν· ἓν μὲν γὰρ ἄτοπον πρῶ-
τον καταφαίνεται, εἰ γεννητοί εἰσι καὶ φθαρτοὶ οἱ δαί-
μονες· ἕτερον δὲ τούτου δεινότερον, εἰ ἀπὸ τῶν ὑστέρων
ἑαυτῶν παράγονται πρότεροι αὐτῶν ὄντες· ψυχῆς γὰρ
δήπου καὶ τῶν περὶ τοῖς σώμασι δυνάμεων προϋφεστή-
κασιν οἱ δαίμονες. πρὸς τούτοις πῶς δύναται τὰ τῆς

1. διοίσει] δεήσει D. || γενόμενον A, γινόμενον D. || ἀτόπως AC, ἀτόπων D. 3. ὑφεστηκὼς C. || οὐδ' ἡ AD. 4. ἔχειν τι ἄλογον B. 5. νοήσωμεν] sic ACD Fesch. νοήσοιμεν O. 8. τοιούτων] τούτων D. 9. ὑφέστησι D. 13. γενητοί AD. 17. τὰ om. D.

gignuntur per generationem; et cum absurdum sit ponere aeternum nasci per generationem, illud magis absurdum erit si quid intereat quod ex aeternis constiterat. quare haec nullo modo de vaticinio sententia ratione aliqua nititur.

Consideremus amplius paradoxam hanc suppositionem, sive tam-
22 quam unam sive ut duplicem quis proposuerit. ais utique quod
anima per motiones eiusmodi generet potestatem imaginantem futura,
aut daemonas constituat ex iis rebus quae a materia sumuntur ha-
bentibus in se vires huiusmodi; et maxime quidem anima ab ani-
malibus inclusa. sed videntur haec magnopere violare totam theo-
logiam et theurgicam operationem. primo illud absurdum est, quod
ponat daemonas generabiles et corruptibiles; sed aliud magis absur-
dum, si daemones priores cum sint, generentur ab iis quae sunt
posteriora. daemones enim prius existunt tum anima tum omni cor-
porea potestate adhuc quomodo possunt particularis animae in cor-

μεριστῆς ψυχῆς ἐν σώματι κατεχομένης ἐνεργήματα εἰς οὐσίαν καθίστασθαι, καὶ ταῦτα χωριστὰ εἶναι ἔξω τῆς ψυχῆς καθ' ἑαυτά; ἢ πῶς αἱ περὶ τοῖς σώμασι δυνάμεις ἀφίστανται τῶν σωμάτων καίτοι ἐν τοῖς σώμασι τὸ εἶναι ἔχουσαι; τίς δὲ δή ἐστιν ὁ ἀπολύων αὐτὰς ἀπὸ τῆς σωματικῆς συστάσεως, καὶ σωματικὴν διάλυσιν συνάγων πάλιν εἰς μίαν σύνοδον; ἔσται γὰρ οὕτω προϋπάρχων ὁ τοιοῦτος δαίμων πρὸ τοῦ ὑποστῆναι· ἔχει δὲ καὶ τὰς κοινὰς ἀπορίας ὁ λόγος· πῶς γὰρ δήποτε ἀπὸ τῶν μὴ ἐχόντων μαντικὴν μαντικὴ φύεται, καὶ ἀπὸ τῶν μὴ ἐχόντων ψυχὴν σωμάτων ψυχὴ ἀπογεννᾶται; ἢ τὸ ὅλον φάναι πῶς ἀπὸ τῶν ἀτελεστέρων τελειότερα παράγεται; καὶ ὁ τρόπος δὲ τῆς παραγωγῆς φαίνεταί μοι ἀδύνατος· τὸ γὰρ διὰ κινημάτων τῆς ψυχῆς καὶ διὰ τῶν ἐν τοῖς σώμασι δυνάμεων παράγεσθαι οὐσίαν, ἀδύνατον. ἀπὸ γὰρ τῶν μὴ ἐχόντων οὐσίαν οὐσία οὐχ οἵα τέ ἐστιν ἀποτελεῖσθαι.

Πόθεν δὲ καὶ φανταστικὴ τοῦ μέλλοντος γίνεται; παρὰ τίνος λαβοῦσα τὸ μαντικόν; ὁρῶμεν γὰρ δήπου

6. σωματικὴν] σώματι τὴν CD. 8. ὑποστῆναι] sic ACD, ὑποστῆσαι O. 12. τῶν] τοῦ D. 16. οὐσίαν om. O.

pore conclusae actiones in substantiam procedere, atque adeo per se extra animam esse separatae? et quomodo vires a corpore dependentes suumque esse ab eo mutuantes citra corpus consistent? deinde quis est qui vires materiales solvit a corporea compage, rursumque in unum congregat quae de corpore solvebantur? sane potestas sit oportet daemonica, atque ita istiusmodi daemon extabit priusquam generetur. sed habet praeterea communes quasdam difficultates haec opinio. qui enim ex iis quae vaticinium non habent nascitur vaticinium? qui ex corporibus non habentibus animam anima progeneratur? et ut uno verbo dicam, quomodo ab imperfectioribus perfectiora producuntur? sed et ipse istiusmodi productionis modus mihi videtur inexplicabilis; est enim impossibile producere substantiam per motiones animae perque vires corporibus inhaerentes; ex iis enim quae non habent nequit substantia produci.

Porro unde futurorum imaginatio fiet? a quo desumit vim divinatoriam? videmus enim nihil eorum quae per generationem se-

τῶν ἐνσπειρομένων διὰ γενέσεως οὐδὲν οὐδέποτε πλείονός τινος μεταλαμβάνοντος ἢ ὅσον δίδοται αὐτῷ ἀπὸ τοῦ πρώτως ἑαυτὸ ἀπογεννῶντος. τὸ δ' ἔοικε προσθήκην τινὰ περιττοτέραν παραδέχεσθαι ἀπὸ τοῦ μὴ ὄντος· εἰ μὴ ἄρα τις λέγοι τῇ ἀπὸ τῶν ζώων ὕλῃ τοὺς δαίμονας ἐπιβεβηκέναι, προσαγομένης δὲ αὐτῆς συμπαθῶς πρὸς αὐτὴν κινεῖσθαι. οὐκοῦν κατά γε ταύτην τὴν δόξαν οὐκ ἀπογεννῶνται οἱ δαίμονες ἀπὸ τῶν ἐν τοῖς σώμασι δυνάμεων, προηγούμενοι δ' αὐτῶν καὶ προϋπάρχοντες συγκινοῦνται αὐταῖς ὁμοειδῶς. εἰ δὲ δὴ ὅτι μάλιστα καὶ οὕτως εἰσὶ συμπαθεῖς, οὐχ ὁρῶ τίνα τρόπον εἴσονταί τι περὶ τοῦ μέλλοντος ἀληθές. οὐ γὰρ συμπαθοῦς δυνάμεως οὐδ' ἐνύλου καὶ κατεχομένης ἔν τινι τόπῳ καὶ σώματι τὸ προγιγνώσκειν μὲν καὶ προμηνύειν τὸ μέλλον, ἀλλὰ τοὐναντίον τῆς ἀπὸ πάντων τούτων ἀπολελυμένης. καὶ αὕτη δὴ οὖν ἡ δόξα τοιαύτας ἐχέτω τὰς εὐθύνας.

2. ἑαυτῷ D. 5. τις] τοῖς D. 6. προσαγομένῃ δὲ αὐτῇ AC, προσαγωμένη δὲ αὐτῇ D. 10. οὕτως] sic ACD, οὕτω O. 13. τινι] τισι D. 13. 14. προγιγνώσκειν] sic AC, προγινώσκειν D, προγνώσκειν O. 14. μὲν] sic Gale not., δὲ O. 15. ἀπὸ] ἐπὶ O. ‖ τούτων om. O.

minantur maius aliquid habere quam quod ei traditur a causa principaliter generante. hoc autem insuper praestantissimam quandam accessionem videtur accipere ab eo quod nihil est. nisi quis dicat daemonas praesidere materiae quae est ab animantibus, et allata materia compatienter cum ea moveri. igitur iuxta hanc sententiam non generantur daemones a viribus quibusdam in corporibus latentibus, sed prius existentes conformiter ad eas commoventur. sed fac sic esse sympatheticos, nondum tamen intelligo qui possunt quidquam futurorum praevidere certo. praedictio enim futuri et praesignificatio non est opus naturae passibilis et materialis quaeque loco et tempore claudatur, sed e contra ab his omnibus solutae. ista igitur sententia his coërceatur correctionibus.

Αἱ δ' ἐπὶ τῇδε ἐπιστάσεις ἀνάγονται μὲν εὐθὺς ὡς 23
διστάζουσαι περὶ τοῦ τρόπου τῆς μαντείας, προϊοῦσαι δὲ ἀνατρέπειν αὐτὴν παντελῶς ἐπιχειροῦσι. διελώμεθα οὖν καὶ ἡμεῖς τὸν λόγον πρὸς ἀμφότερα ταῦτα. ἀρξώμεθα δὲ διαλύειν πρῶτον τὰ πρότερα· κατὰ γὰρ τοὺς ὕπνους μηδὲν πραγματευσάμενοι ἐνίοτε τῷ μέλλοντι ἐπιβάλλομεν, καὶ πραγματευσάμενοι πολλάκις οὐκ ἐπιβάλλομεν. οὐχ ὅτι ἐξ ἡμῶν τε καὶ ἔξωθέν ἐστι τὸ αἴτιον τῆς μαντικῆς· ἐφ' ὧν γὰρ ὥρισται τὸ ἀφ' ἡμῶν προκατάρχον καὶ συνεπόμενον ἀπὸ τῶν ἔξωθεν, σύνταξίν τε ταῦτα συμπλεκομένην ἔχει πρὸς ἄλληλα, ὡρισμένως ἐπὶ τούτων τὰ ἔργα ἐπιτελεῖται, καὶ συνέπεται τοῖς προηγουμένοις τὰ πρὸς αὐτὰ συνηρτημένα· ὅταν δὲ ἀπολελυμένον ᾖ τὸ αἴτιον καθ' ἑαυτὸ προϋπάρχον, οὐχ ὥρισται τὸ τέλος ἐφ' ἡμῖν, τὸ δὲ πᾶν ἐπὶ τοῖς ἐκτὸς κεῖται. καὶ νῦν οὖν τὸ μὴ πάντως τοῖς ἡμετέροις ἔργοις συντρέχειν τὴν ἐν τοῖς ὀνείροις ἀλήθειαν καὶ τὸ πολλάκις αὐτὴν ἀφ' ἑαυτῆς ἐλλάμπειν, ἔξωθέν τε δείκνυσιν ἀπὸ θεῶν οὖσαν τὴν μαντείαν

4. ἀρξόμεθα D. 7. καὶ πραγματευσάμενοι — ἐπιβάλλομεν] sic ACD Fesch., om. O. 14. ἡμῖν] sic CD et Gale not.; ἡμῶν O. 15. πᾶν] πέρας A, περὶ C. 17. ἀφ'] ἐφ' D.

Argumenta autem quae posthac huc afferuntur prima quidem 23
fronte subdubitare videntur de modo vaticinii, in progressu autem id penitus evertere conantur. quare et nos dirigamus sermonem nostrum contra horum utrumque. incipiamus autem dissolvere priora, per quietem cum nos nihil faciamus aliquando futuri cognitionem assequimur, quam tamen magno negotio elaborantes saepe non valemus assequi; nec tamen vaticinii causa partim a nobis partim ab extra sit. quarum enim rerum certo in nobis causa statuatur principalis et secundaria ab extra, si hae duae causae mutuo connexae sunt, sane effectus eveniunt certo et constanter ad has, et principalibus obtemperant quae ab iis pendent. quoties autem causa distincta a nobis sit et per se existens, non est in nostra potestate eventus, sed tota res pendet ab iis quae sunt extra. cum igitur veritas quae per somnia possit colligi non semper nostris operibus acquiritur, immo saepe sua sponte nobis affulgeat, hoc plane ostendit quod divinatio tum sit ab extra et diis ipsis tum etiam quod libera sit, et

καὶ ταύτην αὐτεξούσιον ὅταν βούληται καὶ ὡσὰν ϑέλῃ μετ' εὐμενείας τὸ μέλλον ἀναφαίνουσαν.

24 *Ταῦτα μὲν οὖν τοιοῦτον ἐχέτω τὸν ἀπολογισμόν· ἐν δὲ τοῖς μετὰ ταῦτα πειρώμενος τὸν τρόπον διερμηνεύειν τῆς μαντικῆς, ἀναιρεῖς αὐτὴν παντάπασιν. εἰ γὰρ πάϑος ψυχῆς αἴτιον αὐτῆς καϑίσταται, τίς ἂν εὖ φρονῶν ἀστάτῳ πράγματι καὶ ἐμπλήκτῳ πρόγνωσιν ἀποδοίη τεταγμένην καὶ σταϑεράν; ἢ τί δήποτε σωφρονοῦσα μὲν ἡ ψυχὴ καὶ ἄτρεπτος οὖσα κατὰ τὰς βελτίονας ἑαυτῆς δυνάμεις τὰς νοερὰς καὶ διανοητικὰς ἀγνοεῖ τὸ ἐσόμενον, πάσχουσα δὲ κατὰ τὰς ἀτάκτους καὶ ταραχώδεις κινήσεις ἐπιβάλλει τῷ μέλλοντι; τί γὰρ δήποτε καὶ ἔχει τὸ πάϑος οἰκεῖον εἰς τὴν ϑεωρίαν τῶν ὄντων; τί δὲ οὐ μᾶλλον ἐμποδίζει πρὸς ἀληϑεστέραν κατανόησιν; ἔτι τοίνυν εἰ μὲν διὰ παϑῶν τὰ πράγματα τὰ ἐν τῷ κόσμῳ συνίστατο, ἡ ὁμοίωσις ἂν τῶν παϑῶν εἶχέ τινα πρὸς αὐτὰ οἰκειότητα, εἰ δὲ διὰ λόγων καὶ διὰ τῶν εἰδῶν ἐπιτελεῖται, ἄλλη τις*

1. *ὡς ἂν ἐϑέλῃ* ACD. 2. *ἀναφαίνουσα* ABD. 4. 5. *διερμηνεύει τῆς* C, *διερμηνευτικῆς* B. 5. 6. *πάϑους* D. 7. *ἀστράτῳ* B. 7. 8. *τεταμένην* ABCD. 8. *σοφρονοῦσα* D. 10. *ἀνόει* D. || *ἐσόμενον*] sic BCD, *ἑπόμενον* A, *ἐσσόμενον* O.

quod quando vult et quomodo vult futura nobis revelet cum benevolentia.

24 Haec igitur istam habeant responsionem. in iis quae sequuntur, dum conaris modum divinationis explicare, ipsam funditus evertis. si qua animae perturbatio eius causa constituatur, quis est, modo quidquam sapiat, qui rei instabili et attonitae certam ratamque praecognitionem tribuere velit? aut quomodo anima sobria et imperturbata agensque secundum vires suas optimas, scil. intellectuales rationalesque, futura non prospiciat, perturbata vero motibus irregularibus et tumultuariis futurum coniectet? enimvero quid est in passione aptum et accommodatum ad rerum contemplationem? immo quid non ineptum potius ad veritatis perceptionem? praeterea si res ipsae in mundo per passiones conditae fuissent, utique passiones aliquam ad eas similitudinem affinitatemque haberent, cum vero rationibus et ideis constitutae fuerint et agantur, haud dubie alia est

αὐτῶν ἔσται ἡ πρόγνωσις ἀπηλλαγμένη παντὸς πάθους. ἔτι τὸ πάθος μόνου τοῦ παρόντος αἰσθάνεται καὶ τοῦ ἤδη ὑφεστηκότος, ἡ δὲ πρόγνωσις καὶ τῶν μηδέπω ὄντων ἀντιλαμβάνεται· ἕτερον ἄρα ἐστὶ τὸ προγινώσκειν τοῦ πάσχειν.

Σκεψώμεθα δὴ καὶ τὰ τεκμήριά σου τῆς τοιαύτης δόξης. τὸ μὲν δὴ καταλαμβάνεσθαι τὰς αἰσθήσεις πρὸς τὸ ἐναντίον τείνει ἢ οἷον σὺ λέγεις· γνώρισμα γάρ ἐστι τοῦ μηδὲν φάντασμα ἀνθρώπειον τηνικαῦτα ἀνακινεῖσθαι. οἱ δὲ προσενεχθέντες ἀτμοὶ πρὸς τὸν θεὸν ἔχουσι τὴν συγγένειαν, οὐ πρὸς τὴν ψυχὴν τοῦ ἐποπτεύοντος. αἵ τε ἐπικλήσεις οὐκ ἐπιπνοίας τῆς διανοίας ἀνεγείρουσιν, ἢ σωματικὰ πάθη ἐν τῷ δεχομένῳ· ἄγνωστοι γάρ εἰσι παντελῶς καὶ ἀπόρρητοι, μόνῳ δὲ τῷ θεῷ γνωρίμως λέγονται ὃν ἐπικαλοῦνται· τὸ δ' εἶναι μὴ πάντας ἀλλὰ τοὺς ἁπλουστέρους καὶ νέους ἐπιτηδειοτέρους, δηλοῖ τοῦτο ὡς εἰς καταδοχὴν τῷ ἔξωθεν ἐπεισιόντι καὶ κατέχοντι πνεύματι οἱ τοιοῦτοί εἰσιν ἑτοιμότεροι. ἐκ δὴ τούτων οὐ καλῶς στοχάζῃ πάθος εἶναι τὸν ἐνθουσιασμόν, συμβαίνει γὰρ

4. τοῦ πάσχειν om. D 8. ἀνθρώπιον BD. 10. τε additum ex ACD. 16. ἐπισιόντι BD. 17. οὐ καλῶς] sic ACD, οὐκ ἄλλως B, οὐκ ἀληθῶς O. 18. στοχαζῃ] τοπάζει AC, τοπάζῃ D.

et ab omni passione seiuncta cognitio quae eas praevidet. denique percipit tantum praesentia et iam existentia passio, praenotio ea quae nondum sunt antevertit. igitur aliud est praevidere aliud passionibus agitari.

Examinemus porro argumenta huius tuae opinionis. quod igitur sensus occupentur, alio ac tu opinaris tendit; est enim indicium, quod nullum humanum phantasma tum excitetur. suffumigationes vero quae solent afferri non respiciunt animam spectantis, sed ad deum habent affinitatem. invocationes autem non excitant mentis nostrae inspirationes, aut passiones corporeas in suscipiente; sunt enim ignorabiles prorsus et ineffabiles, solique deo quem invocant notae canuntur. quod autem non omnes sed simpliciores et iuniores ad vaticinandum apti sint, hoc satis ostendit istos ad suscipiendum spiritum ab extra venientem obsidentemque aliis esse paratiores. sed ex his signis non recte coniectas passionem esse enthusiasmum,

ἀπό τε τούτων τῶν σημείων ἔξωθεν αὐτὸν ὡς ἐπίπνοιαν ἐπιρρεῖν.

25 *Ταῦτα μὲν οὖν οὕτως ἡμῖν ἐχέτω· τὸ δὲ ἐπὶ τούτοις ἀπὸ τῆς ἐνθέου παραφορᾶς ἐπὶ τὴν ἔκστασιν τῆς διανοίας τὴν ἐπὶ τὸ χεῖρον ἀποπίπτει, τήν τε ἐν τοῖς νοσήμασι συμπίπτουσαν μανίαν παραλόγως αἰτίαν εἶναί φησι τῆς μαντικῆς. χολῆς γὰρ πλεονασμοῖς ὡς ἔστιν εἰκάσαι τῆς μελαίνης καὶ μέθης παρατροπαῖς καὶ τῇ λύσσῃ τῇ ἀπὸ λυσσώντων κυνῶν συμβαινούσῃ τὸν ἐνθουσιασμὸν ἀπεικάζει. δεῖ τοίνυν ἐξ ἀρχῆς διελέσθαι διχῇ τὰ εἴδη τῆς ἐκστάσεως, ὧν τὰ μὲν ἐπὶ τὸ χεῖρον παρατρέπεται καὶ τὰ μὲν ἀνοίας πληροῖ καὶ παραφροσύνης, τὰ δὲ τῆς παρ' ἀνθρώποις σωφροσύνης τιμιώτερα ἀγαθὰ παρέχει· καὶ τὰ μὲν ἐπὶ τὴν ἄτακτον καὶ πλημμελῆ καὶ ὑλικὴν ἀποπίπτει κίνησιν, τὰ δ' ἐπιδίδωσιν ἑαυτὰ πρὸς τὴν ἐξάρχουσαν αἰτίαν καὶ αὐτῆς τῆς ἐν τῷ κόσμῳ διατάξεως· καὶ τὰ μὲν ὡς ἐστερημένα τῆς γνώσεως παραφέρεται ἀπὸ τοῦ φρονεῖν, τὰ δ' ὡς συναπτόμενα τοῖς ὑπερέχουσι πάσης*

1. αὐτοῦ BD. 4. ἔκτασιν D. 5. ἀποπίπτει] sic ACD, ἀποπίπτειν O. 5. 6. νοήμασι B. 8. λύσσει A, λύσει C. 9. ἀπὸ] ἀπὸ τῶν ACD. || λυσσώντων] sic ACD, λυσσόντων B, λυσσάντων O. 10. εἴδη] ἤδη B. 11. ὧν] ὡς ACD. 18. συναττόμενα D. || πάσης] sic ACD, πᾶσι O.

fit enim per haec signa manifestum quod extrinsece influit quemadmodum et afflatus.

25 Atque haec nobis ita se habere videntur; quod autem mox sequitur abit prorsus a divina alienatione mentis, ac ecstasin quae mentem in deterius flectit causamque vaticinii assignat, sed perperam, insaniam ex valetudine ortam. comparat enim quantum coniicere licet enthusiasmum melancholiae redundantiae et ebrietatis concitationibus et rabiei quam canes rabiosi efficiunt. quare oportet ab initio ecstasin in duas species distribuere. quarum illa in deterius nos trahit impletque amentia et imprudentia, haec autem munera meliora nobis praebet quam possit humana prudentia; rursus illa ad motum irregularem enormem materialem declinat, haec tradit se ipsam causae illi supremae quae ipsum mundi ordinem gubernat; illa cognitione orbata delabitur ab omni prudentia, haec connectit cum

τῆς ἐν ἡμῖν φρονήσεως· καὶ τὰ μέν ἐστιν ἐν τροπῇ τὰ δ' ἄτρεπτα· καὶ τὰ μὲν παρὰ φύσιν τὰ δ' ὑπὲρ τὴν φύσιν· καὶ τὰ μὲν καταγωγὰ ψυχῆς τὰ δὲ ἀναγωγά· καὶ τὰ μὲν διίστησιν ἔξω παντάπασι τῆς θείας μοίρας, τὰ δὲ πρὸς αὐτὴν συνάπτει.

Διὰ τί δὴ οὖν τοσοῦτον ἀπεσφάλη ὁ λόγος τῆς προκειμένης ὑποθέσεως, ὡς ἐπὶ τὰ ἔσχατα παρενεχθῆναι τῆς μανίας κακὰ ἀπὸ τῶν πρωτείων καὶ ἀγαθῶν; τί γὰρ δὴ ταῖς μελαγχολίαις ἢ μέθαις ἢ ταῖς ἄλλαις ταῖς ἀπὸ τοῦ σώματος ἐγειρομέναις παρακοπαῖς προσέοικεν ὁ ἐνθουσιασμός; τίς δ' ἂν μαντεία ποτὲ ἐγγένοιτο ἀπὸ τῶν νοσημάτων τοῦ σώματος; οὐχ ἡ μὲν τοιαύτη παραγωγὴ διαφθορὰ παντελής ἐστιν, ἡ δὲ θεοφορία τελειότης καὶ σωτηρία τῆς ψυχῆς; οὐ κατ' ἀσθένειαν μὲν ἡ φαύλη συμπίπτει, κατὰ πλήρωσιν δὲ δυνάμεως ἡ βελτίων; ὡς δ' ἁπλῶς εἰπεῖν ἡ μὲν ἡσυχάζουσα κατὰ τὴν οἰκείαν ζωὴν καὶ σύνεσιν ἑτέρῳ παραδίδωσι τὴν ἑαυτῆς χρῆσιν, ἡ δὲ τὰς οἰκείας ἐνεργείας ἐνεργοῦσα κάκιστα καὶ θορυβωδῶς ταύτας ἀποδίδωσι.

3. *ἀναγωγά*] *ἀγωγά* D. 8. *πρώτων* B, *προτείων* D. 11. 12. *νοσημάτων*] *δημάτων* AC, *σωμάτων* D, *σημάτων* B. 18. *κακίστως* Gale not. || *θορυβωδῶς*] „In Ms. *θορυβώδους* et forte leg. *κακίστας*“ sic Moserus legerat anno 1810 in margine codicis B, nuper autem, anno 1855, Leemansius: „In Ms. *θορυβώδου* etc. forte leg. *κακί*....“

luminibus superioribus omni nostra sapientia; illa instabilis haec constans, illa contra haec supra naturam, illa animam erigit haec opprimit, illa extra divinam portionem exorbitat prorsus, haec ad eam accommodat.

Quid est igitur, miror, quod huius opinionis sermo eo usque evagatus fuerit, ut a primis et bonis ad mala insaniae extrema deflecteret? qua autem in re divinus raptus convenit cum melancholia aut ebrietate aut aliis a corpore bullientibus perturbationibus? aut quae tandem vaticinatio oriri posset a corporis morbis? annon ista detorsio omnino animae corruptela est, divinus vero instinctus salus et perfectio? annon prava ecstasis ex infirmitate continget, melior autem ex plenitudine perfectionis? ut verbo dicam haec quidem vacans secundum propriam vitam et intelligentiam superiori se dat utendam, illa proprias operationes operans eas edit perversas et turbulentas.

παρεχομένης ἀξιόλογον πρὸς τὴν τῶν θείων ἔργων ἀποπλήρωσιν.

21 Μήποτε οὖν ὃ τρίτον προσέθηκάς ἐστιν ἀληθέστερον, ὡς ἄρα μικτόν τι γίνεται ὑποστάσεως εἶδος ἐξ ἡμῶν τε τῆς ψυχῆς καὶ ἔξωθεν θείας ἐπιπνοίας. ὅρα δὴ οὖν αὐτὸ ἀκριβέστερον, μή ποι λάθωμεν παρ' αὐτοῦ παραποδισθέντες καὶ τῆς ἐν αὐτῷ φαινομένης εὐπρεπείας. εἰ γάρ πού τι ἐκ δυοῖν ἓν ἀποτέλοιτο, ὁμοειδὲς τοῦτο καὶ ὁμοφυὲς πᾶν ἐστι καὶ ὁμοούσιον· οὕτω τὰ στοιχεῖα συνερχόμενα εἰς ταὐτὸ ἐκ πολλῶν ἕν τι ἀπεργάζεται, καὶ ψυχαὶ πλείονες εἰς ψυχὴν μίαν τὴν ὅλην συμπήγνυνται. οὐ μέντοι τὸ παντελῶς ἐξῃρημένον πρὸς τὸ ἐκβεβηκὸς ἑαυτοῦ γένοιτο ἄν ποτε ἕν, οὐδὲ ψυχὴ τοίνυν μετὰ τῆς θείας ἐπιπνοίας ἕν τι ποιεῖ ὑποστάσεως εἶδος. εἰ γὰρ ἄμικτόν ἐστι τὸ θεῖον οὐδ' ἡ ψυχὴ πρὸς αὐτὸ συμμίγνυται, καὶ εἰ ἀμετάβλητον ὑπάρχει οὐκ ἂν ἐκ τῆς συγκράσεως εἰς τὸ κοινὸν ἀπὸ τοῦ ἁπλοῦ μεταβληθείη.

Πρότερον μὲν οὖν μικρὰ αἰθύγματα ἀνεγείρειν ἐνό-

4. μικρόν C. 9 10. συνεχόμενα ACD. 11. συμμίγνυνται ACD. 14. τι] τινι D. || ποιεῖ om. O. || εἰ] οὐ B. 16. συγκράσεως] sic ACD, συγκρίσεως O.

quoque oportet ab omni tali hypothesi, quae quasi praebet causam iustam contra divinorum operum expletionem.

21 Quod addidisti tertio loco videamus si forte verius sit. mistam quandam hypostaseos speciem fingis, constantem ex anima nostra et divino afflatu extrinsece. vide autem hoc ipsum diligentius, ne forte fallamur ab eo, et a specie quae in eo est rationis supplantemur. quotiescunque enim ex duobus fit unum aliquod, totum illud unius speciei naturae et essentiae sit oportet; sic elementa ex multis compositum unum conficiunt convenientia, et animae multae in unam animam coalescunt. enimvero quod longe eminentius est nunquam conspirabit in unum a sua perfectione delapsum, quare nec anima cum divina inspiratione unam quandam unquam hypostasin constituet. si enim immiscibilis est divinitas certe ei non admiscetur anima, et si impermutabilis est sane per confusionem nunquam simplicitatem suam commutabit in aliud commune duobus.

Prius quidem a nonnullis dictum fuerat, scintillis exiguis susci-

μιζόν τινες καὶ θεῖα ἐν ἡμῖν εἴδη, ἅπερ εἴτε φυσικὰ εἴτε ἄλλως ὁπωσοῦν ᾖν σωματοειδῆ, ἀδύνατα δήπουθεν ᾖν ἐκ τῶν τυχόντων εἰς τὰ θεῖα μεθίστασθαι· ἐν δὴ τῷ παρόντι τὴν ψυχὴν ἀποφαίνονται συναιτίαν τῆς θείας συγκράσεως, καὶ δῆλον ὅτι ἰσάξιος γίνεται τοῖς θεοῖς, δίδωσί τε αὐτοῖς τι μόριον καὶ ἐν τῷ μέρει δέχεται ἀπ' ἐκείνων, μέτρα τε τοῖς κρείττοσιν ἐπιθήσει καὶ αὐτὴ ἀπ' ἐκείνων ὁρισθήσεται· ὃ δὲ δεινότατον ὧν λέγουσί τινες, ὅτι καὶ ἐν στοιχείων τάξει οἱ θεοὶ προηγούμενοι ἐνυπάρξουσι τοῖς ἀποτελουμένοις ὑφ' ἑαυτῶν, καὶ ἔσται τι παραγόμενον ἀπὸ χρόνου καὶ τῆς κατὰ χρόνον συμμίξεως ὃ περιέχει τοὺς θεοὺς ἐν ἑαυτῷ. τί δὲ δὴ καὶ ἔστι τοῦτο τὸ σύμμικτον τῆς ὑποστάσεως εἶδος; εἰ μὲν γὰρ τὸ συναμφότερον, οὐκ ἔσται ἓν ἐκ δυοῖν ἀλλὰ σύνθετόν τι καὶ συμπεφορημένον ἀπὸ τῶν δύο· εἰ δ' ὡς ἕτερον ἀμφοῖν, μετάβλητα ἔσται τὰ αἴδια, καὶ τὰ θεῖα τῶν ἐν τῇ γενέ-

3. μεθιστάναι A, μεθίστοις vel μεθίσιους C, μεθίστους D. || δὴ] δὲ A. 5. ἰσάξιος] sic Gale not., ἰσαξίως O. 7. 8. καὶ αὐτὰ ἀπ' ἐκείνης Gale not. 11. 12. ὃ περιέχει] sic ACD, ὅπερ ἔχει O. 12. τοὺς] πρὸς D. 15. συμπεφυρμένον margo B. || εἰ] εἰς A, εἰς (corr. εἰ) C.

tari in anima species divinas. esto; sed eae scintillae quandoquidem sunt naturales et corporeae, utcunque non possunt traduci ex fortuitis ad species simpliciter divinas. nunc autem denuo dicitur animam esse huius divinae compositionis concausam, unde sequitur quod anima pari dignitate sit cum diis, quod iis partem communicet et ab iis rursum partem recipiat; atque adeo modum ponet et mensuram se melioribus, iterumque ab iis ipsa limitabitur; et quod absurdissimum est omnium quae dicunt quidam, hinc sequitur deos tamquam elementa praevio quodam modo inesse iis omnibus quae ipsi perficiunt, et quod aliquid temporarium et ex generatione temporaria ortum deos in se continebit. quod vero tandem erit hoc mistae hypostaseos genus? si enim utrunque simul sit, iam non erit unum quid ex duobus sed compositum aliquod et coacervatum ex duobus. si vero ut quid tertium resultans ex duobus, iam aeterna quae sunt erunt mutabilia, nihilque different divina ab iis rebus quae

σει φυσικῶν οὐδὲν διοίσει· καὶ τὸ γιγνόμενον ἄτοπον μὲν ἔσται ἀίδιον φυόμενον διὰ γενέσεως, ἀτοπώτερον δέ τι διαλυθήσεται ἐξ ἀιδίων ὑφεστηκός. οὐδαμῶς ἄρα οὐδὲ ἡ τοιαύτη δόξα περὶ τῆς μαντείας ἔχει τινὰ λόγον.

Νοήσωμεν δ' ἔτι καὶ τὴν παράδοξον ταύτην ὑπόλη-
22 ψιν, εἴτε μίαν τις αὐτὴν θείη εἴτε δύο. λέγεις τοίνυν ὡς ἡ ψυχὴ γεννᾷ δύναμιν φανταστικὴν τοῦ μέλλοντος διὰ τοιούτων κινημάτων, ἢ τὰ προσαγόμενα ἀπὸ τῆς ὕλης ὑφίστησι διὰ τῶν ἐνουσῶν δυνάμεων δαίμονας, καὶ μάλιστα ἡ ἀπὸ τῶν ζώων εἰλημμένη. δοκεῖ δέ μοι ταῦτα δεινὴν παρανομίαν ἐμφαίνειν εἰς ὅλην τὴν θεολογίαν τε καὶ τὴν θεουργικὴν ἐνέργειαν· ἓν μὲν γὰρ ἄτοπον πρῶτον καταφαίνεται, εἰ γεννητοί εἰσι καὶ φθαρτοὶ οἱ δαίμονες· ἕτερον δὲ τούτου δεινότερον, εἰ ἀπὸ τῶν ὑστέρων ἑαυτῶν παράγονται πρότεροι αὐτῶν ὄντες· ψυχῆς γὰρ δήπου καὶ τῶν περὶ τοῖς σώμασι δυνάμεων προϋφεστήκασιν οἱ δαίμονες. πρὸς τούτοις πῶς δύναται τὰ τῆς

1. διοίσει] δεήσει D. || γενόμενον A, γινόμενον D. || ἀτόπως AC, ἀτόπων D. 3. ὑφεστηκὼς C. || οὐδ' ἡ AD. 4. ἔχειν τι ἄλογον B. 5. νοήσωμεν] sic ACD Fesch. νοήσοιμεν O. 8. τοιούτων] τούτων D. 9. ὑφίστησι D. 13. γενητοί AD. 17. τὰ om. D.

gignuntur per generationem; et cum absurdum sit ponere aeternum nasci per generationem, illud magis absurdum erit si quid intereat quod ex aeternis constiterat. quare haec nullo modo de vaticinio sententia ratione aliqua nititur.

Consideremus amplius paradoxam hanc suppositionem, sive tam-
22 quam unam sive ut duplicem quis proposuerit. ais utique quod anima per motiones eiusmodi generet potestatem imaginantem futura, aut daemonas constituat ex iis rebus quae a materia sumuntur habentibus in se vires huiusmodi; et maxime quidem anima ab animalibus inclusa. sed videntur haec magnopere violare totam theologiam et theurgicam operationem. primo illud absurdum est, quod ponat daemonas generabiles et corruptibiles; sed aliud magis absurdum, si daemones priores cum sint, generentur ab iis quae sunt posteriora. daemones enim prius existunt tum anima tum omni corporea potestate. adhuc quomodo possunt particularis animae in cor-

μεριστῆς ψυχῆς ἐν σώματι κατεχομένης ἐνεργήματα εἰς οὐσίαν καθίστασθαι, καὶ ταῦτα χωριστὰ εἶναι ἔξω τῆς ψυχῆς καθ' ἑαυτά; ἢ πῶς αἱ περὶ τοῖς σώμασι δυνάμεις ἀφίστανται τῶν σωμάτων καίτοι ἐν τοῖς σώμασι τὸ εἶναι ἔχουσαι; τίς δὲ δή ἐστιν ὁ ἀπολύων αὐτὰς ἀπὸ τῆς σωματικῆς συστάσεως, καὶ σωματικὴν διάλυσιν συνάγων πάλιν εἰς μίαν σύνοδον; ἔσται γὰρ οὕτω προϋπάρχων ὁ τοιοῦτος δαίμων πρὸ τοῦ ὑποστῆναι· ἔχει δὲ καὶ τὰς κοινὰς ἀπορίας ὁ λόγος· πῶς γὰρ δήποτε ἀπὸ τῶν μὴ ἐχόντων μαντικὴν μαντικὴ φύεται, καὶ ἀπὸ τῶν μὴ ἐχόντων ψυχὴν σωμάτων ψυχὴ ἀπογεννᾶται; ἢ τὸ ὅλον φάναι πῶς ἀπὸ τῶν ἀτελεστέρων τελειότερα παράγεται; καὶ ὁ τρόπος δὲ τῆς παραγωγῆς φαίνεταί μοι ἀδύνατος· τὸ γὰρ διὰ κινημάτων τῆς ψυχῆς καὶ διὰ τῶν ἐν τοῖς σώμασι δυνάμεων παράγεσθαι οὐσίαν, ἀδύνατον. ἀπὸ γὰρ τῶν μὴ ἐχόντων οὐσίαν οὐσία οὐχ οἷα τέ ἐστιν ἀποτελεῖσθαι.

Πόθεν δὲ καὶ φανταστικὴ τοῦ μέλλοντος γίνεται; παρὰ τίνος λαβοῦσα τὸ μαντικόν; ὁρῶμεν γὰρ δήπου

6. *σωματικὴν*] *σώματι τὴν* CD. 8. *ὑποστῆναι*] sic ACD, *ὑποστῆσαι* O. 12. *τῶν*] *τοῦ* D. 16. *οὐσίαν* om. O.

pore conclusae actiones in substantiam procedere, atque adeo per se extra animam esse separatae? et quomodo vires a corpore dependentes suumque esse ab eo mutuantes citra corpus consistent? deinde quis est qui vires materiales solvit a corporea compage, rursumque in unum congregat quae de corpore solvebantur? sane potestas sit oportet daemonica, atque ita istiusmodi daemon extabit priusquam generetur. sed habet praeterea communes quasdam difficultates haec opinio. qui enim ex iis quae vaticinium non habent nascitur vaticinium? qui ex corporibus non habentibus animam anima progeneratur? et ut uno verbo dicam, quomodo ab imperfectioribus perfectiora producuntur? sed et ipse istiusmodi productionis modus mihi videtur inexplicabilis; est enim impossibile producere substantiam per motiones animae perque vires corporibus inhaerentes; ex iis enim quae non habent nequit substantia produci.

Porro unde futurorum imaginatio fiet? a quo desumit vim divinatoriam? videmus enim nihil eorum quae per generationem se-

τῶν ἐνσπειρομένων διὰ γενέσεως οὐδὲν οὐδέποτε πλείονός τινος μεταλαμβάνοντος ἢ ὅσον δίδοται αὐτῷ ἀπὸ τοῦ πρώτως ἑαυτὸ ἀπογεννῶντος. τὸ δ' ἔοικε προσθήκην τινὰ περιττοτέραν παραδέχεσθαι ἀπὸ τοῦ μὴ ὄντος· εἰ μὴ ἄρα τις λέγοι τῇ ἀπὸ τῶν ζώων ὕλῃ τοὺς δαίμονας ἐπιβεβηκέναι, προσαγομένης δὲ αὐτῆς συμπαθῶς πρὸς αὐτὴν κινεῖσθαι. οὐκοῦν κατά γε ταύτην τὴν δόξαν οὐκ ἀπογεννῶνται οἱ δαίμονες ἀπὸ τῶν ἐν τοῖς σώμασι δυνάμεων, προηγούμενοι δ' αὐτῶν καὶ προϋπάρχοντες συγκινοῦνται αὐταῖς ὁμοειδῶς. εἰ δὲ δὴ ὅτι μάλιστα καὶ οὕτως εἰσὶ συμπαθεῖς, οὐχ ὁρῶ τίνα τρόπον εἴσονταί τι περὶ τοῦ μέλλοντος ἀληθές. οὐ γὰρ συμπαθοῦς δυνάμεως οὐδ' ἐνύλου καὶ κατεχομένης ἔν τινι τόπῳ καὶ σώματι τὸ προγιγνώσκειν μὲν καὶ προμηνύειν τὸ μέλλον, ἀλλὰ τοὐναντίον τῆς ἀπὸ πάντων τούτων ἀπολελυμένης. καὶ αὕτη δὴ οὖν ἡ δόξα τοιαύτας ἐχέτω τὰς εὐθύνας.

2. ἑαυτῷ D. 5. τις] τοῖς D. 6. προσαγομένῃ δὲ αὐτῇ AC, προσαγωμένη δὲ αὐτῇ D. 10. οὕτως] sic ACD, οὕτω O. 13. τινι] τισι D. 13. 14. προγιγνώσκειν] sic AC, προγινώσκειν D, προγνώσκειν O. 14. μὲν] sic Gale not., δὲ O. 15. ἀπὸ] ἐπὶ O. || τούτων om. O.

minantur maius aliquid habere quam quod ei traditur a causa principaliter generante. hoc autem insuper praestantissimam quandam accessionem videtur accipere ab eo quod nihil est. nisi quis dicat daemonas praesidere materiae quae est ab animantibus, et allata materia compatienter cum ea moveri. igitur iuxta hanc sententiam non generantur daemones a viribus quibusdam in corporibus latentibus, sed prius existentes conformiter ad eas commoventur. sed fac sic esse sympatheticos, nondum tamen intelligo qui possunt quidquam futurorum praevidere certo. praedictio enim futuri et praesignificatio non est opus naturae passibilis et materialis quaeque loco et tempore claudatur, sed e contra ab his omnibus solutae. ista igitur sententia his coërceatur correctionibus.

Αἱ δ' ἐπὶ τῇδε ἐπιστάσεις ἀνάγονται μὲν εὐθὺς ὡς διστάζουσαι περὶ τοῦ τρόπου τῆς μαντείας, προϊοῦσαι δὲ ἀνατρέπειν αὐτὴν παντελῶς ἐπιχειροῦσι. διελώμεθα οὖν καὶ ἡμεῖς τὸν λόγον πρὸς ἀμφότερα ταῦτα. ἀρξώμεθα δὲ διαλύειν πρῶτον τὰ πρότερα· κατὰ γὰρ τοὺς ὕπνους μηδὲν πραγματευσάμενοι ἐνίοτε τῷ μέλλοντι ἐπιβάλλομεν, καὶ πραγματευσάμενοι πολλάκις οὐκ ἐπιβάλλομεν. οὐχ ὅτι ἐξ ἡμῶν τε καὶ ἔξωθέν ἐστι τὸ αἴτιον τῆς μαντικῆς· ἐφ' ὧν γὰρ ὥρισται τὸ ἀφ' ἡμῶν προκατάρχον καὶ συνεπόμενον ἀπὸ τῶν ἔξωθεν, σύνταξίν τε ταῦτα συμπλεκομένην ἔχει πρὸς ἄλληλα, ὡρισμένως ἐπὶ τούτων τὰ ἔργα ἐπιτελεῖται, καὶ συνέπεται τοῖς προηγουμένοις τὰ πρὸς αὐτὰ συνηρτημένα· ὅταν δὲ ἀπολελυμένον ᾖ τὸ αἴτιον καθ' ἑαυτὸ προϋπάρχον, οὐχ ὥρισται τὸ τέλος ἐφ' ἡμῖν, τὸ δὲ πᾶν ἐπὶ τοῖς ἐκτὸς κεῖται. καὶ νῦν οὖν τὸ μὴ πάντως τοῖς ἡμετέροις ἔργοις συντρέχειν τὴν ἐν τοῖς ὀνείροις ἀλήθειαν καὶ τὸ πολλάκις αὐτὴν ἀφ' ἑαυτῆς ἐλλάμπειν, ἔξωθέν τε δείκνυσιν ἀπὸ θεῶν οὖσαν τὴν μαντείαν 23

4. ἀρξόμεθα D. 7. καὶ πραγματευσάμενοι — ἐπιβάλλομεν] sic ACD Fesch., om. O. 14. ἡμῖν] sic CD et Gale not.; ἡμῶν O. 15. πᾶν] πέρας A, περὶ C. 17. ἀφ'] ἐφ' D.

Argumenta autem quae posthac huc afferuntur prima quidem fronte subdubitare videntur de modo vaticinii, in progressu autem id penitus evertere conantur. quare et nos dirigamus sermonem nostrum contra horum utrumque. incipiamus autem dissolvere priora, per quietem cum nos nihil faciamus aliquando futuri cognitionem assequimur, quam tamen magno negotio elaborantes saepe non valemus assequi; nec tamen vaticinii causa partim a nobis partim ab extra sit. quarum enim rerum certo in nobis causa statuatur principalis et secundaria ab extra, si hae duae causae mutuo connexae sunt, sane effectus eveniunt certo et constanter ad has, et principalibus obtemperant quae ab iis pendent. quoties autem causa distincta a nobis sit et per se existens, non est in nostra potestate eventus, sed tota res pendet ab iis quae sunt extra. cum igitur veritas quae per somnia possit colligi non semper nostris operibus acquiritur, immo saepe sua sponte nobis affulgeat, hoc plane ostendit quod divinatio tum sit ab extra et diis ipsis tum etiam quod libera sit, et 23

καὶ ταύτην αὐτεξούσιον ὅταν βούληται καὶ ὡσὰν θέλῃ μετ᾽ εὐμενείας τὸ μέλλον ἀναφαίνουσαν.

24 Ταῦτα μὲν οὖν τοιοῦτον ἐχέτω τὸν ἀπολογισμόν· ἐν δὲ τοῖς μετὰ ταῦτα πειρώμενος τὸν τρόπον διερμηνεύειν τῆς μαντικῆς, ἀναιρεῖς αὐτὴν παντάπασιν. εἰ γὰρ πάθος ψυχῆς αἴτιον αὐτῆς καθίσταται, τίς ἂν εὖ φρονῶν ἀστάτῳ πράγματι καὶ ἐμπλήκτῳ πρόγνωσιν ἀποδοίη τεταγμένην καὶ σταθεράν; ἢ τί δήποτε σωφρονοῦσα μὲν ἡ ψυχὴ καὶ ἄτρεπτος οὖσα κατὰ τὰς βελτίονας ἑαυτῆς δυνάμεις τὰς νοερὰς καὶ διανοητικὰς ἀγνοεῖ τὸ ἐσόμενον, πάσχουσα δὲ κατὰ τὰς ἀτάκτους καὶ ταραχώδεις κινήσεις ἐπιβάλλει τῷ μέλλοντι; τί γὰρ δήποτε καὶ ἔχει τὸ πάθος οἰκεῖον εἰς τὴν θεωρίαν τῶν ὄντων; τί δὲ οὐ μᾶλλον ἐμποδίζει πρὸς ἀληθεστέραν κατανόησιν; ἔτι τοίνυν εἰ μὲν διὰ παθῶν τὰ πράγματα τὰ ἐν τῷ κόσμῳ συνίστατο, ἡ ὁμοίωσις ἂν τῶν παθῶν εἶχέ τινα πρὸς αὐτὰ οἰκειότητα, εἰ δὲ διὰ λόγων καὶ διὰ τῶν εἰδῶν ἐπιτελεῖται, ἄλλη τις

1. ὡς ἂν ἐθέλῃ ACD. 2. ἀναφαίνουσα ABD. 4. 5. διερμηνεύει τῆς C, διερμηνευτικῆς B. 5. 6. πάθους D. 7. ἀστράτῳ B. 7. 8. τεταμένην ABCD. 8. σοφρονοῦσα D. 10. ἀνόει D. || ἐσόμενον] sic BCD, ἑπόμενον A, ἐσσόμενον O.

quod quando vult et quomodo vult futura nobis revelet cum benevolentia.

24 Haec igitur istam habeant responsionem. in iis quae sequuntur, dum conaris modum divinationis explicare, ipsam funditus evertis. si qua animae perturbatio eius causa constituatur, quis est, modo quidquam sapiat, qui rei instabili et attonitae certam ratamque praecognitionem tribuere velit? aut quomodo anima sobria et imperturbata agensque secundum vires suas optimas, scil. intellectuales rationalesque, futura non prospiciat, perturbata vero motibus irregularibus et tumultuariis futurum coniectet? enimvero quid est in passione aptum et accommodatum ad rerum contemplationem? immo quid non ineptum potius ad veritatis perceptionem? praeterea si res ipsae in mundo per passiones conditae fuissent, utique passiones aliquam ad eas similitudinem affinitatemque haberent, cum vero rationibus et ideis constitutae fuerint et agantur, haud dubie alia est

αὐτῶν ἔσται ἡ πρόγνωσις ἀπηλλαγμένη παντὸς πάθους. ἔτι τὸ πάθος μόνου τοῦ παρόντος αἰσθάνεται καὶ τοῦ ἤδη ὑφεστηκότος, ἡ δὲ πρόγνωσις καὶ τῶν μηδέπω ὄντων ἀντιλαμβάνεται· ἕτερον ἄρα ἐστὶ τὸ προγινώσκειν τοῦ πάσχειν.

Σκεψώμεθα δὴ καὶ τὰ τεκμήριά σου τῆς τοιαύτης δόξης. τὸ μὲν δὴ καταλαμβάνεσθαι τὰς αἰσθήσεις πρὸς τὸ ἐναντίον τείνει ἢ οἷον σὺ λέγεις· γνώρισμα γάρ ἐστι τοῦ μηδὲν φάντασμα ἀνθρώπειον τηνικαῦτα ἀνακινεῖσθαι. οἱ δὲ προσενεχθέντες ἀτμοὶ πρὸς τὸν θεὸν ἔχουσι τὴν συγγένειαν, οὐ πρὸς τὴν ψυχὴν τοῦ ἐποπτεύοντος. αἵ τε ἐπικλήσεις οὐκ ἐπιπνοίας τῆς διανοίας ἀνεγείρουσιν, ἢ σωματικὰ πάθη ἐν τῷ δεχομένῳ· ἄγνωστοι γάρ εἰσι παντελῶς καὶ ἀπόρρητοι, μόνῳ δὲ τῷ θεῷ γνωρίμως λέγονται ὃν ἐπικαλοῦνται· τὸ δ' εἶναι μὴ πάντας ἀλλὰ τοὺς ἁπλουστέρους καὶ νέους ἐπιτηδειοτέρους, δηλοῖ τοῦτο ὡς εἰς καταδοχὴν τῷ ἔξωθεν ἐπεισιόντι καὶ κατέχοντι πνεύματι οἱ τοιοῦτοί εἰσιν ἑτοιμότεροι. ἐκ δὴ τούτων οὐ καλῶς στοχάζῃ πάθος εἶναι τὸν ἐνθουσιασμόν, συμβαίνει γὰρ

4. τοῦ πάσχειν om. D 8. ἀνθρώπιον BD. 10. τε additum ex ACD. 16. ἐπισιόντι BD. 17. οὐ καλῶς] sic ACD, οὐκ ἄλλως B, οὐκ ἀληθῶς O. 18. στοχαζῃ] τοπάζει AC, τοπάζῃ D.

et ab omni passione seiuncta cognitio quae eas praevidet. denique percipit tantum praesentia et iam existentia passio, praenotio ea quae nondum sunt antevertit. igitur aliud est praevidere aliud passionibus agitari.

Examinemus porro argumenta huius tuae opinionis. quod igitur sensus occupentur, alio ac tu opinaris tendit; est enim indicium, quod nullum humanum phantasma tum excitetur. suffumigationes vero quae solent afferri non respiciunt animam spectantis, sed ad deum habent affinitatem. invocationes autem non excitant mentis nostrae inspirationes, aut passiones corporeas in suscipiente; sunt enim ignorabiles prorsus et ineffabiles, solique deo quem invocant notae canuntur. quod autem non omnes sed simpliciores et iuniores ad vaticinandum apti sint, hoc satis ostendit istos ad suscipiendum spiritum ab extra venientem obsidentemque aliis esse paratiores. sed ex his signis non recte coniectas passionem esse enthusiasmum,

ἀπό τε τούτων τῶν σημείων ἔξωθεν αὐτὸν ὡς ἐπίπνοιαν ἐπιρρεῖν.

25 *Ταῦτα μὲν οὖν οὕτως ἡμῖν ἐχέτω· τὸ δὲ ἐπὶ τούτοις ἀπὸ τῆς ἐνθέου παραφορᾶς ἐπὶ τὴν ἔκστασιν τῆς διανοίας τὴν ἐπὶ τὸ χεῖρον ἀποπίπτει, τήν τε ἐν τοῖς νοσήμασι συμπίπτουσαν μανίαν παραλόγως αἰτίαν εἶναί φησι τῆς μαντικῆς. χολῆς γὰρ πλεονασμοῖς ὡς ἔστιν εἰκάσαι τῆς μελαίνης καὶ μέθης παρατροπαῖς καὶ τῇ λύσσῃ τῇ ἀπὸ λυσσώντων κυνῶν συμβαινούσῃ τὸν ἐνθουσιασμὸν ἀπεικάζει. δεῖ τοίνυν ἐξ ἀρχῆς διελέσθαι διχῇ τὰ εἴδη τῆς ἐκστάσεως, ὧν τὰ μὲν ἐπὶ τὸ χεῖρον παρατρέπεται καὶ τὰ μὲν ἀνοίας πληροῖ καὶ παραφροσύνης, τὰ δὲ τῆς παρ' ἀνθρώποις σωφροσύνης τιμιώτερα ἀγαθὰ παρέχει· καὶ τὰ μὲν ἐπὶ τὴν ἄτακτον καὶ πλημμελῆ καὶ ὑλικὴν ἀποπίπτει κίνησιν, τὰ δ' ἐπιδίδωσιν ἑαυτὰ πρὸς τὴν ἐξάρχουσαν αἰτίαν καὶ αὐτῆς τῆς ἐν τῷ κόσμῳ διατάξεως· καὶ τὰ μὲν ὡς ἐστερημένα τῆς γνώσεως παραφέρεται ἀπὸ τοῦ φρονεῖν, τὰ δ' ὡς συναπτόμενα τοῖς ὑπερέχουσι πάσης*

1. *αὐτοῦ* BD. 4. *ἔκτασιν* D. 5. *ἀποπίπτει*] sic ACD, *ἀποπίπτειν* O. 5. 6. *νοήμασι* B. 8. *λύσσει* A, *λύσει* C. 9. *ἀπὸ*] *ἀπὸ τῶν* ACD. || *λυσσώντων*] sic ACD, *λυσσόντων* B, *λυσσάντων* O. 10. *εἴδη*] *ἤδη* B. 11. *ὧν*] *ὡς* ACD. 18. *συναττόμενα* D. || *πάσης*] sic ACD, *πᾶσι* O.

fit enim per haec signa manifestum quod extrinsece influit quemadmodum et afflatus.

25 Atque haec nobis ita se habere videntur; quod autem mox sequitur abit prorsus a divina alienatione mentis, ac ecstasin quae mentem in deterius flectit causamque vaticinii assignat, sed perperam, insaniam ex valetudine ortam. comparat enim quantum coniicere licet enthusiasmum melancholiae redundantiae et ebrietatis concitationibus et rabiei quam canes rabiosi efficiunt. quare oportet ab initio ecstasin in duas species distribuere. quarum illa in deterius nos trahit impletque amentia et imprudentia, haec autem munera meliora nobis praebet quam possit humana prudentia; rursus illa ad motum irregularem enormem materialem declinat, haec tradit se ipsam causae illi supremae quae ipsum mundi ordinem gubernat; illa cognitione orbata delabitur ab omni prudentia, haec connectit cum

τῆς ἐν ἡμῖν φρονήσεως· καὶ τὰ μέν ἐστιν ἐν τροπῇ τὰ δ' ἄτρεπτα· καὶ τὰ μὲν παρὰ φύσιν τὰ δ' ὑπὲρ τὴν φύσιν· καὶ τὰ μὲν καταγωγὰ ψυχῆς τὰ δὲ ἀναγωγά· καὶ τὰ μὲν διίστησιν ἔξω παντάπασι τῆς θείας μοίρας, τὰ δὲ πρὸς αὐτὴν συνάπτει.

Διὰ τί δὴ οὖν τοσοῦτον ἀπεσφάλη ὁ λόγος τῆς προκειμένης ὑποθέσεως, ὡς ἐπὶ τὰ ἔσχατα παρενεχθῆναι τῆς μανίας κακὰ ἀπὸ τῶν πρωτείων καὶ ἀγαθῶν; τί γὰρ δὴ ταῖς μελαγχολίαις ἢ μέθαις ἢ ταῖς ἄλλαις ταῖς ἀπὸ τοῦ σώματος ἐγειρομέναις παρακοπαῖς προσέοικεν ὁ ἐνθουσιασμός; τίς δ' ἂν μαντεία ποτὲ ἐγγένοιτο ἀπὸ τῶν νοσημάτων τοῦ σώματος; οὐχ ἡ μὲν τοιαύτη παραγωγὴ διαφθορὰ παντελής ἐστιν, ἡ δὲ θεοφορία τελειότης καὶ σωτηρία τῆς ψυχῆς; οὐ κατ' ἀσθένειαν μὲν ἡ φαύλη συμπίπτει, κατὰ πλήρωσιν δὲ δυνάμεως ἡ βελτίων; ὡς δ' ἁπλῶς εἰπεῖν ἡ μὲν ἡσυχάζουσα κατὰ τὴν οἰκείαν ζωὴν καὶ σύνεσιν ἑτέρῳ παραδίδωσι τὴν ἑαυτῆς χρῆσιν, ἡ δὲ τὰς οἰκείας ἐνεργείας ἐνεργοῦσα κάκιστα καὶ θορυβωδῶς ταύτας ἀποδίδωσι.

3. *ἀναγωγά*] *ἀγωγά* D. 8. *πρώτων* B, *προτείων* D. 11. 12. *νοσημάτων*] *δημάτων* AC, *σωμάτων* D, *σημάτων* B. 18. *κακίστως* Gale not. || *θορυβωδῶς*] „In Ms. *θορυβώδους* et forte leg. *κακίστας*“ sic Moserus legerat anno 1810 in margine codicis B, nuper autem, anno 1855, Leemansius: „In Ms. *θορυβώδου* etc. forte leg. *κακί*....“

luminibus superioribus omni nostra sapientia; illa instabilis haec constans, illa contra haec supra naturam, illa animam erigit haec opprimit, illa extra divinam portionem exorbitat prorsus, haec ad eam accommodat.

Quid est igitur, miror, quod huius opinionis sermo eo usque evagatus fuerit, ut a primis et bonis ad mala insaniae extrema deflecteret? qua autem in re divinus raptus convenit cum melancholia aut ebrietate aut aliis a corpore bullientibus perturbationibus? aut quae tandem vaticinatio oriri posset a corporis morbis? annon ista detorsio omnino animae corruptela est, divinus vero instinctus salus et perfectio? annon prava ecstasis ex infirmitate continget, melior autem ex plenitudine perfectionis? ut verbo dicam haec quidem vacans secundum propriam vitam et intelligentiam superiori se dat utendam, illa proprias operationes operans eas edit perversas et turbulentas.

Κἀκείνη τοίνυν ἡ διαφορὰ πάντων ἐστὶν ἐναργεστάτη, ὡς ἄρα ἐπὶ τῶν θείων πάντα τὰ ἔργα ἐξήλλακται. ὥσπερ γὰρ ἐξῄρηται τὰ κρείττονα γένη παρὰ πάντα τὰ ἄλλα, οὕτω καὶ τὰ ἐνεργήματα αὐτῶν οὐδενὶ τῶν ὄντων προσέοικεν. ὥστε ἂν εἴπῃς θείαν παραφοράν, ἄφελε πάσας εὐθὺς τὰς ἀνθρωπίνας παρατροπάς. καὶ ἐὰν νῆψιν αὐτοῖς ἱερατικὴν ἀποδῷς, μηκέτι σκόπει τὴν ἀνθρωπίνην νῆψιν, ὡς οὖσαν ἐκείνῃ παραπλησίαν. πάντως δὲ τὰς κατὰ τὰ νοσήματα τοῦ σώματος οἷον ὑποχύσεις καὶ τὰς ἀπὸ τῶν νοσημάτων κινουμένας φαντασίας μὴ παράβαλλε ταῖς θείαις φαντασίαις· τί γὰρ δὴ κοινὸν αὗται πρὸς ἀλλήλας ἔχουσι; μηδ' αὖ τὰς ἀμφιβόλους καταστάσεις, οἷον μεταξὺ νήψεώς τε καὶ ἐκστάσεως, παραθῇς ποτὲ ταῖς ὡρισμέναις κατὰ μίαν ἐνέργειαν ἱερατικαῖς τῶν θεῶν ὄψεσιν. ἀλλὰ μηδὲ ταῖς ἀπὸ τῆς γοητείας τεχνικῶς κατασκευαζομέναις φαντασίαις παράβαλλε τὰς ἐναργεστάτας θεωρίας τῶν θεῶν· οὔτε γὰρ ἐνέργειαν οὔτε οὐσίαν τῶν ὁρωμένων

8. *πάντως*] sic AC, *πάντων* O. 8. 9. *τὰς κατὰ τὰ*] sic A, *ἥκιστα τὰ* B et Gale not., *ἡ κατὰ τὰ* O, *ἡ κατὰ* D. 12. *ἔχουσαι* O. 15. *τοῖς* A. 16. *ἐναργεστάτας*] sic C, *ἐνεργεστάτας* O.

Haec igitur differentia erit omnium maxime notabilis quod in divinis omnia opera ab aliis plurimum discrepent. nam quemadmodum meliora genera ab aliis omnibus distant, ita eorum operationes nihil habent commune cum naturalibus. quoties ergo loqueris de divina ecstasi, tolle statim omnes humanas perversiones. quinetiam si sobrietatem vigilantiamque sacram diis attribuas, noli humanam tamquam similem cum ea conferre sobrietatem. minime vero omnium corporis morbos veluti suffusiones et motas a morbo phantasias cum divinis phantasiis oportet contendere. quid enim hae inter se habent commune? rursum ambiguum hominis statum inter sobrium et alienatum, ne similem putes statui animae sacrae, uno simplicique intuitu deos spectantis. sed nec comparare velis certissimas deorum conspectiones cum obscuris istis imaginibus arte venefica paratis. nam istiusmodi imaginamenta nec actionem nec essentiam earum re-

οὔτε ἀλήθειαν αὗται ἔχουσιν, ἄχρι δὲ τοῦ δοκεῖν φαντάσματα ψιλὰ προτείνουσι.

Πάντα δὴ οὖν τὰ τοιαῦτα ἀπορήματα ὡς ἀλλοτρίως προσαγόμενα καὶ ἀπὸ τῶν ἐναντίων ἐπὶ τὰ ἐναντία μεταφερόμενα οὐχ ἡγούμεθα ἅπτεσθαι τῆς προσηκούσης ὑποθέσεως· ὅθεν καὶ ἡμεῖς παραδείξαντες αὐτῶν τὸ ἀπηρτημένον, οὐκέτ' οἰόμεθα δεῖν ἐν αὐτοῖς ἐπὶ πλεῖον διατρίβειν, ὡς ἐριστικῶς περιπλανωμένοις ἀλλ' οὐχὶ μετά τινος φιλοσοφίας ἐπεζητημένοις.

Πολλὰ μὲν οὖν ἄν τις θαυμάσειε καὶ ἄλλα τῆς ἀν- 26
τιλογικῆς καινοτομίας, ἀτὰρ δὴ καὶ τὴν ἐναντίωσιν τῶν δοξασμάτων καταπλαγείη ἂν εἰκότως, εἰ τῆς ὅλης ὑποθέσεως φαινομένης μόνον παρὰ τοῖς γόησιν, οὔσης δὲ οὐδαμῶς καὶ παρὰ τοῖς ἐκ πάθους ἢ νοσήματος ὁρμωμένοις, ἀπατηλῶς πάντῃ διακειμένοις τολμᾷ λέγειν, ὡς ἔνεστι καὶ τῆς ἀληθείας αὐτοὺς τυγχάνειν. ποία γὰρ

3. *δὴ οὖν*] sic AC, *δὲ* O. 4. 5. *μεταφερόμενα*] sic AC Reg. *φερόμενα* O. 6. *αὐτῶν* A. 8. *ὁριστικῶς* D. 12. *εἰ τῆς*] *εἴ τις* vel *εἴ τις τῆς* Gale not. 13. *μόνον*] sic ACD Fesch., *μόνης* O. 13—15. *παρὰ τοῖς ἐκ πάθους — διακειμένοις* infra post *ἀληθῶν* collocanda censet Gale not. 14. 15. *ὁρμωμένοις*] sic AC, *ὁρμημένοις* D, *ὡρμωμένοις* O. 15. *ἀπατελῶς* A. ‖ *πάντῃ*] sic A, *πάντη* C, *πάντα* O. 15—16. *τολμᾷ λέγειν — τυγχάνειν* supra post *οὐδαμῶς* collocat Galé not. 15. *τολμᾷ*] sic ACD, *τολμᾶν* O.

rum quae apparent, nec veritatem continent, utpote quae usque ad apparendum tantum imaginamenta procudunt.

Sed haec omnia allata dubia, ut quae satis peregrina sunt et aliena et in utramque partem contrarie propendentia, non iudicamus ad praesentem hypothesin proprie pertinere. quare cum nos abunde ostenderimus quam male huc trahantur, non existimamus operae pretium his immorari, ut quae potius contendendi studio quam philosophicae disquisitionis gratia proferantur.

Sed et alia sunt quam plurima, in quibus mirari subeat contra- 26
dicendi innovandique studium; quinetiam obstupescat merito quis repugnantiam opinationum, si quis ausit dicere esse veritatem penes magicos artifices, quorum totum negotium per apparentias meras nequaquam ex rerum natura geratur, aut esse penes eos qui ex passione aut morbo incitantur, cum omnino incerto et deceptorie agantur.

ἀρχὴ τῶν ἀληθῶν ἢ τίς ἀφορμὴ ἢ μικρὰ ἢ μείζων ἐνυπάρξειε τῆς ἐπὶ τὸ ἐν αὐτοῖς ἐπιβολῆς; δεῖ δὲ μὴ τοιαύτην λαμβάνειν τὴν ἀλήθειαν, οἵα γένοιτ' ἄν ποτε καὶ κατὰ συντυχίαν· ἐπεὶ τοί γε καὶ τοῖς εἰκῇ φερομένοις συμπίπτει γράφεσθαι· μηδὲ τοιαύτην οἵα τὰ δρώμενα πρὸς τὰ δρῶντα συνομολογεῖ συμφώνως· καὶ γὰρ καὶ ταῖς αἰσθήσεσι καὶ ταῖς φαντασίαις τῶν ζώων ταῦτα σύνεστιν· οὐδὲν οὖν ἔχει οἰκεῖον οὐδὲ θεῖον οὐδὲ κρεῖττον τῆς κοινῆς φύσεως ἀληθές· ἀλλ' ἥτις ἕστηκε κατ' ἐνέργειαν ὡσαύτως καὶ παροῦσαν ἔχει τῶν ὄντων τὴν ὅλην εἴδησιν, τῇ τε οὐσίᾳ τῶν πραγμάτων συμφυής ἐστι· καὶ ἀπτῶτι τῷ λόγῳ χρῆται καὶ τελείως οἶδε πάντα καὶ ἀραρότως καὶ ὡρισμένως. ταύτην τῇ μαντείᾳ συναπτέον. πολλοῦ ἄρα δεῖ φυσική τις εἶναι αὕτη, οἵα τῶν ζώων ἐνίοις σεισμῶν ποτὲ καὶ ὑετῶν ἐμπέφυκε πρόληψις. συμπαθὴς γὰρ αὕτη ἄλλως συμβαίνει συγκινουμένων τινῶν ζώων μοίραις τισὶ

1. 2. *ἐνυπάρξειε*] sic ACD Fesch., *ἐνυπάρξει* O. 2. *τῆς ἐπὶ τὸ ἐν αὐτοῖς ἐπιβολῆς*] *τῇ ἀπὸ τῶν ἀνοήτων ἐπιβολῇ* Gal. notis et versione. 5. *συμπίπτει γράφεσθαι*] *συμπίπτειν γράφεται* legisse videtur Scutellius, quem sequutus est Gale in versione. 15. *πρόληψις*] sic AD et corr. B, *πρόσληψις* O. 16. *μοῖραι* CD.

quod quaeso veritatis principium aut quae occasio ad id quod est comprehendendum, sive maior sive minor, istis insanientibus inesse possit? non autem oportet sic intelligere vaticinii veritatem hanc, ut in eam fortuna quis impingat; nam in iis quae temere feruntur ea cadere scribitur. sed nec ea est veritas quae est inter agens et patiens quoties recte et congrue se habent. nam huiusmodi veritas ipsis brutorum phantasiis et sensibus inest; nihil itaque habet proprium aut divinum aut melius communi natura. sed veritas vaticinii stat in actu eodem modo et rerum omnium praesentem habet cognitionem, rerum essentiis naturaliter respondet, utitur rationibus non errantibus; perfecte apte et certo novit omnia. haec igitur vaticinio convenit. longe ergo aliud est quam naturalis quaedam praesensio, qualis terrae motuum et pluviarum quibusdam conceditur animalibus. ista enim sympathia contingit quoties nonnulla animalia una moveantur cum partibus viribusque quibusdam mundi aliquid

τοῦ παντὸς καὶ δυνάμεσιν, ἢ διά τινα αἰσθήσεως ὀξύτητα προαισθανομένων τῶν περὶ τὸν ἀέρα μὲν ἤδη συμπιπτόντων πραγμάτων, οὐδέπω δὲ τοῖς περὶ γῆν τόποις συμφερομένων.

Εἰ δὴ ταῦτα ἀληθῆ λέγομεν, οὐ δεῖ, εἴ τινα ἐκ φύσεως ἐπιβολὴν εἰς τὰ ὄντα παρειλήφαμεν ἢ τοῦ μέλλοντος ἐπαφήν, ἐγκρίνειν ταύτην ὡς μαντικὴν πρόγνωσιν· ἀλλ' ὁμοία μέν ἐστι μαντικῇ, πλὴν οὐδὲν αὐτῇ βεβαιότητος ἢ ἀληθείας ἀπολείπεται· τὸ δ' ὡς ἐπὶ τὸ πολὺ τυγχάνον οὐκ ἀεί ἐστι· καὶ ἐπί τινων μέν, οὐχὶ δ' ἐπὶ πάντων ἀληθὲς ἐροῦσι· ὅθεν δὴ οὐδ' εἴ τίς ἐστιν ἐν ταῖς τέχναις, ὥσπερ ἐν κυβερνητικῇ τε καὶ ἰατρικῇ προσκοποῦσα τὸ μέλλον μάθησις, οὐδὲν προσήκει τῇ θείᾳ προγνώσει· ἐξ εἰκότων γὰρ ἀναλογίζεται τὸ μέλλον καὶ σημείοις τισὶ τεκμηριοῦται καὶ τούτοις οὐκ ἀεὶ πιστοῖς οὐδ' ὡσαύτως συνηρτημένον ἔχουσι τὸ δηλούμενον, οὗπέρ ἐστι τὰ σημεῖα δείγματα. τῆς δὲ θείας προνοίας τῶν ἐσομένων βέβαιος

1. *τινα*] sic AC, *τινος* O. || *ὀξύτητα*] sic ACD, *ὀξύτατα* O. 3. *οὐδέπω δὲ*] sic AD, *οὐδέποτε* O. 8. *μαντικῆς* (corr. *μαντικὴ*) B. || *αὕτη* AD. 10. *ἐστι*] sic Reg *δὲ* O. 10. 11. *ἀληθὲς* addidi e Regio. 11. *ἐροῦσι*] sic Reg., *ἐροῖσα* margo B, *αἱροῦσα* O. 12. *προσκοποῦσαι* D. 15. *τεχμηριοῦται* O.

futurum molientibus, vel propter sensus acumen per quod praesentiant quaedam quae in aëre fiunt, cum nondum ad terram appropinquaverint.

Haec si vere dicta sunt, tum si quam a natura ad res coniectandas hausimus sagacitatem aut futurorum perceptionem, non statim hanc esse vim divinatricem iudicare oportet. habet forte aliquam similitudinem cum ea vaticinatione, nisi quod plurimum deficit a firmitudine veritatis; quod autem est ut plurimum, non semper est; et in quibusdam, non tamen in omnibus vera pronunciant. unde porro si qua sit in artibus, puta nautica aut medica futuri cognoscendi disciplina, nihil illa quidem cum divina praecognitione communicat; futurum enim ex probabilibus colligit et ex signis quibusdam coniicit, non veris semper nec eodem modo id cuius sunt signa secum connexum habentibus. divinae vero providentiae futurorum anteit

ἡ εἴδησις προηγεῖται, καὶ ἀπὸ τῶν αἰτίων ἀμετάπτωτος ἡ πίστωσις, συνηρτημένη τε πάντων πρὸς ἅπαντα ἀδιάλυτος κατάληψις, καὶ ὡσαύτως ἀεὶ μένουσα τῶν ὅλων ὥσπερ παρόντων καὶ ὡρισμένων διάγνωσις.

27 Οὐ δὴ τοῦτο λέγειν δεῖ, ὡς καὶ φύσις καὶ τέχνη καὶ ἡ συμπάθεια τῶν ὡς ἐν ἑνὶ ζώῳ τῷ παντὶ μερῶν προδηλώσεις ἔχει τινῶν πρὸς ἄλληλα, οὐδ' ὅτι τὰ σώματα οὕτω κατεσκεύασται ὡς εἶναι προσημασίαν ἀπὸ τῶν ἑτέρων εἰς τὰ ἕτερα. καὶ πάνυ γὰρ ταῦτα ἐναργῶς ὁρώμενα τῆς θείας μαντικῆς ἴχνος τι τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον παρεσπάσατο· οὐδὲ γὰρ δυνατὸν ἄμοιρα αὐτῆς εἶναί τινα παντελῶς· ἀλλ' ὥσπερ ἐν πᾶσιν εἰκὼν τἀγαθοῦ τὸν θεὸν ἐμφέρεται, οὕτω καὶ τῆς θείας μαντικῆς εἴδωλόν τι ἀμυδρὸν ἢ καὶ ἐναργέστερον ἐν αὐτοῖς καταφαίνεται. ἀλλ' οὐδὲν τούτων ἐστὶν οἷον τὸ θεῖον τῆς μαντικῆς εἶδος, οὐδ' ἀπὸ τῶν πολλῶν τῶν εἰς τὴν γένεσιν ἀπ' αὐτῆς καθηκόντων φαντασμάτων τὸ ἓν αὐτῆς καὶ θεῖον καὶ ἄμικ-

2. *συνηρτεμένη* A. || *τε* om. O. 2. 3. *ἀδιαλύτως* CD. 4. *διάγνωσιν* D. 5. *τοῦτο λέγειν*] sic A, *λέγειν τοῦτο* O. 6. *ἐν* om. C. || *ζώων* BD. 12. *τ' ἀγαθοῦς* O. 14. *ἐναργέστερον*] sic ACD, *ἐνεργέστερον* O. 17. *φασμάτων* C.

certa stabilisque visio, fidesque vacillare nesciens cum causis rerum connexa, omniumque cum omnibus indissolubilis colligatio, nec non universarum tamquam praesentium et definitarum rerum eodem semper tenore persistens comprehensio.

27 Sed nec illud dicere oportet, quod quarundum rerum mutuas praesignificationes exhibeat natura et ars et sympathia quae est inter partes universi tamquam essent unius animalis, neque illud quod omnia corpora sic sint disposita ut ab aliis ad alia indicium subministretur. nam revera haec manifeste conspecta divinae mantices vestigium aliquod nunc magis nunc minus exprimunt; neque enim aliquid est quod prorsus vaticinii divini expers sit: sed quemadmodum in omnibus boni imago deum refert, sic et divinae mantices in omnibus relucet simulacrum nunc obscurius nunc clarius. nihil tamen ex his tale est quale divina vaticinii species, neque oportet describere eius uniformitatem divinitatem simplicem rationem per multiplicia simulacra quae ab ea in genesin derivata fuere; multo minus

τον εἶδος χαρακτηριστέον· οὐδ' εἴ τινα ἄλλα πορρωτέρω καὶ τούτων ἀπῴκισται ψευδῆ καὶ ἀπατηλὰ ἰνδάλματα, ταῦτα παραφέρειν ἄξιον εἰς τὴν περὶ αὐτῆς κρίσιν. ἀλλ' ἕνα λόγον καὶ μίαν τάξιν καὶ καθ' ἓν τὸ θεῖον εἶδος καὶ κατὰ μίαν τὴν νοητὴν καὶ ἀμετάπτωτον ἀλήθειαν συλληπτέον αὐτό, ὡσαύτως καὶ τὴν ἄλλοτε ἄλλως ἐξισταμένην μεταβολὴν ὡς ἀστάθμητον καὶ ἀνάρμοστον τοῖς θεοῖς ἀτιμάζοντας.

Εἰ δὴ τοιοῦτόν ἐστι τὸ ὄντως μαντικὸν θεῖον ἔργον, τίς οὐκ ἂν αἰσχυνθείη τὴν ἄνευ διανοίας καὶ οὐ τὰ γιγνόμενα ἀποτελοῦσαν φύσιν παραφέρειν, ὡς κατασκευήν τινα ἀπεργαζομένην ἐν ἡμῖν μαντικήν, καὶ τοῖς μὲν μᾶλλον ἐντιθεῖσαν τοῖς δὲ ἧττον τὴν ἐπιτηδειότητα ταύτην; ἐν οἷς μὲν γὰρ ἄνθρωποι πρὸς τὴν οἰκείαν τελειότητα ἀφορμὰς εἰλήφασι παρὰ τῆς φύσεως, ἐν τούτοις καὶ τῆς φύσεως προηγοῦνταί τινες ἐπιτηδειότητες· ἐν οἷς δὲ ἀνθρώπινον μὲν οὐδὲν ἔργον πρόκειται, οὐδὲ τέλος ἡμέτερον· θεῖον δ' εἴ τι προτέτακται πρεσβύτερον τῆς φύσεως ἡμῶν ἀγαθόν, οὐκ ἔστιν ὅπως ποτὲ ἐν τούτοις εὐφυία τις ἂν

2. ἀπόκισται D. 6. καὶ τὴν] sic Fesch., τὴν D, om. O. 18 δ' εἴ scripsi, δέ O.

aequum est in collatione cum ea adducere si qua alia sunt dictis istis alieniora falsa et fallacia imaginamenta. sed divina haec species vaticinii definienda est per unam rationem unum ordinem unamque intelligibilem immutabilemque veritatem: pariterque respuere debemus omnem variationem aliter atque aliter errabundam, ut quae instabilis sit et diis nequaquam conveniens.

Quare si verum vaticinium sit adeo dei opus manifestum, quis non erubescat tantum tribuere caecae naturae quaeque ne sua quidem opera per se perficiat, ac si efficeret in nobis dispositiones ad vaticinium, atque hos quidem magis illos minus praepararet? sane quibus in rebus ad naturalem perfectionem hausimus a natura incitamenta, ad easdem a natura praevia nobis conceduntur semina et aptitudines; quibus autem in rebus nihil de nostro praecurrit, nec earum finis noster censendus est. quando autem divinum aliquod bonum praestruatur, quodque natura nostra prius sit, ibi non potest substerni ad id perficiendum naturae bonitas. quibus enim perfectio

ὑποκατασκευασθείη· ὧν γάρ εἰσιν αἱ τελειότητες, τούτων ἐγγίγνονται καὶ αἱ ἀτελεῖς κατασκευαί. ἀνθρώπων δέ εἰσιν αὗται ἀμφότεραι αἱ ἕξεις· ἃ δ' ἐστὶ μὴ ὡς ἀνθρώποις παρόντα, τούτων οὐκ ἔσται ποτὲ ἐκ φύσεως παρασκευή· θείας ἄρα μαντικῆς οὐδέν ἐστι σπέρμα ἐν ἡμῖν ἐκ φύσεως· ἀλλ' εἰ μέν τις κοινότερον καὶ ἀνθρωπίνην τινὰ καλοίη μαντικήν, τῆς ἀνθρωπίνης ἔστω φυσική τις παρασκευή· ἣν δ' ἂν ὄντως τις μαντικὴν ἐπονομάσειε, τὴν τοῖς θεοῖς προσήκουσαν, οὐ δεῖ νομίζειν ταύτην ἐνσπείρεσθαι ἀπὸ φύσεως· τά τε γὰρ ἄλλα καὶ τὸ ἀόριστον αὐτῇ κατὰ τὸ μᾶλλον καὶ ἧττον συνομαρτεῖ, καὶ διὰ τοῦτο δὲ τῆς μενούσης ἐν σταθεροῖς πέρασι μαντικῆς θείας χωρὶς διέστηκε.

Διόπερ δὴ καὶ πρὸς τοῦτο ἰσχυρῶς μάχεσθαι δεῖ, ἐάν τις ἐξ ἡμῶν εἶναι λέγῃ τὴν μαντικήν. φέρεις δὲ καὶ σὺ τούτου δείγματα ἀπὸ τῶν ἔργων ἐναργῆ· τὸ γὰρ λίθους καὶ βοτάνας φέρειν τοὺς καλουμένους, δεσμεῖν τε ἱερούς τινας δεσμοὺς καὶ λύειν τούτους, τά τε κεκλεισμένα ἀνοίγειν καὶ τὰς προαιρέσεις μεταβάλλειν τῶν ὑποδεχο-

2. ἐγγίγνονται] sic AD, ἐγγίνονται O. 6. κοινότερον om. D. 13. πρὸς] περὶ B. 14. λέγῃ] sic Fesch, λέγη ACD, λέγει O. || φέρῃς AC. 15. ἐναρχῇ B. 17. κεκλισμένα D.

tribuitur, ad eadem et imperfectiones et rudimenta pertinebant. sed huiusmodi utrique habitus competunt hominibus, non diis: quare nobis prout homines sumus quae non competunt, eorum neque dispositiones in nostra natura quaerendae sunt. ergo nec semina erunt divinae mantices in nobis a natura; si quis tamen generalius loquendo humanam aliquam esse dixerit vaticinationem, istiusmodi humanae vaticinationis fit etiam a natura apparatus. quam autem vero nomine manticen dixeris, diisque dignam, huius non oportet semina a natura inseri existimare. nam cum alia quaedam tum hanc perpetuo sequitur infinitudo secundum magis et minus, quamobrem longe abest a divina mantice quae ratis et certis terminis semper permanet.

Quae cum ita sint, acriter repugnare oportet, si quis e nobis manticen oriri contendat. cuius rei argumenta ex ipsa experientia manifesta adfers; quod soleant qui advocant in hominem vaticinium lapides et herbas gerere, vinculaque sacra ligare eademque solvere, clausa aperire, recipientium proposita mala mutare in melius, haec

μένων, ὥστε ἐκ φαύλων σπουδαίας ἀπεργάζεσθαι, πάντα δὴ ταῦτα ἔξωθεν τὴν ἐπίπνοιαν γίγνεσθαι διασημαίνει· χρὴ δὲ οὐ τοῦτο μόνον προλαμβάνειν, ἀλλὰ καὶ τίς ἐπίπνοια θεία παραγενομένη τὴν θείαν μαντικὴν ἀπεργάζεται τελείως ἀφορίζεσθαι· εἰ δὲ μή, οὐ πρότερον ἐσόμεθα γνωμονικοὶ ταύτης, ἐὰν μὴ τὸ οἰκεῖον ἐπ' αὐτῇ σημεῖον ἐπιβάλλοντες, ἴδιον αὐτῇ γνώρισμα καθάπερ τινὰ σφραγῖδα προσαρμόσωμεν.

Καὶ τοῦτο μὲν ὀλίγον ἔμπροσθεν ἡμῖν διηκρίβωται·
ὃ δὲ προτείνεις ὡς οὐδαμῶς ἀπόβλητον τὸ ἀναγεννητικοὺς 28
εἶναι τῶν δραστικῶν εἰδώλων, θαυμάσαιμ' ἂν εἴ τις ἀποδέξαιτο τῶν τὰ ἀληθινὰ εἴδη τῶν θεῶν θεωρούντων θεουργῶν. διὰ τί γὰρ ἄν τις εἴδωλα ἀντὶ τῶν ὄντως ὄντων ἀνταλλάξαιτο, καὶ ἀπὸ τῶν πρωτίστων ἐπὶ τὰ ἔσχατα ἂν ἀπενεχθείη; ἢ οὐκ ἴσμεν ὡς πάντα ἀμυδρῶς ἐστι κατὰ τὴν τοιαύτην σκιαγραφίαν, καὶ οὔτε ἀληθῆ φαντάσματά ἐστι τοῦ ἀληθοῦς, καὶ τὰ ἀγαθὰ δοκοῦντα φαίνεται, ὄντα δὲ οὐδέποτε; καὶ τὰ ἄλλα ὡσαύτως ἐν τῷ γίγνεσθαι ἐπεισ-

4. *θεία*] sic ACD, *θείως* O. 7. *ἐπιβαλόντες* A Reg. || *ἴδιον αὐτῇ*] sic A, *αὐτῇ ἴδιον* O. 11. *εἶναι* ex Ficini versione add. Gale not. 12. *θεωρόντων* C. 16. *οὔτε*] sic Gale not., *τότε* AD, *τά τε* O.

certe omnia significant afflatum venire aliunde. quod ipsum non tantum oportet praesumere, sed etiam perfecte definire quae inspiratio a diis missa vaticinium divinum perficiat; sin minus, non prius hanc poterimus distincte cognoscere, quam eius proprium ei characterem adscribentes, proprium ei indicium tamquam sigillum adaptemus.

Id quidem a nobis paulo prius accurate factum est. esse autem 28
artifices idolorum efficacium, a te proponitur tamquam non contemnendum causae tuae firmamentum. mirarer autem ego, si sacerdotes veras deorum species contemplari soliti idola magni facerent. quare enim vera pro idolis istis aliquis commutaret, et a primis delabi velit ad infima? quis nescit quod omnia hic sint obscure adumbrata, nec veri fiant vera phantasmata, et bona appareant tantum, minime autem sint? quin et omnia quae hoc modo fiunt, dum fiunt, sub ipso in-

ἔρχεται φερόμενα, γνήσιον δὲ οὐδὲν οὐδὲ τέλειον οὐδὲ ἐναργὲς κέκτηνται. δηλοῖ δὲ καὶ ὁ τρόπος αὐτῶν τῆς ποιήσεως. οὐ γὰρ θεὸς αὐτῶν ἐστι ποιητὴς ἀλλ' ἄνθρωπος· οὐ δ' ἐκ τῶν ἑνοειδῶν καὶ νοητῶν οὐσιῶν παράγεται, ἀλλ' ἀπὸ τῆς ὕλης τῆς λαμβανομένης. τί οὖν ἀγαθὸν γένοιτο ἂν ἐξ ὕλης βλαστάνον καὶ τῶν περὶ τὴν ὕλην καὶ ἐν τοῖς σώμασιν ὑλικῶν καὶ σωματοειδῶν δυνάμεων; ἢ ἀπ' ἀνθρωπίνης τέχνης ὑφιστάμενον ἀσθενέστερον καὶ αὐτῶν τῶν ἀνθρώπων ὑπάρχον, τῶν τὸ εἶναι αὐτῷ παρεχομένων; ποίᾳ δέ τινι καὶ τέχνῃ πλάττεται τουτὶ τὸ εἴδωλον; λέγεται μὲν γὰρ ὡς τῇ δημιουργικῇ· ἀλλ' αὕτη γε τῶν ἀληθινῶν ἦν οὐσιῶν ἀλλ' οὐχὶ εἰδώλων τινῶν ἐπιτελεστική· ὥστε καὶ ἡ εἰδωλοποιητικὴ τέχνη πολλοστή τίς ἐστιν ἀπὸ τῆς φυτουργοῦ τῶν ἀληθινῶν δημιουργίας· ἀλλ' οὐδὲ ἀναλογίαν τινὰ πρὸς τὴν θείαν ποίησιν ἀποσώζει· οὐ γὰρ διὰ τῶν οὐρανίων φυσικῶν κινήσεων ἢ τῆς κατὰ μέρος ὕλης ἢ τῶν δυνάμεων τῶν οὕτως διῃρημένων ὁ θεὸς δημιουργεῖ πάντα· ταῖς δὲ ἐννοίαις καὶ βουλήσεσι καὶ τοῖς ἀύλοις εἴδεσι διὰ τῆς ἀιδίου τε καὶ ὑπερκοσμίου

2. *κέκτηται* AD. 5. *ἀγαθὼν* D. 6. *γένοιτ' ἂν* AD.
10. *τὸ* om. O. 19. *εἴδεσι*] *ὕδεσι* D.

gressu avolant, genuinum vero nihil aut perfectum aut liquidum obtinent. quod ipsum ostendit vel modus quo fiunt. nam deus eorum non est opifex sed homo, nec producuntur ex uniformibus et abstractis essentiis, sed ex materia subiecta. quid autem boni ex materia nasci potest aut ex potentiis, sive in materia sive in corporibus sint, materiatis et corporeis? nonne quod humana arte subsistit longe infirmius est ipsis hominibus, qui ei existentiam communicarunt? deinde idolum hoc qua tandem et quali arte fingitur? dicitur quidem fieri potentia opificis: ea autem veras essentias fabricatur non autem idola: adeo ut haec idolorum faciendorum ars longissime absit a creatrici rerum verarum opificio divino. immo vero neque analogiam tuetur cum divina operatione. neque enim deus per caelestium motus naturales aut per materiam particularem aut per potentias ita divisas omnia fabricatur; sed intelligentiis voluntatibusque et immaterialibus speciebus per animam aeternam supermundanam et mun-

καὶ ἐγκοσμίου ψυχῆς δημιουργεῖ τοὺς κόσμους· ὁ δὲ δὴ τῶν εἰδώλων ποιητὴς λέγεται μὲν ὡς διὰ τῶν περιπολούντων ἀστέρων αὐτὰ ἀπεργάζεται.

Οὐ μήν, ὥς γε οὑτωσὶ δόξαι, ἔχει τῷ ὄντι καὶ ἐπὶ τῆς ἀληθείας. οὐσῶν γὰρ περὶ τοὺς οὐρανίους θεοὺς ἀπείρων δή τινων δυνάμεων, ἓν γένος τῶν ἐν αὐταῖς πάντων ἔσχατόν ἐστι, τὸ φυσικόν. τούτου δὲ αὖθις τὸ μὲν ἐν λόγοις σπερματικοῖς τε καὶ πρὸ τῶν σπερματικῶν τοῖς ἀκινήτοις ἱδρυμένον προηγεῖται καθ' ἑαυτὸ πρὸ τῆς γενέσεως· τὸ δὲ ἐν ταῖς αἰσθηταῖς καὶ φανεραῖς κινήσεσί τε καὶ δυνάμεσιν, ἀπορροίαις τε ταῖς ἐξ οὐρανοῦ καὶ ποιότησιν, ἐνδυναστεύει παρὰ πᾶσαν τὴν φανερὰν διακόσμησιν· οἷς πᾶσι τὸ τελευταῖον ἐν τοῖς περὶ γῆν τόποις ἐπάρχει τῆς περιγείου φανερᾶς γενέσεως· τῇ δὲ τῆς φανερᾶς γενέσεως ἐπικρατείᾳ καὶ ταῖς δι' αἰσθήσεως φαινομέναις ποιότησι τῶν ἀπ' οὐρανοῦ καταπεμπομένων ἀπορροιῶν ἄλλαι τε πολλαὶ τέχναι χρῶνται, ὥσπερ ἰατρική τε καὶ γυμναστικὴ καὶ πᾶσαι ὅσαι κοινωνοῦσι τῇ φύσει τὴν ἑαυ-

1. καὶ ἐγκοσμίου] sic ACD Fesch. Reg. om. O. ‖ δὴ addidi ex ACD. 3. ἀπεργάζεται] sic ACD, ἀπεργάζεσθαι O. 5. περὶ] sic ACD Fesch., ἐπὶ O. 7. τὸ addidi ex ACD. 11. ἀποῤῥίαις D. 13. οἷς] ἧς CD. 13. 14. ἐπάρχε B.

danam mundos efficit: idolorum vero factor dicitur ea per stellas volventes efficere.

Non autem sic, ut apparet, vere res se habet. cum enim infinitae vires sint in diis caelestibus, una est quae tenet infimum locum inter eas, potentia naturalis. potentiae huius pars alia per se praecedit generationem, ut quae consistat in rationibus seminalibus et in iis quae sunt ante seminales rationes immobilia; alia vero pars posita in sensibilibus et manifestis motibus, potentiisque et defluxibus caelestibus et qualitatibus, dominatur toti rerum visibili ordinationi. haec igitur infima potestas in his omnibus ducit generationes manifestas quae sunt circa terram. hac autem potestate quae in generatione manifesta dominatur et qualitatibus in sensum caelitus defluentibus, cum aliae artes utuntur plurimae veluti medica et gymnastica, tum etiam eae omnes quae in operando cum natura com-

τῶν ἀπεργασίαν· καὶ δὴ καὶ εἰδωλοποιία μοῖράν τινα γενεσιουργὸν ἀπ' αὐτῶν ἕλκει λίαν ἀμυδράν.

Ὥσπερ οὖν ἔχει τὸ ἀληθές, οὕτω δεῖ καὶ ἀποφαίνεσθαι, ὅτι δὴ αὐταῖς μὲν ταῖς περιφοραῖς ἢ ταῖς ὑπαρχούσαις ἐν αὐταῖς δυνάμεσιν ἢ ταῖς κατὰ φύσιν περὶ αὐτὰ ἐνιδρυμέναις οὔτε χρῆται εἰδωλοποιός, οὐθ' ὅλως δυνατός ἐστιν αὐτῶν ἐφάπτεσθαι· ταῖς δὲ ἀπὸ τῆς φύσεως αὐτῶν ἐσχάταις ἀπορρεούσαις ἐν τῷ φανερῷ περὶ τὸ τελευταῖον μέρος τοῦ παντὸς τεχνικῶς προσφέρεται, ἀλλ' οὐ θεουργικῶς. αὗται γάρ, οἶμαι, καὶ τὴν κατὰ μέρος ὕλην συμμιγνύμεναι πρὸς αὐτὴν δύνανται μεταβάλλειν τε καὶ μετασχηματίζειν καὶ μεταπλάττειν ἄλλοτε ἄλλως· καὶ δὴ καὶ μετάθεσιν ἀπ' ἄλλων εἰς ἄλλα ἐπιδέχονται τῶν ἐν τοῖς κατὰ μέρος δυνάμεων· ἡ δὲ τοιαύτη τῶν ἐνεργειῶν ποικιλία καὶ τῶν πολλῶν ὑλικῶν δυνάμεων σύνθεσις οὐ μόνως θείας δημιουργίας τῷ παντὶ κεχώρισται, ἀλλὰ καὶ τῆς φυσικῆς ἀπεργασίας· καὶ γὰρ ἡ φύσις ἀθρόως καὶ ἅμα ποιεῖ τὰ οἰκεῖα ἔργα, ἁπλαῖς τε καὶ ἀσυνθέτοις

4. 5. ἐνυπαρχούσαις ACD. 13. καὶ post δὴ] sic AC, om. O. 16. μόνως] sic margo B, ὅπως O. 18. ἔργα] sic ACD, ἔργα καὶ O.

municant: unde et ipsa idolopoeia portionem aliquam genitalem quamvis exiguam atque debilem ab influxibus caelestibus haurit.

Quemadmodum igitur veritas se habet, ita oportet pronunciare. non utitur idolorum opifex caelestibus ipsis motibus nec potentiis quae in iis sunt nec viribus quae naturaliter fundantur circa vires caelestes, sed nec potest eas attingere; sed occupatur circa vires quasdam quae ab illorum natura ultimae defluxerunt in aperto ad infimam mundi partem, et quidem artificiose non theurgice. hae sane ultimae vires materiam particularem, si cum ea commisceantur, possunt varie transmutare transfigurare transformare; immo vero et transpositiones ab aliis in alia suscipiunt potentiarum earum quae particularibus insunt; interim huiusmodi operationum varietas multarumque potentiarum materialium farrago longe degenerat non solum ab opificio divino, sed ab effectione naturae: natura enim uno simul tenore et semel sua opera efficit, simplicibusque et incompo-

ἐνεργείαις πάντα ἐπιτελεῖ. λείπεται οὖν τεχνικὴν εἶναι δὴ σύμμιξιν τὴν τοιαύτην κατασκευὴν περὶ τὸ τελευταῖον καὶ περιφανὲς ῥεῦμα οὐράνιον καὶ περὶ τὰ ἀπὸ τῆς οὐρανίας φερόμενα φύσεως.

Διὰ τί δὴ οὖν αὐτὸς μὲν ὁ ταῦτα δρῶν εἰδωλοποιὸς 29
ἀνὴρ ἑαυτὸν ἀφίησι βελτίονα ὄντα καὶ ἐκ βελτιόνων γεγονότα, τοῖς δὲ ἀψύχοις εἰδώλοις καὶ μόνῃ τῇ ἐμφάσει τῆς ζωῆς ἐπιπνεομένοις, ἁρμονίᾳ τε ἐπισκευαστῇ καὶ πολυειδεῖ συνεχομένοις ἔξωθεν, ἐφημέροις τε ἀτέχνως οὖσιν ἀποπιστεύειν φαίνεται; πότερον τὸ γνήσιον καὶ ἀληθὲς ἐν αὐτοῖς ὑπάρχει; ἀλλ' οὐδὲν τῶν ὑπὸ ἀνθρωπίνης τέχνης συμπλαττομένων εἰλικρινές ἐστι καὶ καθαρόν. ἀλλὰ τὸ ἁπλοῦν καὶ μονοειδὲς τῆς ἐνεργείας ἢ τῆς ὅλης συστάσεως ἐν αὐτοῖς ἐπικρατεῖ; παντὸς μὲν οὖν λείπει· κατὰ γὰρ τὴν φαινομένην σύνθεσιν ἐκ παντοδαπῶν καὶ ὑπεναντίων ποιοτήτων συμπεφόρηται. ἀλλὰ δύναμίς τις ἀκραιφνὴς καὶ τελεία διαφανής ἐστιν ἐν αὐτοῖς; οὐδαμῶς. ἐπεὶ πολλαχόθεν ἐπίκτητόν τι συγκεκρότηται τὸ τοιοῦτον πλῆ-

1. ἐνεργείας O. || λείπεται] λέγεται B. || οὖν om. O. 3. καὶ περὶ] sic AC, om. O. 6. ἑαυτὸν] ἐπ' αὐτὸν C. || καὶ om. A. 8. ἐπισκευαστοῦ (εῖ super οῦ add. ead. man.) A. 11. αὐτοῖς] sic AD, αὐταῖς O. || οὐδὲ C. 12. εἰλικρινόν AC. 17. πελεία C.

sitis operationibus peragit. relinquitur igitur artificiosam esse commistionem istam idolorum fabricam circa ultimum et manifestum caelestium defluxum et circa ea quae a caelesti natura moventur et recedunt.

Cur igitur idolorum fictor se ipsum, cum sit omnibus idolis 29
melior et ex melioribus ortus, deserit, idolisque fidit, quae non sunt animata sed vitae quadam apparentia inflata fictaque, et multiformi harmonia minime interna idque ad breve prorsus tempus constant? at forte genuinum quid et verum in iis reperiatur? nihil quod sincerum purumque sit potest ab humana arte proficisci. at credo simplicitas et uniformitas actionis et compositionis in iis elucet? nihil horum omnium. idolum enim conflatur ex variis iisque contrariis qualitatibus, ut apparet ex compositione. at forte potentiam habet puram et perfectam in se conspicuam? nihil minus. quoniam talis defluxuum multitudo undique captatur et commiscetur tamquam

θος τῶν ἀπορροιῶν ἀσθενὲς καὶ ἐξίτηλον ἐπιδεικνύμενον. ἀλλ' εἰ μὴ ταῦτα, τὸ μόνιμον πάρεστι τοῖς εἰδώλοις οἷς λέγουσιν οὗτοι; πολλοῦ γε καὶ δεῖ. ἐπεὶ ταῦτά γε πολὺ θᾶττον τῶν ἐν κατόπτροις ὁρωμένων εἰδώλων ἀποσβέννυνται. ἐπιτιθέντος μὲν γὰρ τοῦ θυμιάματος ἀπὸ τῶν ἀναφερομένων ἀτμῶν συνίσταται εὐθύς. ἀνακραθέντος δὲ εἰς τὸν ὅλον ἀέρα καὶ διαχυθέντος καὶ αὐτὸ εὐθὺς διαλέλυται, καὶ οὐδ' ἀκαρῆ πέφυκεν ἐπιμένειν.

Διὰ τί δὴ οὖν ἔσται περισπούδαστος ἀνδρὶ φιλοθεάμονι τῆς ἀληθείας ἡ περιττὴ αὕτη θαυματοποιία; ἐγὼ μὲν οὐδενὸς ἀξίαν αὐτὴν ἡγοῦμαι. καὶ εἰ μὲν γινώσκουσα αὐτὰ ταῦτα ἐφ' οἷς ἐσπούδακε καὶ περὶ ἃ διατρίβει, τὰ πλάσματα τῆς παμπαθοῦς ὕλης ἀσπάζεται, ἁπλοῦν ἂν ἔχοι τὸ κακόν. πλὴν ἐκεῖνό γε αὐτῇ ὑπάρξει, τὸ ἀφομοιωθῆναι τοῖς εἰδώλοις ἐν οἷς τὴν πίστιν ἑαυτῆς ἵδρυσεν. εἰ δὲ καὶ ὡς θεοῖς προσέχει τοῖς εἰδώλοις τούτοις, οὔτε

1. ἀπορριῶν A, ἀπορίων C, ἀποριῶν D. 2. μόνυμον D. 4. 5. ἐπισβέννυται O. 5. ἐπιτεθέντος AD. 7. δὲ addidi ex ACD. || post ἀέρα AD add. αὐτοῦ, C add. αὐτὸ || αὐτὸς O. 8. ἀκαρῆ] sic AC, ἀκαρεῖ D, ἀκαρεὶ O. 8—9. πέφυκεν — ἀνδρὶ om. et ponit in marg. pr. m. D. 10. αὐτὴ O. 11. εἰ] sic A et marg. B, ἡ O. 13. παμπαθοῦς] sic AC, ἐμπαθοῦς O. 14. ἔχει A. 15. ἑαυτῆς] sic Gale not., ἑαυτοῖς C Reg., ἐν αὐτοῖς O.

adventitium quid, infirmaque est et exilis apparet. at si haec omnia non reperiantur in idolis de quibus isti loquuntur, saltem stabilitatem habent? nequaquam. nam haec idola velocius quam quae in speculis apparent evanescunt. quando enim admovetur suffumigatio vaporibus exhalantibus, protinus conficiuntur; at cum per totum aërem dissolvatur et diffundatur suffumigatio, idolum quoque statim dissipatur, nec vel minimo temporis puncto ex natura sua permanere potest.

Cur ergo aliquam operam impenderet ineptae huic prodigiorum fictioni veritatis amans animus? equidem nullo pono in pretio. nam et harum praestigiarum artifices si agnoscant haec sua figmenta circa quae occupantur et versantur, esse de materia omnibus passionibus obnoxia, et tamen iis delectentur, nihil non mali habent. sed et illud iis aderit, quod similes sint istis suis idolis in quibus fidem

λόγῳ ῥητὸν οὔτε ἔργῳ φορητὸν ἔσται τὸ ἄτοπον. οὐδέποτε γὰρ εἰς τὴν τοιαύτην ψυχὴν ἐπιλάμψει τις αὐγὴ θεία· οὔτε γὰρ πέφυκεν ἐνδίδοσθαι αὐτῇ τοῖς ἅπαξ ἀντιδρασθεῖσιν, οὔτε ἔχει χώραν εἰς ἣν δέξηται αὐτὴν τὰ κατεχόμενα ὑπὸ τῶν σκιοειδῶν φαντασμάτων· σκιαῖς οὖν συνέσται πολλοσταῖς ἀπὸ τῆς ἀληθείας ἡ τοιάδε τῶν φαντασμάτων θαυματουργία.

Ἀλλὰ παρατηροῦσιν οὗτοι, φησί, τὴν τῶν οὐρανίων 30 φοράν, καὶ λέγουσι τίνος τῶν κατ' οὐρανὸν μετὰ τίνος ἢ τίνων πολεύοντος ἔσται ψευδῆ τὰ μαντεῖα ἢ ἀληθῆ, καὶ τὰ δρώμενα ἀργὰ ἢ ἀπαγγελτικὰ ἢ ἀποτελεστικά. ἀλλ' οὐδὲ τούτων ἕνεκα ἕξει τὰ φαντάσματα ταῦτα τὸ θεῖον. καὶ γὰρ τὰ ἔσχατα τῶν ἐν τῇ γενέσει κινεῖται τοῖς οὐρανίοις δρόμοις καὶ συμπάσχει πρὸς τὰς ἀπ' αὐτῶν κατιούσας ἀπορροίας· οὐ μὴν ἀλλὰ καὶ εἴ τις αὐτὰ μετ' ἀκριβείας ἐπισκέψαιτο, τἀναντία τούτων ἀποδείκνυσιν. ἃ γὰρ

3. 4. ἀντιδρασθεῖσιν] sic Velsenius, ἀντιδροθεῖσιν D, ἀντιδρωθεῖσιν O. 4. δέξηται] sic AC, δέξεται O. 5. σκιοειδῶν] sic ACD, σκιώδων O. 6. πολλοσταῖς] πολλαῖς ACD. 8. φησὶ] φῇς O. 9. μετὰ] sic D, μήτε O. 10. καὶ] sic AD, ἢ O. 12. ἕξει τὶ τὰ ACD. || τὸ om. AC. 15. ἀποῤῥίας D. 16. ἐπισχέψαιτο D. || ἐπιδείκνυσιν AD Fesch.

posuere. si vero ista idola tamquam deos colant, nec dici nec ferri potest tanta absurditas. nunquam enim in animam istam divina aliqua lux subingredietur; neque enim amat se infundere in ea quae sibi repugnant, neque recipiendi eam spatium habent quae tenebricosis phantasmatis obsidentur. quare haec imaginum prodigiosa compositio tenebris commiscebitur a veritate longe remotis.

Sed idolorum factores observant, inquis, caelestium cursum, et 30 dicunt qua stella cum alia vel aliis concurrente vera provenient vel falsa vaticinia, et an quae ibi fiunt inania sunt an contra significativa et efficacia. nihilominus nec ideo haec phantasmata aliquid habebunt in se divini. nam materiae quae sunt in generatione ultimae moventur ad caelestes motus, et ad ultimos eorum defluxus descendentes compatiuntur. enimvero si quis haec accurate consideret, potius contraria omnia his demonstrant. quae enim adeo facile mu-

ἐστι παντάπασιν εὐμετάβλητα καὶ ἀπὸ τῶν ἔξωθεν κινήσεων παντοίως μετατρέπεται ὥστε ἀργὰ ἢ χρηματιστικὰ ἢ ἐπαγγελτικὰ ἢ ἐπιτελεστικὰ ἢ ἄλλοτε ἀλλοῖα ἀποτελεῖσθαι, πῶς ἔνεστι ταῦτα κἂν μικρᾶς τινὸς μετέχειν ἐν ἑαυτοῖς θείας δυνάμεως; τί οὖν, αἱ ἐνοῦσαι ἐν ταῖς ὕλαις δυνάμεις στοιχεῖα τῶν δαιμόνων εἰσίν; οὐ μὲν οὖν· οὐδὲν γὰρ τῶν κατὰ μέρος αἰσθητῶν σωμάτων γεννᾷ δαίμονας· πολὺ δὲ μᾶλλον ταῦτα γεννᾶταί τε καὶ φρουρεῖται ὑπὸ τῶν δαιμόνων.

Ἀλλ' οὐδὲ ἄνθρωπός τις πλάσαι δύναται ὥσπερ ἐκ μηχανῆς δαιμόνων τινὰς μορφάς, ἀλλὰ τὸ ἀνάπαλιν αὐτὸς μᾶλλον πλάσσεται καὶ δημιουργεῖται ὑπὸ τῶν δαιμόνων, καθ' ὅσον αἰσθητοῦ σώματος μετέχει. ἀλλ' οὐδὲ ἐκ στοιχείων τῶν αἰσθητῶν συμπεφορημένον τι πλῆθος ἀπογεννᾶται τὸ δαιμόνιον, ἀλλὰ πλέον θάτερον αὐτό τέ ἐστιν ἁπλοῦν καὶ περὶ τὰ σύνθετα μονοειδῶς ἐνεργεῖ. ὅθεν δὴ οὐδὲ πρεσβύτερα ἕξει τὰ αἰσθητὰ ἑαυτοῦ οὐδὲ μονιμώτερα, ἀλλ' αὐτὸ πρεσβείᾳ καὶ δυνάμει διαφέρον

2. παντίως D. 4. μετέχειν] sic A et margo B, μετέχῃ O. 5. τί οὖν, αἱ ἐνοῦσαι etc.] „videndum annon haec ad cap. XXII pertineant." Gale not. 8. τε om. O. 15. αὐτὸς ACD. 16. καὶ περὶ] sic ACD, καὶ τὰ περὶ O. 17. πρέσβεια B.

tantur et externis motibus adeo facile alterantur ut evadant aliquando vana vel contra fatidica aut significativa aut effectiva et alias alia, qui possunt haec vel tantillum in se habere divinae potentiae? quid igitur? an potentiae quae materiis insunt elementa daemonibus conficiendis praestant? nullo modo. nulla enim particularia corpora possunt generare daemonas: immo potius ipsa a daemonibus generantur et conservantur.

Sed nec quisquam hominum potest formas daemonum tamquam e machina fingere; sed ipse potius ab istis fingitur, quatenus corpore utitur sensibili. sed nec multorum elementorum concursus daemonium generat, sed et potius ex altera parte ipsum simplex est et uniformiter circa composita operatur. unde sequitur non posse sensibilia eo esse praestantiora aut durabiliora, sed ipsum tum excellentia tum potentia sensibilibus praestans dat iis quicquid capere

τοῖς αἰσθητοῖς μεταδίδωσιν ἣν δύνανται δέχεσθαι διαμονήν. πλὴν εἰ μὴ τὰ εἴδωλα δαίμονας ἐπονομάζεις οὐκ ὀρθῶς ἐπισύρων τὴν τοιαύτην κλῆσιν.

Ἄλλη μὲν γάρ ἐστιν ἡ τῶν δαιμόνων φύσις ἄλλη δὲ ἡ τῶν εἰδώλων· τάξις τε αὐτῶν ἑκατέρων πάμπολυ διέστηκε. καὶ δὴ καὶ ὁ τῶν εἰδώλων χορηγὸς διάφορός ἐστι παρὰ τὸν μέγαν ἡγεμόνα τῶν δαιμόνων. ἀμέλει καὶ σὺ τοσοῦτο συγχωρεῖς μηδένα θεὸν ἢ δαίμονα λέγων ὑπ' αὐτῶν καθέλκεσθαι. τίνος οὖν ἔτι γένοιτο ἂν ἀξία διάπραξις ἱερὰ ἢ τοῦ μέλλοντος πρόγνωσις, ἥτις ἄμοιρός ἐστι παντάπασι καὶ θεοῦ καὶ δαίμονος; ὥστε εἰδέναι μὲν χρὴ καὶ ταύτην τὴν θαυματουργίαν τίνα ἔχει φύσιν, χρῆσθαι δὲ ἢ πιστεύειν αὐτῇ μηδαμῶς.

Ἔτι τοίνυν καὶ ταύτης ἐστὶ φαυλοτέρα τῶν ἱεροπρε- 31
πῶν δρωμένων ἐξήγησις, ἣ γένος τι ἀπατηλῆς φύσεως παντόμορφόν τε καὶ πολύτροπον αἰτιωμένη τῆς μαντείας ὑποκρινόμενον θεοὺς καὶ δαίμονας καὶ ψυχὰς τῶν τεθνη-

1. δύνανται] sic C, δύναται O. 8. τοσοῦτο] sic ACD Fesch. Reg., τοῦτο O. 11. δαίμονος] παντός O. 12. ἔχειν O. 13. αὐτῇ] sic D, αὐτοῦ AC, om. O. 14. ἔτι] ἐστι AC. || ἐστὶ] ἔτι A.

possunt perseverantiae. nisi si idola forte daemonas appelles non recte istam appellationem applicando.

Alia siquidem est daemonum alia idolorum natura: sed et ordo utrorumque longe distat. quinetiam auctor ille idolorum alius est prorsus a summo daemonum duce. quod ipsum tu quoque confiteris; dicis enim quod nec deorum nec daemonum quisquam ab idolis deorsum trahitur. cuius igitur tandem pretii fuerit istiusmodi sacra actio aut futuri cognitio, quae omnino tum dei tum daemonis expers sit? itaque prorsus intelligere oportet hanc prodigiorum fabricationem et quam habeat vim, nequaquam vero ea uti aut credere eidem.

Adhuc deterior rerum sacrarum explicatio adfertur, quae vati- 31
cinii causam credit esse genus quoddam daemonum, natura deceptorium multiforme quodque species deorum et geniorum et anima-

κότων. ἐρῶ δή σοι καὶ πρὸς ταῦτα λόγον ὅν ποτε ἤκουσα, Χαλδαίων ποτὲ προφητῶν λεγόντων.

Ὅσοι μὲν θεοὶ τῆς ἀληθείας, τῶν ἀγαθῶν εἰσὶ μόνων δοτῆρες, μόνοις τε τοῖς ἀγαθοῖς ἀνδράσι προσομιλοῦσι, καὶ τοῖς διὰ τῆς ἱερατικῆς ἀποκεκαθαρμένοις συγγίγνονται, ἐκκόπτουσί τε ἀπ' αὐτῶν πᾶσαν κακίαν καὶ πᾶν πάθος. τούτων δὲ ἐπιλαμπόντων ἀφανὲς τὸ κακὸν καὶ δαιμόνιον ἐξίσταται τοῖς κρείττοσιν, ὥσπερ φωτὶ σκότος. καὶ οὐδὲ τὸ τυχὸν παρενοχλεῖ τοῖς θεουργοῖς, ἀφ' οὗ δὴ καὶ πᾶσαν ἀρετὴν δέχονται, καὶ χρηστοὶ τοῖς ἤθεσιν ἐπιτελοῦνται καὶ κόσμιοι, παθῶν τε ἀπαλλάττονται καὶ πάσης ἀτάκτου κινήσεως, τῶν τε ἀθέων καὶ ἀνοσίων τρόπων καθαρεύουσιν. ὅσοι δέ εἰσιν αὐτοί τε ἀλιτήριοι, καὶ ἀθέσμως καὶ ἀτάκτως ἐπιπηδῶσι τοῖς θείοις, δι' ἀτονίαν τε τῆς οἰκείας ἐνεργείας ἢ τῆς ὑπαρχούσης αὐτοῖς δυνάμεως ἔνδειαν οὐ δύνανται τῶν θεῶν τυγχάνειν. εἰ καὶ διά τινας μιασμοὺς ἀπείργονται τῆς πρὸς τὰ ἄχραντα πνεύματα συνουσίας, οὕτω τοῖς κακοῖς πνεύ-

3. *ταῖς ἀληθείαις* Gale not. 3. 4. *μόνων*] sic AC, *μόνως* O. 5. 6. *συγγίγνονται*] sic A, *συγκίνονται* B, *σύγγίνονται* O. 13. 14. *ἀλιτέριοι* O. 15. *τε*] sic ACD, om. O. 16. *αὐτοῖς*] *αὐτῆς* CD. || *δύναται* D. 17. *εἰ*] *ἢ* A.

rum post mortem mentiatur. ad haec igitur respondebo sermonem tibi narrando, quem audivi a Chaldaeorum prophetis.

Dii quotquot veri sunt, dant vera tantum bona, et bonorum virorum tantum consuetudine utuntur, et cum iis solis conversantur qui per sacra rite purgati fuere, a quibus etiam omne vitium et omnem passionem praescindunt. hi quoties affulgent in bonorum mentes, quicquid erat malum aut daemonicum fugit ad conspectum meliorum, veluti tenebrae ante solem: nec vel tantillum valet amplius pios turbare sacrificatores, qui proinde omnimodam virtutem indipiscuntur, fiunt moribus optimi et elegantissimi, a passionibus liberi et ab omni irregulari motu, ab omnibus denique atheis et impiis moribus defaecantur. si qui vero sint qui ipsi impuri contra ritus et ordinem sacrorum sacra insolenter invadunt, hi sane propter operationis infirmitatem et potentiae defectum deos assequi nequeunt. quinetiam propter inquinamenta sua ut a spiritibus puris arceantur,

μασι συνάπτονται, πληρούμενοί τε ἀπ' αὐτῶν τῆς κακίστης ἐπιπνοίας πονηροί τε καὶ ἀνόσιοι γίγνονται, ἡδονῶν μὲν ἀκολάστων πλήρεις, κακίας δὲ ἀνάμεστοι, τρόπων τε ἀλλοτρίων τοῖς θεοῖς ζηλωταί, καὶ τὸ ὅλον φάναι, παραπλήσιοι τοῖς πονηροῖς δαίμοσι γιγνόμενοι, μεθ' ὧν συμφύονται.

Οὗτοι δὴ οὖν παθῶν μεστοὶ καὶ κακίας ὑπάρχοντες διὰ συγγένειαν ἕλκουσι τὰ πονηρὰ εἰς ἑαυτοὺς πνεύματα, καὶ αὐτοὶ πρὸς κακίαν πᾶσαν ὑπ' αὐτῶν ἐγείρονται, συναύξονταί τε ὑπ' ἀλλήλων οὕτως, καθάπερ τις κύκλος ἀρχὴν τελευτῇ συνάπτων καὶ ἀνταποδιδοὺς τὴν ἴσην ἀμοιβὴν ὡσαύτως. ἃ τοίνυν τῆς ἀνοσιουργίας ἐστὶν ἀσεβῆ πταίσματα, ἀτάκτως μὲν αὐτὰ προσφερόμενα τοῖς ἱεροῖς ἔργοις, ἀτάκτως δὲ πειρώμενα καὶ ὑπὸ τῶν ἐπεισιόντων, καὶ ποτὲ μέν, ὡς δοκεῖ, θεὸν ἄλλον ἀνθ' ἑτέρου ποιοῦντα ἐπικωμάζειν, ποτὲ δ' αὖ δαίμονας πονηροὺς ἀντὶ τῶν θεῶν εἰσκρίνοντα, οὓς δὴ καὶ καλοῦσιν ἀντιθέους, ταῦτα μηδέποτε ἐν λόγῳ τῷ περὶ τῆς ἱερατικῆς μαντείας τίθεσο.

4. ζηλωτάς B. 14. ἀτάκτων δὲ D. ‖ ὑπὸ om. AD. ‖ ἀπεισιόντων C. 16. ἐπικομάζειν D. ‖ ποτὲ] τοτέ ACD. 17. ταῦτα] ταῦτα δὲ Gale not.

ita malis et impuris familiares evadunt, quorum flatu prorsus implentur pessimo, improbique fiunt et impii, voluptatibus lascivis omnique malitia referti, studiis dediti a diis penitus abhorrentibus, et ut absolvam, simillimi evadunt daemonibus quibus adhaerent.

Hi igitur passionibus et pravitate pleni per ipsam cognationem malos ad se attrahunt spiritus, a quibus mox ad omnem iniquitatem impelluntur, alterique alteros se mutuo adiuvant, sicut circulus fini principium coaptans reddensque aequalem eodem pacto vicissitudinem. quae igitur impie fiunt peccantque contra religionem, cum et ipsa contra ritus afferantur in sacris operibus, et ipsi qui afferunt contra ritus delinquunt, deumque ut videtur alium pro alio faciunt adesse, rursusque pro diis daemonas improbos insinuant, quos solent ipsi vocare antitheos, ista sane nunquam pones in sermone qui quaerit

ἐναντιώτερον γάρ ἐστι δήπου τῷ κακῷ τὸ ἀγαθὸν μᾶλλον ἢ τῷ μὴ ἀγαθῷ.

Ὥσπερ οὖν οἱ ἱερόσυλοι τῇ θρησκείᾳ τῶν θεῶν πάντων μάλιστα μάχονται, οὕτω καὶ οἱ συνόντες τοῖς ἀπατεῶσι καὶ τοῖς τῆς ἀκολασίας αἰτίοις δαίμοσι, μαχόμενοι δήπου πρὸς τοὺς θεουργοὺς ὑπάρχουσι· τούτοις γὰρ πᾶν μὲν πνεῦμα πονηρὸν ἐξίσταται καὶ ἀνατρέπεται ἄρδην, πᾶσα δὲ κακία καὶ πᾶν πάθος ἐκκόπτεται παντάπασι, καθαρὰ δὲ μετουσία τῶν ἀγαθῶν πάρεστιν ἐν τοῖς καθαροῖς, ἄνωθεν δὲ ἀπὸ τοῦ πυρὸς πληροῦνται τῆς ἀληθείας· οἷς οὐδὲν ἐμπόδιον γίνεται ἀπὸ τῶν κακῶν πνευμάτων, οὐδ' εἰς τὰ τῆς ψυχῆς ἀγαθὰ κώλυμα· οὐδέ τις τῦφος ἢ θωπεία ἢ ἀτμῶν ἀπόλαυσις ἢ βίας ἰσχὺς παρενοχλεῖ· ἀλλὰ πάντα ὡσπερεὶ κεραυνίῳ τινὶ βολῇ πληγέντα ἀναφῶς ὑπείκει καὶ ὑποχωρεῖ, μηδὲ προσπελάσαι αὐτοῖς δυνάμενα. ἓν οὖν τοῦτό ἐστι τὸ ἄχραντον καὶ ἱερατικὸν θεῖόν τε ὡς ἀληθῶς γένος τῆς μαντείας· καὶ τοῦτο οὐχ, ὡς σὺ λέγεις, διαιτητοῦ δεῖται ἢ ἐμοῦ ἢ ἄλλου τινός, ἵν' αὐτὸ ἐκ πολλῶν προκρίνω, ἀλλ' αὐτὸ ἐξῄρηται πάντων,

1. τῷ κακῷ] sic ABC, τῶν κακῶν O. 4. 5. ἀπαταιῶσι O. 6. θεουργοὺς] θεουργοὺς αὐτοὺς Gale not. 7. μὲν] sic ACD, om. O. 14. κεραυνίῳ C. 17—19. καὶ τοῦτο — προκρίνω] haec in Porphyrii epistola a Galeo reficta non leguntur.

de vaticinio vere divino. bonum quippe magis adversatur malo quam non bono.

Quemadmodum igitur templorum expilatores deorum religioni maxime repugnant, sic qui daemonibus, qui impostores sunt omnisque lasciviae auctores, favent, contrarii maxime sunt veris sacerdotibus. ab his enim omnis spiritus malus fugit et facessit prorsus, omnis malitia omnis passio abscinditur, bonorum pura communicatio ad puros defertur, et desuper ab igne divino veritatem percipiunt. his ergo mali spiritus impedimenti nihil afferre possunt, neque ad animae bona avertenda obstaculi. sed nec suggeritur superbiae fumus aut adulatio mollis, neque suffumigatione falluntur, neque vi ulla perturbantur: sed haec omnia mala tamquam fulguris ictu percussa disperduntur et facessunt, nec possunt vel ad hos appropinquare. solum igitur genus hoc vaticinii sincerum et sacrum et revera divinum

ὑπερφυὲς ἀίδιον προϋπάρχον, οὐδὲ παράθεσίν τινα ἐπιδεχόμενον οὔτε ὑπεροχήν τινος ἐν πολλοῖς προτεταγμένην, ἀλλ' ἀπολύεται καθ' ἑαυτὸ καὶ μονοειδὲς πάντων προηγεῖται. ᾧ δεῖ καὶ σὲ καὶ πᾶς ὅστις ἐστὶ γνήσιος τῶν θεῶν ἐραστὴς ἐπιδοῦναι ἑαυτὸν ὅλον· ἐκ γὰρ τοῦ τοιούτου τρόπου παραγίνεται ἅμα τε καὶ ἐν ταῖς μαντείαις ἡ ἄπταιστος ἀλήθεια καὶ ἐν ταῖς ψυχαῖς ἡ τελεία ἀρετή. μετὰ τούτων δὲ ἀμφοτέρων δίδοται τοῖς θεουργοῖς ἡ πρὸς τὸ νοητὸν πῦρ ἄνοδος, ὃ δὴ καὶ τέλος δεῖ πάσης μὲν προγνώσεως πάσης δὲ θεουργικῆς πραγματείας προτίθεσθαι.

Μάτην οὖν ἐπεισάγεις τὴν ἀπὸ τῶν ἀθέων δόξαν, ὡς ἄρα τὴν πᾶσαν μαντείαν ἀπὸ τοῦ πονηροῦ δαίμονος ἡγοῦνται ἐπιτελεῖσθαι· οὔτε γὰρ ἄξιον αὐτῶν μνημονεύειν ἐν ταῖς περὶ θεῶν ἐπιστάσεσι· καὶ ἅμα ἀμαθεῖς εἰσὶν οὗτοι τῆς τοῦ ἀληθοῦς τε καὶ ψευδοῦς διακρίσεως διὰ

2. προστεταγμένην A. 3. ἀπόλυται A, ἀπόλλυται BCD. || καὶ om. ABCD. 8. μετὰ] sic ACD et Gale not., κατὰ O. 9. δὴ] sic ABD, δὲ O. || τέλειος B. 12. ἐπεσάγεις D. 12—13. ἀπὸ τῶν — μαντείαν om. O. 12. ἀπὸ (ante τῶν) deesse potest. Gale not. 13—14. ὡς ἄρα — ἐπιτελεῖσθαι] haec in Galei compilatione omittuntur. 15. περὶ θεῶν] sic ACD, περὶ τῶν θεῶν O.

nec indiget, ut tu dicis, arbitro vel me vel alio quopiam, ut illud prae aliis eligam, ipsum enim omnibus aliis longe praestat, supernaturale cum sit et aeternum et praeexistens, nec recipit additionem ex comparatione aut excellentiam aliquam ab extra, eo quod alicui e multis praeferatur, sed liberatur ab omnibus et uniformiter omnibus anteit. cui oportet te et quisquis deorum genuinus amator sit se totum tradere; hac enim ratione sola acquiritur et in vaticiniis veritas firma, et in anima virtus perfecta; quibus sane duobus sacerdos ad ignem ascendit intelligibilem, quod quidem tamquam finem tum vaticinio tum sacris operationibus omnibus oportet proponere.

Frustra igitur adduxisti atheorum opinionem, qui omne vaticinium a malo daemone perfici arbitrantur; cum nefas sit istorum vel minimam mentionem facere in sermonibus de diis. quinetiam imperiti sunt ad verum a falso internoscendum, quoniam ab initio te-

τὸ ἐν σκότει τὴν ἀρχὴν τεθράφθαι, τάς τε ἀρχάς, ἀφ' ὧν παράγινονται ταῦτα, οὐδέποτε δύνανται διαγιγνώσκειν. καὶ μέχρι δὴ τούτων τὰ περὶ τοῦ τρόπου τῆς μαντείας ἡμῖν διωρισμένα τέλος ἐχέτω.

4, 1 Ἄγε δὴ οὖν, ὅπως ἐφεξῆς καὶ τὰς δοκούσας ἐναντιώσεις ἐπισκεψώμεθα, τίνες εἰσὶ καὶ τίνα λόγον ἔχουσι. καὶ δῆτα ἐὰν ὀλίγῳ πλείονα διεξίωμεν περί τινων, ὡς ἂν ἐπ' ἐξουσίας ἰδίας καὶ κατὰ σχολὴν ποιούμενοι τοὺς λόγους, ἐπιμένειν δεῖ σε προθύμως καὶ καρτερεῖν. περὶ γὰρ τῶν μεγίστων μαθημάτων μεγάλας ἐνίστασθαι δεῖ καὶ τὰς σπουδάς, χρόνῳ τε ἐν πολλῷ δι' ἀκριβείας βεβασανισμένας, εἰ μέλλοις αὐτὰ τελέως γνώσεσθαι· σύ μὲν οὖν κατὰ τὴν παροῦσαν ὑπόθεσιν, ὥσπερ ἤρξω, πρότεινε τὰς ἐμποιού-

1. σκότῳ ACD. ‖ τεθράφθαι] sic Velsenius, τετράφθαι AD, τιτράφθαι O. 2. παραγίνονται] παράγονται O. ‖ οὐδέποτε B. ‖ διαγιγνώσκειν] sic A, διαγινώσκειν O. 4. ἐχέτω τέλος ACD. ‖ τέλος om. B. 5. 6. ἀναντιώσεις B. 6. ἐπισχεψώμεθα D. ‖ ἔχουσι λόγον AD. 12. μέλλοις] sic ACD, μέλλεις O. ‖ αὐτὰ] αὐτὸ ABCD.

nebris innutriti fuere, neque principia unde haec proveniunt possunt intelligere. hactenus igitur quae a nobis de modo vaticinii definita sunt finem habeant.

1 Age igitur, deinceps videamus quasdam a te obiectiones oppositas, tum quae sint tum qua nitantur ratione. si autem fusius de nonnullis agamus, tamquam pro libitu et secure disputantes, te tamen decebit durare et prompte animo adesse. sane de maximis disciplinis maximam diligentiam et multo tempore bene probatam oportet afferre, si velis ea perfecte introspicere. tu igitur, prout iamdudum postulat praesens hypothesis et quod coepisti facere, profer de quibus dubitas et ambigis, ego pro parte virili respondebo. dic igitur,

σας ἀπορίαν διαμφισβητήσεις, ἐγὼ δ' ἐν τῷ μέρει δώσω λόγον σοι· λέγε δὴ οὖν, ὅτι πάνυ με ταράττει, πῶς ὡς κρείττονες παρακαλούμενοι ἐπιτάττονται ὡς χείρονες· ἐγὼ δέ σοι ἐρῶ τὴν ὅλην περὶ τῶν καλουμένων ἀξίαν λόγου διαίρεσιν, ἀφ' ἧς ἐνέσται σοι διορισμὸς σαφὴς τοῦ τε δυνατοῦ καὶ τοῦ ἀδυνάτου, περὶ ὧν ἠρώτησας.

Θεοὶ μὲν γὰρ καὶ ὅσοι κρείττονες ἡμῶν βουλήσει τῶν καλῶν, ἀφθόνῳ τε τῶν ἀγαθῶν ἀποπληρώσει μετ' εὐμενείας τοῖς ἀξίοις χαρίζονται τὰ προσήκοντα, οἰκτείροντες μὲν τοὺς τῶν ἱερατικῶν ἀνδρῶν πόνους, τὰ δ' οἰκεῖα ἑαυτῶν γεννήματα καὶ θρέμματα καὶ παιδεύματα ἀσπαζόμενοι. τὰ δὲ μέσα γένη κρίσεως ἔφορα τυγχάνει· συμβουλεύει τε ἃ δεῖ ποιεῖν καὶ τίνων ἀπέχεσθαι προσήκει, καὶ πρὸς μὲν τὰ δίκαια ἔργα συναίρεται, διακωλύει δὲ τὰ ἄδικα, πολλούς τε τῶν ἐπιχειρούντων ἀφαιρεῖσθαί τι τῶν ἀλλοτρίων παρὰ δίκην, ἢ λυμαίνεσθαί τινα πλημμελῶς ἢ ἀπολλύναι, αὐτοὺς ἐποίησε παθεῖν ταῦτα οἷα ἄλλους διενοοῦντο ἐργάζεσθαι.

1. ἀπορείαν O. 2. ὅτι] ὅτι δὲ AC, ὅτι δὴ D. || θράττει ACD. 7—8. ὅσοι κρείττονες — ἀποπληρώσει om. Reg. 8. ἀφθόνων ACD. 9. χωρίζονται C Reg. 17. αὐτοὺς scripsi, αὐτοῖς O.

illud me magnopere sollicitat, quomodo dii invocentur ut praestantiores, obtemperent autem hominum imperiis tamquam inferiores. ego distinctionem de diis invocatis consideratione dignam adfero, ex qua quid fieri possit isthac in re quaeritur et quid sit impossibile perspicue determinabis.

Dii profecto et nobis praestantiores omnes spiritus, ex benefaciendi animo et uberrima bonorum copia benignissime dant quae viris dignis utilia sunt, miserati scilicet sacerdotum labores, tum etiam gratos habentes eos quos ipsi et protulere et aluere et docuerunt. sunt alia numina generis medii: haec crisin exercent consuluntque quae facienda et quae fugienda, ad bona opera adiuvant, mala prohibent, et cum multi aggressi fuerint alios iniuste fraudari, aut inique violare et perdere, in ipsos sua adversus alios structa machinamenta retorserunt.

Ἔστι δὲ δή τι καὶ ἄλλο ἀλόγιστον καὶ ἄκριτον γένος τῶν παραγιγνομένων, ὃ μίαν ἀριθμῷ δύναμιν κατενείματο διὰ τὴν ἐφ' ἑκάστοις τοῖς μέρεσι διανομὴν ἐφ' ἑκάστῳ τῶν ἔργων ἐπιτεταγμένην. ὥσπερ οὖν μαχαίρας ἔργον ἐστὶ τὸ τέμνειν καὶ οὐδὲν ἄλλο ποιεῖν ἢ τοῦτο, οὕτω καὶ τῶν ἐν τῷ παντὶ διῃρημένων πνευμάτων κατὰ φύσεως μεριστὴν ἀνάγκην τὸ μὲν διαιρεῖ, ἄλλο δὲ συνάγει τὰ γιγνόμενα. γνώριμον δὲ τοῦτό ἐστι καὶ ἀπὸ τῶν φαινομένων· τὰ γὰρ Χαρώνεια λεγόμενα ἀφίησί τι πνεῦμα ἀφ' ἑαυτῶν πᾶν τὸ ἐμπῖπτον ἀδιακρίτως δυνάμενον φθείρειν. οὕτω δὴ οὖν καὶ ἀφανῆ τινὰ πνεύματα διαλαχόντα ἄλλα ἄλλην δύναμιν, ἐκεῖνο μόνον πέφυκε ποιεῖν ὥσπερ ἐπιτέτακται. εἰ δή τις παραλαβὼν τὰ συντελοῦντα τεταγμένως εἰς τὸ πᾶν ἀλλαχοῦ μετατρέψειε καὶ διαπράξαιτό τι παρανόμως, οἰκεῖα τότε ἔσται τοῦ κακῶς χρωμένου βλάβη.

1. ἄκρετον D. 2. παραγιγνομένων] sic A, παραγινομένων O. 4. ἐπιτεταγμένων BD, ἐπιτεταγμένον C. || ἔργον] ἔργων D. 5. ποιεῖ C. 9. Χαρώνεια] ἄορνον ἐστι σπήλαιον ἱερόν, Χαρώνιον λεγόμενον. Strab. 636. cf. 579 et 649. Spiracula vocant alii Charonea scrobis mortiferum spiritum exhalantis. Plin. 2. 93. 208 Sill.

Est tertium circa nos genus inconsideratum crisin non exercens, quodque unam numero potentiam sortitum est, unique particulari operi praefectum, iuxta distributionem spirituum factam singulis partibus. quemadmodum igitur gladii opus est secare et nihil aliud facere, sic et spirituum per totum mundum divisorum iuxta partibilem naturae necessitatem aliqui certe dividunt alii colligunt tantum quae generantur. quod autem dico manifestum est ex phaenomenis, nam scrobes Charoneae ut vocantur spiritum e se exhalant, qui omnia indifferenter corrumpit quae eis inciderint. hoc igitur pacto quidam occulti spiritus, alius aliam sortiti potentiam, illud tantum singuli peragunt ad quod ordinati sunt. si quis igitur accipiens quae ordine distributionis ad totum conferunt aliorsum deflexerit et aliquid praevaricatorie transegerit, noxa penes erit eum qui istis male utitur.

Καὶ οὗτος μὲν ἄλλος τρόπος λόγων· ὃ δὲ νυνὶ πρόκειται σκοπεῖν, ἐνίοτε ὁρῶμεν γιγνόμενον. τὸ γὰρ τῶν ἐπιτάξεων συμβαίνει περὶ τὰ μὴ χρώμενα ἰδίῳ λόγῳ πνεύματα μηδὲ κρίσεως ἀρχὴν ἔχοντα. καὶ τοῦτο οὐκ ἀπαντᾷ παραλόγως. φύσιν γὰρ ἔχουσα λογίζεσθαι ἡμῶν ἡ διάνοια καὶ διακρίνειν ᾗπερ ἔχει τὰ πράγματα, πολλάς τε δυνάμεις ζωῆς ἐν ἑαυτῇ συλλαβοῦσα, τοῖς ἀλογίστοις καὶ κατὰ μίαν τοῖς ἐπιτελουμένοις ἐνέργειαν ἐπιτάττειν εἴωθε. καλεῖ μὲν οὖν αὐτὰ ὡς κρείττονα, διότι ἀπὸ τοῦ περιέχοντος ἡμᾶς παντὸς κόσμου τὰ συντελοῦντα πρὸς τὰ ὅλα περὶ τὰ κατεχόμενα ἐν τοῖς μεριστοῖς ἕλκειν ἐπιχειρεῖ. ἐπιτάττει δὲ ὡς χείροσι, διότι καὶ μέρη τινὰ πολλάκις τῶν ἐν τῷ κόσμῳ καθαρώτερα καὶ τελειότερα ἐμφύεται τῶν ἀνηκόντων εἰς τὸν ὅλον κόσμον· οἷον εἰ τὸ μὲν εἴη νοερόν, τὸ δ' ὅλον ἄψυχον ἢ φυσικόν, τότε γὰρ τοῦ ἐπὶ πλεῖον διατείνοντος τὸ ἐπ' ἔλαττον διῆκον εἰς ἐξουσίαν ἐστὶ κυριώτερον, εἰ καὶ ὅτι μάλιστα ἀπολείποιτο αὐτοῦ τῷ μεγέθει καὶ πλήθει τῆς ἐπικρατείας. 2

1. *τρόπως* D. 3. *ἐπιτάξεως* D. 17. *αὐτοῦ*] sic ABC et Gale not., *αὐτῷ* O.

Sed hic sermo aberrat a scopo praesenti. quod autem nunc proponitur considerandum, et fieri quandoque cernimus; imperia diriguntur ad spiritus istos qui non utuntur ratione neque criseos potestate. nec videtur hoc sine ratione dici. mens enim nostra naturaliter de rebus ratiocinandi et iudicandi prout sese habent gaudet facultate, et vitae varias habet vires; unde spiritibus ratione non utentibus et unam operationem operantibus potest imperare. invocamus igitur spiritus hos tamquam praestantiores, quoniam cupimus ab universo et nos continente mundo ad particularia attrahere ea quae ad totius utilitatem tendunt. imperamus rursum iis tamquam inferioribus, quoniam saepe res in mundo particulares puriores perfectioresque sint iis quae latius sese diffundunt ad totum mundum; verbi gratia si illud sit, ut est mens nostra, intellectuale totum, hoc autem inanime et mere naturale, tunc certe illud quod angustius habet imperium illo quod longius se extendit praestantius est, utut longe ab eo superetur tum magnitudine tum pulchritudine imperii. 2

Ἔχει δὲ καὶ ἄλλον λόγον ταῦτα τοιοῦτον. τῆς ὅλης θεουργίας διττόν ἐστι πρόσχημα, τὸ μὲν ὡς παρ' ἀνθρώπων προσαγόμενον, ὅπερ δὴ τηρεῖ καὶ τὴν ἡμετέραν τάξιν ὡς ἔχει φύσεως ἐν τῷ παντί, τὸ δὲ κρατυνόμενον τοῖς θείοις συνθήμασι καὶ ἄνω μετέωρον δι' αὐτῶν τοῖς κρείττοσι συναπτόμενον, περιαγόμενόν τε ἐμμελῶς ἐπὶ τὴν ἐκείνων διακόσμησιν, ὃ δὴ δύναται εἰκότως καὶ τὸ τῶν θεῶν σχῆμα περιτίθεσθαι· κατὰ τὴν τοιαύτην οὖν διαφορὰν εἰκότως καὶ ὡς κρείττονας καλεῖ τὰς ἀπὸ τοῦ παντὸς δυνάμεις, καθόσον ἐστὶν ὁ καλῶν ἄνθρωπος καὶ ἐπιτάττει αὐταῖς αὖθις· ἐπειδὴ περιβάλλεταί πως διὰ τῶν ἀπορρήτων συμβόλων τὸ ἱερατικὸν τῶν θεῶν πρόσχημα.

3 Ἀληθέστερον δ' ἔτι τούτων διαλύοντες τὰ διηπορημένα, ἀφαιρεῖν ἀξιοῦμεν τὰς ὡς ἐπ' ἀνθρώπων φαινομένας ἐν τῷ καλεῖν παρακλήσεις καὶ τὰς ἐπὶ τῇ τῶν ἔργων διανύσει μετὰ μεγάλης σπουδῆς ἐνδιδομένας ἐπιτάξεις. εἰ γὰρ ἡ φιλίας ὁμονοητικῆς κοινωνία καί τις ἀδιάλυτος συμπλοκὴ τῆς ἑνώσεως συνέχει τὴν ἱερατικὴν ἀπεργασίαν,

5. δι' αὐτῶν] διὰ τῶν O. 6. συναπτομένων O. 10. ἐπιτάττειν ACD. 13. 14. διαπορημένα O. 15. τῇ] om. O. 17. ἀφιλίας CD. 18. ἐνώσεως B.

Potest et alia ad haec adferri ratio. in sacris operationibus sacerdos duplicem sustinet personam; una quidem humana est, eaque servat nostrae naturae ordinem quem nos in hoc universo obtinemus, quod autem divinis signis corroboratum est et per haec melioribus naturis conciliatum, sursum tendit et ad eorum ordinationem pulchre circumducitur: illud quidem merito potest personam deorum gerere. iuxta hanc igitur distinctionem recte facit invocando tamquam praestantiores a toto mundo potentias, quandoquidem qui invocat homo est; idemque rursus imperat illis, quoniam merito ineffabilium deorum quodammodo personam sacram sustinet.

3 Sed ut clarius adhuc has dubitationes diluamus, auferre hinc prorsus velim quicquid humanum esse videatur, vel dum preces fiunt inter invocandum vel dum magna vehementia ad opera expedienda minae et iussa distringantur. nam si, ut res se habet, communio quaedam consentiens et benevola, si complexio unitatis firma a diis

ἵν' ὄντως ἡ θεία καὶ ὑπερέχουσα πᾶσαν τὴν γιγνωσκομένην κοινὴν ἀνθρώποις διάπραξιν, οὐδὲν τῶν ἀνθρωπίνων ἔργων ἐπ' αὐτῆς ἁρμόζει λεγόμενον, οὔτε τὸ προσκαλεῖν οὕτως, ὡς τὰ ἀφεστηκότα ἡμεῖς προσαγόμεθα, οὔτε τὸ κελεύειν τοιοῦτον ὁποῖον τοῖς κεχωρισμένοις, ὡς ἕτερον ἐξ ἑτέρων ἐγχειρίζομεν· ἡ αὐτὴ δέ τις ἐνέργεια κοινῶς αὐθαίρετος ἐλλάμπουσα τοῦ θείου πυρὸς αὐτόκλητός τε καὶ αὐτενέργητος δι' ὅλων ὡσαύτως ἐνεργεῖ, τῶν μεταδιδόντων ὁμοῦ καὶ τῶν μεταλαμβάνειν αὐτῆς δυναμένων.

Πολὺ δὴ οὖν κρεῖττόν ἐστι τὸ νυνὶ λεγόμενον, τὸ μὴ δι' ἐναντιώσεως ἢ διαφορότητος ἀποτελεῖσθαι τὰ τῶν θεῶν ἔργα, ὥσπερ δὴ τὰ γιγνόμενα εἴωθεν ἐνεργεῖσθαι, ταὐτότητι δὲ καὶ ἑνώσει καὶ ὁμολογίᾳ τὸ πᾶν ἔργον ἐν αὐτοῖς κατορθοῦσθαι. ἐὰν μὲν οὖν καλοῦν ἢ καλούμενον ἢ ἐπιτάττον ἢ ἐπιταττόμενον ἢ κρεῖττον ἢ χεῖρον διαιρῶμεν, τὴν τῶν γενέσεων ἐπὶ τὰ τῶν θεῶν ἀγέννητα ἀγαθὰ μεταφέρομέν πως ἐναντιότητα, ἐὰν δὲ πάντων

5. τοῖς] sic ABC, om. O. 7. 8. αὐτόκλειτος B. 8. ἀντενέργητος O. 11. δὴ] δὲ D. 15. λαλοῦν A.

ad sacerdotem, omnem sacrorum operationem continet, ut haec operatio vere divina sit omnemque actionem hominibus notam et communem excellat, nihil humani huic congruet; atque adeo sacerdos iam numen invocando non id facit uti nos, cum aliquid distans attrahimus, et cum ei imperat non est perinde ac si separatim existenti fieret, uti nos aliud ex aliis aggredimur; sed una quaedam est eademque communis divini ignis actio, quae spontanea nullo alio vocante aut incitante refulget, agitque eodem modo per omnia, tum ea quae dant tum ea quae ad recipiendum ab ea aliquid apta sunt.

Est igitur hic modus explicationis iam dictus longe melior, qui non per contrarietatem et pugnam divina opera fieri ponit, ut solent opera generationis perfici, sed per identitatem unitatem et consensionem omne opus in sacris recte institui contendit. si igitur distinguamus in sacris de vocante et vocato de imperante et eo cui imperatur de meliore et deteriore, contrarietatem quae est in generatione absurde adscribemus deorum bonis non generatis, si vero ut aequum est omnia talia quae terram sapiunt contemnamus, quic-

τούτων ὡς γηγενῶν καθάπερ ἐστὶ δίκαιον ὑπερίδωμεν, τὸ δὲ κοινὸν καὶ ἁπλοῦν ὡς τιμιώτερον ἀποδῶμεν τοῖς ὑπερέχουσι τῶν ἐνταῦθα ποικιλίας, ἀνῄρηται εὐθὺς ἡ πρώτη τῶν ζητημάτων τούτων ὑπόθεσις, ὥστε οὐδεμία περὶ αὐτῶν εὔλογος ἀπολείπεται ἀμφισβήτησις.

4 Τί οὖν δὴ λέγωμεν περὶ τῆς μετὰ ταύτην ἐπιζητήσεως, τί δίκαιον δήποτε μὲν ἀξιοῦσι τὸν θεραπεύοντα εἶναι οἱ καλούμενοι, αὐτοὶ δὲ τὰ ἄδικα κελευόμενοι δρᾶν ὑπομένουσι; πρὸς δὴ τούτῳ ἔχω περὶ τοῦ δικαιοπραγεῖν διαμφισβητῆσαι, ὡς οὐχ ὁ αὐτὸς ὅρος ἡμῖν τε φαίνεται περὶ αὐτοῦ καὶ τοῖς θεοῖς. ἀλλ' ἡμεῖς μὲν ἅτε δὴ ἐπὶ τὸ βραχύτατον ἀποβλέποντες τὰ παρόντα πράγματα ἐπισκοποῦμεν καὶ τὸν ἐν ποσὶ βίον, τίς τέ ἐστι καὶ ὅπως γίνεται· οἱ μέντοι κρείττονες ἡμῶν ὅλην τὴν ζωὴν τῆς ψυχῆς καὶ τοὺς προτέρους αὐτῆς βίους πάντας ἐπίστανται, καὶ εἴ τινα δὴ τιμωρίαν ἐπάγουσιν ἐκ παρακλήσεως τῶν καλούντων, οὐκ ἔξω τῆς δίκης ταύτην ἐπιφέρουσιν, ἀλλὰ στοχαζόμενοι τῶν ἐν προτέροις βίοις ἁμαρτημάτων

1. τούτων] οὕτως O. 2. τιμιώτατα A. 6. δὴ] δή τι AC. || λέγομεν BCD. 11. μὲν] sic ABC et Gale not., δὲ O. 14. κρείττοντες O. 14. 15. ψυχὴν τῆς ζώης O. 15. πάντες ACD.

quid autem communitatem et simplicitatem spirat ut merito praestantius tribuamus eis, quae longe transvolant terrenarum rerum varietatem, statim tolletur prima harum quaestionum materia, ita ut nulla relinquatur de his dubitatio iusta et probabilis.

4 Quid autem dicemus de proxima tua quaestione, cur iustos esse suos cultores censent oportere dii, ipsi interim si iniuste agere iubeantur non diffugiunt? ad hoc igitur sic. merito dubito quid sit illud quod tu vocas iuste agere, et puto aliam apud deos iusti esse definitionem, aliam apud nos. nos enim ut qui parum prospicimus, res tantum praesentes contemplamur, et hodiernam vitam quae et qualis sit consideramus: dii vero nobis praestantiores universam animae vitam et priores status contuentur, atque adeo si quam poenam ex invocatione inferant, non tamen iniuste eam inferunt, sed habent rationem peccatorum quae in vita priori admisit anima iam tandem

τῆς ψυχῆς τῶν πασχόντων· ἅπερ οἱ ἄνθρωποι οὐχ ὁρῶντες νομίζουσιν αὐτοὺς ἀδίκως περιπίπτειν ταῖς συμφοραῖς αἷς πάσχουσι.

Καὶ πρὸς τὴν πρόνοιαν δὲ τὸ αὐτὸ τοῦτο κοινῶς 5 εἰώθασιν οἱ πολλοὶ προσαπορεῖν, οἵ τινες παρὰ τὴν ἀξίαν κακῶς πάσχουσι μηδὲν ἠδικηκότες πρότερον. οὐδὲ γὰρ ἐνταῦθα δύνανται ἀναλογίζεσθαι, τίς οὖσα ἡ ψυχὴ καὶ τίνα ἔχουσα τὴν ὅλην ζωὴν καὶ πόσα ἐν προτέροις βίοις διαμαρτήσασα τυγχάνει, καὶ εἰ ἄρα πάσχει ταῦτα ἅπερ ἐποίησε πρότερον· πολλὰ δὲ καὶ λανθάνει τὰς ἀνθρωπίνας διαγνώσεις ἀδικήματα, τοῖς δὲ θεοῖς ἐστὶ γνώριμα, ἐπεὶ οὐδὲ τὸν αὐτὸν σκοπὸν τοῖς ἀνθρώποις προτίθενται τῆς δικαιοσύνης. ἀλλ' οἱ μὲν ἄνθρωποι τὴν ἰδίαν τῆς ψυχῆς αὐτοπραγίαν καὶ τὴν κατὰ τοὺς καθεστῶτας νόμους καὶ τὴν κρατοῦσαν πολιτείαν διανομὴν τῆς ἀξίας ἀφορίζονται εἶναι δικαιοσύνην· οἱ μέντοι θεοὶ πρὸς τὴν ὅλην τοῦ κόσμου διάταξιν καὶ πρὸς τὴν συντέλειαν τοῖς θεοῖς τῶν ψυχῶν ἀποβλέποντες, τὴν κρίσιν τῶν δικαιωμάτων ἐπιβάλλουσι. διόπερ δὴ ἄλλως μὲν παρὰ τοῖς θεοῖς

5. εἵτινες AD. 6. κακῶν A. 7. δύναται A. 11. γνώρημα D. 17. συντέλειαν] συγγένειαν Gale not. 19. ἄλλων BD. || μὲν] μέντοι O.

punita: quod cum homines non satis animadvertant, putant se inusté iis quae patiuntur implicari malis.

Eodem modo solent quamplurimi de providentia addubitare, si 5 qui praeter meritum mala patiantur, cum ipsi nihil prius iniuste egerint. revera enim illi non possunt perfecte intelligere animam suam qualis sit, qualem vitam in universum egerit, quod peccaverit in statu antecedenti, et utrum iam patiatur quae prius male fecit. adde quod etiam in hac vita multa iniuste facta fugiunt hominum cognitionem, quae tamen deos minime latent, quoniam aliam forte de iusto notionem quam homines admittunt. homines iustitiam definiunt per proprium animae officium et per distributionem sui cuique meriti, iuxta leges praescriptas et politiam receptam: dii vero iustum aestimant ex respectu ad ordinationem totius mundi, spectantque totam animarum cognitionem apud deos extantem. alio igitur modo dii

ἄλλως δὲ παρ' ἡμῖν τῶν δικαίων ἡ κρίσις γίνεται· καὶ οὐκ ἂν θαυμάσαιμι, εἰ μὴ ἐφικνούμεθα ἐν τοῖς πλείστοις τῆς ἄκρας καὶ τελειοτάτης τῶν κρειττόνων κρίσεως.

Τί δὲ κωλύει καθ' ἑαυτὸν ἑκάστῳ καὶ μετὰ τῆς ὅλης συγγενείας τῶν ψυχῶν παρὰ τοῖς θεοῖς πολὺ διαφερόντως δοκιμάζεσθαι τὸ δίκαιον; εἴπερ γὰρ ἡ κοινωνία τῆς αὐτῆς φύσεως ἔν τε σώμασι καὶ ἄνευ σωμάτων οὔσαις ταῖς ψυχαῖς συμπλοκήν τινα τὴν αὐτὴν πρὸς τὴν τοῦ κόσμου ζωὴν καὶ τάξιν ἐναπεργάζεται κοινήν, καὶ τὴν ἔκτισιν τῆς δίκης ἀναγκαῖον ἀπαιτεῖσθαι ἀφ' ὅλων, καὶ μάλιστα ἡνίκα ἂν τὸ μέγεθος τῶν μιᾷ προϋπηργμένων ἀδικημάτων ὑπεραίρῃ τὴν ἀπὸ μιᾶς τῆς ἀκολούθου τοῖς πλημμελήμασι τιμωρίας ἀποπλήρωσιν· εἰ δέ τις καὶ ἄλλους προστιθείη διορισμούς, καθ' οὓς ἐπιδείκνυσιν ἑτέρως τὰ δίκαια παρὰ τοῖς θεοῖς ἔχοντα ἢ ὡς παρ' ἡμῖν διέγνωσται, γένοιτ' ἂν καὶ ἀπ' ἐκείνων ἔφοδος ἡμῖν ἐπὶ τὸ προκείμενον· ἀλλ' ἐμοὶ καὶ οἱ προειρημένοι μόνοι κανόνες ἐξαρκῶσιν εἰς τὸ

4. τί] τὸ CD. 9. ἀπεργάζονται AC, ἐναπεργάζονται D. 10. ἀναγκαῖα C. 11. προϋπεργμένων O, προπεπραγμένων Gale not. 11. 12. ὑπεραίρῃ] sic Velsenius, ὑπεραίρει O. 12. τὴν] sic AC, τοὺς BD, τὰς O. || τοῖς] τῆς BD. 14. ἑτέρως] ἑτέρων D. || παρὰ] περὶ AC. 15. ἡμῖν] ἡμῶν ἐστὶ O. 17. ἐξαρκοῦσιν ACD Reg.

de iusto statuunt, alio autem nos. nec mirum si nos summam illam et exactam deorum iustitiam in quamplurimis non assequamur.

Deinde quid impedit quo minus dii per se unicuique et simul cum respectu ad totam animarum cognationem apud se et quidem praecipue ius decernant? si enim eiusdem naturae communio existens inter animas, tum in corpore positas tum extra corpus existentes, complexionem quandam eandem et communem cunctis efficit ad totam mundi vitam et ordinem, etiam necesse erit iudicii expletionem a tota communione expectari, praesertim ubi magnitudo scelerum ab una anima admissorum excedit, quod uni infligi possit, supplicium ista peccata consequens. si quis autem praeter has adiicere velit alias definitiones, per quas ostendat quod aliter apud deos iusti rationes se habeant quam apud nos, inde quoque ad institutum nostrum nobis aliquid erit opportunum; mihi autem sufficiant praedicti cano-

δηλῶσαι τὸ καθόλου καὶ πάντα περιέχον γένος τῆς ἐν ταῖς δίκαις ἰατρείας.

Ἵνα τοίνυν ἐκ περιουσίας διαγωνισώμεθα πρὸς τὴν 6
νῦν λεγομένην ἀντίληψιν, δῶμεν εἰ βούλει καὶ τὸ ἐναντίον οὗ κατεσκευάσαμεν, ὡς ἄδικά τινα δρᾶσθαι ἐν ταῖς κατὰ τὰς κλήσεις πραγματείαις· ὅτι τοίνυν οὐδὲ τούτων αἰτιατέον τοὺς θεοὺς αὐτόθεν μὲν πρόδηλον· οἱ γὰρ ἀγαθοὶ ἀγαθῶν εἰσιν αἴτιοι, κακοῦ δὲ παντὸς ἀναίτιοι· καὶ οἱ θεοὶ κατ' οὐσίαν ἔχουσι τὸ ἀγαθόν· οὐδὲν ἄρα ἄδικον ποιοῦσιν. ἀλλὰ ἄρα τὰ αἴτια τῶν πλημμελῶς γιγνομένων ζητητέον· εἰ δὲ μὴ οἷοί τέ ἐσμεν εὑρεῖν αὐτά, οὐ χρὴ προΐεσθαι τὴν ἀληθῆ περὶ θεῶν ἔννοιαν, οὐδὲ διὰ τὰ ἀμφισβητούμενα εἰ γίνεται καὶ ὅπως γίνεται ἀφίστασθαι χρὴ τῆς ὄντως ἐναργοῦς περὶ θεῶν ἐννοίας· πολὺ γὰρ βέλτιον ἀγνοεῖν προσομολογῆσαι τὴν ἀτοπίαν τῆς δυνάμεως, πῶς τὰ ἄδικα διαπράττεται, ἢ συγχωρῆσαι περὶ

5. κατεσκευάκαμεν A. || ἄδικά] ἄδηλά B. || δρᾶσθαι] δρᾶσαι B, δρᾶται D, δρᾶσται C. 6. πραγματείας D. || οὐδὲ] οὔτε O. 8. κακοῦ — ἀναίτιοι om. O. 10. πλημμελῶν A. 11. εἰ] ἀεὶ B. 13. γίνονται (bis) AC, γίνεται (alterum)] γίνονται D. 14. πολὺ] πρὶν D. 15. ἀτονίαν Gale not.

nes, in quibus ostendi generalem aliasque in se complectentem viam ad sanandas contra divina iudicia obiectiones.

Sed concedamus si vis, ut ex superabundanti positam oppugnemus obiectionem, id quod nostrae sententiae contrarium est, iniusta aliquando contingere ex hoc invocationum negotio; sane res ipsa loquitur deos tamquam causas nequaquam oportere insimulare. quippe boni bonorum, nequaquam autem malorum sunt causae, immo bonum diis est essentiale: iniustum ergo nihil faciunt. quare alibi causas iniuste factorum quaerere debemus: quas si forte non valeamus invenire, non oportebit veram de diis statim proiicere opinionem, nec propter huiusmodi dubitationes, an mala fiant a diis et quomodo fiunt, peierare certam de diis et manifestam scientiam. multo melius est nostrarum virium imbecillitatem profiteri ad malorum causas assignandas, quam mendacium de diis et impossibile aliquid conce- 6

θεῶν ἀδύνατόν τι ψεῦδος, περὶ οὗ πάντες Ἕλληνές τε καὶ βάρβαροι ἐναντία ἀληθῶς διαδοξάζουσιν.

7 Ἔχει μὲν οὖν τό γε ἀληθὲς οὕτως· οὐ μὴν ἀλλὰ δεῖ προσθεῖναι καὶ τὰ αἴτια τῆς ἐνίοτε τῶν κακῶν γενέσεως, πόσα τέ ἐστι καὶ ὁποῖα· καὶ γὰρ οὐδὲ ἁπλοῦν αὐτῶν ὑπάρχει τὸ εἶδος· ποικίλον δ' αἴτιον ποικίλων κακῶν προηγεῖται τῆς γενέσεως. εἰ γὰρ ἀληθῶς ἄρτι ἐλέγομεν περὶ τῶν εἰδώλων καὶ τῶν κακῶν δαιμόνων τῶν ὑποκρινομένων τὴν τῶν θεῶν καὶ τῶν ἀγαθῶν δαιμόνων παρουσίαν, πολὺ δήπου τι καταφαίνεται ἐντεῦθεν ἐπιρρέον τὸ κακοποιὸν φῦλον, περὶ ὃ συμβαίνειν φιλεῖ ἡ τοιάδε ἐναντίωσις. δίκαιον μὲν γὰρ ἀξιοῖ εἶναι τὸν θεραπεύοντα, διότι ὑποκρίνεται εἶναι οἷον τὸ θεῖον γένος· ὑπηρετεῖ δὲ πρὸς τὰ ἄδικα, διότι πέφυκεν εἶναι πονηρόν· ἔστω δὴ οὖν ὁ αὐτὸς λόγος περὶ ψεύδους καὶ ἀληθοῦς καὶ ἀγαθοῦ καὶ κακοῦ. καθάπερ δὴ οὖν ἐν ταῖς μαντείαις μόνως τὸ ἀληθεύειν τοῖς θεοῖς ἀπονείμαντες, κατιδόντες τὸ ψεῦδος λεγόμενον ἐν αὐταῖς, εἰς ἕτερον γένος αἰτίας τοῦτο

2. τἀναντία ABD. 4. τὰς αἰτίας C. 6. δ' αἴτιον] sic A, δ' ἔτι ὂν O. 7. προηγῆται A. 9. τῶν (alterum) om. O. 11. φύλλον ACD. || post φιλεῖ A add. καί. 12. θεράποντα O.

dere; quandoquidem his de rebus tum Graeci omnes tum barbari eadem vere sentiant.

7 Atque adeo pro veris haec admitti oportet. at enim recte fecerimus, si adiiciamus causas unde aliquando mala ortum habeant, etiam et quot qualesque sint: nec enim una et simplex causa est; sed multiplex causa fons est malorum multiplicium. iam si vera sint quae paulo prius diximus de idolis et malis daemonibus qui deorum et daemonum bonorum praesentiam mentiuntur, hinc sane deprehendimus statim maleficae turbae scaturiginem, unde haec omnis contrarietas oriri solet. daemon enim malus postulat a cultore ut bonus sit, quoniam fingit se esse e genere vere divino; interim ad iniusta subservit, quoniam revera malus est. idem dici possit de falso et vero quod de bono et malo. quemadmodum igitur in vaticiniis diis tribuimus sola quae vera sunt, deprehendentes vero aliquid falsi in illis, ad aliud causae genus nempe in daemones reiici-

ἀνηγμένον, τὸ τῶν δαιμόνων, οὕτω καὶ ἐπὶ τῶν δικαίων καὶ ἀδίκων θεοῖς μὲν καὶ ἀγαθοῖς δαίμοσιν ἀποδιδόναι δεῖ μόνως τὸ καλὸν καὶ δίκαιον, τὰ δὲ ἄδικα καὶ αἰσχρὰ ἀπεργάζονται οἱ φύσει πονηροὶ δαίμονες. καὶ τὸ μὲν ὁμολογούμενον πάντῃ καὶ σύμφωνον πρὸς ἑαυτὸ καὶ ἀεὶ ἑαυτῷ ὡσαύτως ἔχον προσήκει τοῖς κρείττοσι, τὸ δ' ἐναντίον καὶ ἀσύμφωνον καὶ μηδέποτε τὸ αὐτὸ τῆς δαιμονίας διαστάσεώς ἐστιν ἰδιώτατον, περὶ ἣν εἰ γίνεται τὰ μαχόμενα οὐδέν ἐστι θαυμαστόν· ἀλλὰ τοὐναντίον ἴσως ἂν ἦν θαυμαστότερον, εἰ μὴ οὕτως εἶχεν.

Ἀπ' ἄλλης τοίνυν αὖθις ὁρμώμενοι ὑποθέσεως τὰ 8
σωματικὰ μέρη τοῦ παντὸς οὔτε ἀργὰ οὔτε δυνάμεως ἄμοιρα εἶναι τιθέμεθα, ἀλλ' ὅσῳ τελειότητι καὶ κάλλει καὶ μεγέθει προέχει τῶν ἡμετέρων, τοσούτῳ καὶ δύναμιν αὐτοῖς παρεῖναι μείζονα ἀποφαινόμεθα. αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ ἕτερα δύναται καὶ ποιεῖ διαφερούσας τινὰς ἐνεργείας· δύναται δὲ καὶ πρὸς ἄλληλα πολὺ δήπου πλείονα ἀπεργάζεσθαι. καὶ δῆτα καὶ εἰς τὰ μέρη καθήκει

3. δεῖ] sic AC, om. O. || μόνως] μόνον D. 6. ἑαυτῷ] ἑαυτὸ D. || κρείττωσι D, 9. ἂν] μὲν O. 11. τοίνυν αὖθις] sic AC, τοίνυν D, om. O. || ὑπογενέσεως B. 13. τιθέμενα B. 14. προέχει] διαφέρει Fesch. 15. οὖν] sic AC, om. O. 18. καὶ post δῆτα] sic AC, om. O. || καθίκει AC.

mus, sic oportet de iusto et iniusto statuere, et diis bonisque geniis pulchrum et iustum duntaxat tribuere: nam inusta et turpia daemones natura mali operantur. deinde quicquid sibi constat sibi consentit sibi eodem semper modo simile est, id melioribus naturis convenit; quod autem secum pugnat discordat nec idem est, id proprium est naturae daemonum factiosae, in qua si contraria et pugnantia reperiantur, nihil miri; potius mirandum si non ita esset.

Ab alio argumento ordientes idem sic conamur ostendere. par- 8
tes mundi corporeae neque otiosae sunt neque virium expertes; sed tanto iis maiorem vim adiudicamus quanto nostras res perfectione pulchritudine magnitudine superant. igitur unaquaeque earum vires seorsum differentes habet, actiones diversas edit; item habitudine quadam ad invicem multo plura conficere possunt. quinetiam descendit ab universalibus ad particulas quaedam actio multiformis,

τις ἀπὸ τῶν ὅλων ἡ μὲν συμπαθὴς καθ' ὁμοιότητα τῶν δυνάμεων ἡ δὲ κατ' ἐπιτηδειότητα τοῦ ποιοῦντος πρὸς τὸ πάσχον πολυειδὴς ποίησις. οὐκοῦν σωματικαῖς ἀνάγκαις συμβαίνει τινὰ περὶ τὰ μέρη κακὰ καὶ ὀλέθρια, ὡς μὲν πρὸς τὰ ὅλα καὶ τὴν ἁρμονίαν τοῦ παντὸς ὄντα σωτήρια καὶ ἀγαθά, τοῖς δὲ μέρεσιν ἀναγκαίαν τινὰ φθορὰν ἐπάγοντα, ἢ τῷ μὴ δύνασθαι φέρειν τὰς τῶν ὅλων ἐνεργείας, ἢ ἄλλῃ τινὶ συμμίξει καὶ κράσει τῆς ἀφ' ἑαυτῶν ἀσθενείας, ἢ τὸ τρίτον ἀσυμμετρίᾳ τῶν μερῶν πρὸς ἄλληλα.

9 *Μετὰ δὲ τὸ σῶμα τοῦ παντὸς ἀπὸ τῆς φύσεως αὐτοῦ πολλὰ γίνεται· καὶ γὰρ ἡ συμφωνία τῶν ὁμοίων καὶ ἡ ἐναντίωσις τῶν ἀνομοίων ἀπεργάζεται οὐκ ὀλίγα. ἔτι δὲ ἡ τῶν πολλῶν σύνοδος εἰς ἓν τὸ τοῦ παντὸς ζῷον καὶ αἱ δυνάμεις δὲ αἱ ἐν τῷ κόσμῳ ὅσαι ποτέ εἰσι καὶ ὁποῖαι, ἄλλο μὲν ὡς ἁπλῶς εἰπεῖν ἐπὶ τῶν ὅλων, ἕτερον δ' ἐπὶ τῶν μερῶν ἐπιτελοῦσι διὰ τὴν τῶν μερῶν διῃρημένην ἀσθένειαν· οἷον ἡ φιλία τοῦ παντὸς καὶ ὁ ἔρως καὶ τὸ νεῖκος κατ' ἐνέργειαν μὲν ὄντα ἐν τῷ παντί, παθήματα*

2. *ἐπιτηδιότητα* O. 3. *οὐκοῦν*] *εἰ μὲν οὖν* O. 6. *τινὰ*] sic AC, om. O. 7. *φορὰν* B. || *ἐπάγονται* O.

descendit autem facillime vel propter accommodationem agentis ad patiens. igitur ex corporis necessitatibus mala aliqua vel damna partibus accidunt, totis quidem et universi harmoniae salutaria et consona, partibus vero necessario corruptionem adferentia, vel quoniam nequeunt vires universorum sustinere, vel propter mistionem et temperaturam propriae imbecillitatis, vel tertio quoniam non servatur inter partes proportio.

9 Adde quod praeter ipsum mundi corpus multa potest ipsa mundi natura generare. nam et similium concordia et discordia dissimilium non pauca operatur. praeterea multarum in unum mundi animal coitio et potentiae vigentes in toto mundo quotcunque tandem sint et quales, aliud quidem in totis ut simpliciter dicam, aliud in partibus agunt propter dissipatam partium imbecillitatem. sic amicitia totius et amor et contentio in toto quidem sunt actiones, in partibus de iis participantibus passiones evadunt. item quae in ideis

ἐν τοῖς μετέχουσι τῶν καθ' ἕκαστα γίνεται· ἐν εἴδεσι δὲ προεστηκότα καὶ λόγοις καθαροῖς ἐν τῇ τῶν ὅλων φύσει μεταλαμβάνει τινὸς ὑλικῆς ἐνδείας καὶ ἀμορφίας ἐπὶ τῶν κατὰ μέρος. συνηνωμένα δὲ πρὸς ἄλληλα ἐπὶ τῶν ὅλων, ἐπὶ τῶν μερῶν διαστασιάζει. καὶ οὕτως ἐπὶ πάντων ἐξίσταται τῶν καλῶν καὶ τελείων καὶ ὅλων τὰ μεθ' ὕλης αὐτῶν μεταλαγχάνοντα μεριστά. ἔνια δὲ καὶ φθείρεται τῶν μερῶν ὑπὲρ τοῦ τὰ ὅλα τὰ κατὰ φύσιν συνεστηκότα διασώζεσθαι· καὶ θλίβεται δὲ καὶ βαρεῖται ἐνίοτε τὰ μέρη, καίτοι τῶν ὅλων ὡς φυομένων ἀπ' αὐτῆς τῆς τοιαύτης ὀχλήσεως ἀπαθῶν διαμενόντων.

Συλλογισώμεθα δὴ οὖν τὰ ἀπὸ τούτων συμβαίνοντα· 10
εἰ γὰρ φυσικαῖς δυνάμεσιν ἢ σωματικαῖς τοῦ παντὸς χρῶνταί τινες τῶν καλούντων, ἡ μὲν δόσις γίνεται τῆς ἐνεργείας ἀπροαίρετος καὶ ἄνευ κακίας· ὁ μέντοι χρώμενος αὐτῇ μεταστρέφει τὴν δόσιν ἐπὶ τἀναντία καὶ τὰ φαῦλα. καὶ ἡ μὲν συμπαθῶς δι' ὁμοιότητα τοῖς πάθεσιν ὑπεναντίως συγκινεῖται. ὁ δὲ ἤδη κατὰ προαίρεσιν ἕλκει παρὰ

5. διαστασιάζει] sic CD, διαστάζει A, διστάζει O. 7. αὐτῷ O. 8. καὶ] sic ACD, om. O. ‖ ὅλα τὰ] sic ACD Reg., ὅλα O. 10. ὅλων ὡς] sic ACD, ὅλων O. 11. τῆς om. A. 12. δὴ] sic AD, om. O. 17. post ὁμοιότητα ACD addunt καὶ δι' ὁμοιότητα. 17. 18. ὑπεναντίων AC.

et puris rationibus praecellunt in totius natura, contrahunt aliquid materiatae indigentiae et tandem in partibus aliquid deformitatis; et quae in totis sunt unita, in partibus dissident. atque ita particularia quae cum conditionibus materiae tota participant, in omnibus degenerant a pulchris a perfectis a totis: corrumpuntur insuper quaedam partes, ut tota secundum naturam constituta serventur. partes conteruntur et premuntur aliquando, totis interea ex hac ipsa conturbatione natis, passionis expertibus.

Colligamus tandem quae ex positis sequuntur. naturalibus aut 10
corporeis universi potentiis quoties utuntur invocantes, ad eos descendit efficacitatis communicatio libera quidem et ad malefaciendum indeterminata; et qui utitur ea communicatione is est qui ea abutitur ad contrarias hoc est malas artes. ipsa quidem communicatio sympathetice et propter similitudinem tantum una movetur cum passio-

τὸ δίκαιον ἐπὶ τὰ φαῦλα τὸ διδόμενον· καὶ ἡ μὲν κατὰ μίαν ἁρμονίαν τοῦ κόσμου τὰ πορρωτάτω ποιεῖ συνεργεῖν· εἰ δέ τις τοῦτο καταμαθὼν ἕλκειν ἐπιχειροίη μὴ καλῶς μοίρας τινὰς τοῦ παντὸς εἰς ἕτερα μέρη, οὐ τά γε ἐκείνου αἴτια, ἀλλ' ἡ τῶν ἀνθρώπων τόλμα καὶ παράβασις τῆς ἐν τῷ κόσμῳ τάξεως παρατρέπει τὰ καλὰ καὶ νόμιμα. ὁπότε δὴ οὖν οὔτε οἱ θεοὶ δρῶσι τὰ δοξαζόμενα εἶναι πονηρά, ἀλλ' αἱ καθήκουσαι ἀπ' αὐτῶν φύσεις τε καὶ τὰ σώματα· οὔτε αὐτὰ ταῦτα οὕτως ὡς νομίζεται ἐνδίδωσι πλημμέλειάν τινα ἀφ' αὐτῶν, ἐπὶ σωτηρίᾳ δὴ τῶν ὅλων καταπέμπει τοῖς περὶ γῆν τὰς οἰκείας ἀπορροίας, οἵ τε παραδεχόμενοι αὐτὰς συμμίξει τῇ οἰκείᾳ καὶ παρατροπῇ μεταπλάττουσιν, ἑτέρως τε διδομένας ἐπ' ἄλλα μετάγουσι. καὶ κομιδῇ ἐξ ἁπάντων τούτων ἀναίτιον ἀποδέδεικται εἶναι τῶν κακῶν καὶ ἀδίκων τὸ θεῖον.

3. τοῦτο] sic ACD, om. O. 9. ὡς] sic A, om. O. || κομίζεται B. 10. τινα] sic ACD, τε B, om. O. || ἑαυτῶν A. || δὴ] δὲ A. 12. παραδεχόμενοι] κατεχόμενοι C Reg. Fesch. 13. μεταπλάττουσιν] sic ACD, μεταλλάττουσιν O. || διδωμένας D. 14. καὶ om. CD.

nibus paulo praeter naturam, maleficus vero plena voluntate praeter aequum et bonum id quod communicatur ad malum trahit. porro superna communicatio per simplicem ratamque illam mundi concordiam partes longissimas effectu suo tangit; si quis interim hoc deprehendens moliatur inique partes sortesve universi pervertere in alias partes, sane his mali sequentis causa non est tribuenda, sed hominum audaciae et transgressioni quae ea quae iuxta mundi ordinem bona sunt et salutaria pervertunt. quandoquidem igitur neque ipsi dii faciunt mala quae videntur, sed naturae et corpora quae divinitus descendunt; sed nec haec ipsa, prout plerique arbitrantur, a se ipsis vitium communicant, sed ad salutem totius influxus suos ad terrena dirigunt, et qui eos recipiunt propriis mixturis et mutationibus pervertunt, aliumque in finem missas ad alium diversum transferunt. atque ex his omnibus abunde ostendimus malorum et iniuste factorum causas ad deos referri non oportere.

Ἐρωτᾷς δὴ καὶ ἅμα ἀπορεῖς μετὰ τοῦτο, ὡς μὴ καθαρῷ μὲν ὄντι ἐξ ἀφροδισίων οὐκ ἂν καλοῦντι ὑπακούσαιεν, αὐτοὶ δὲ ἄγειν εἰς παράνομα ἀφροδίσια τοὺς τυχόντας οὐκ ὀκνοῦσι. τὰ δὲ ἔχει μὲν καὶ ἀπὸ τῶν ἔμπροσθεν εἰρημένων σαφῆ τὴν λύσιν. εἰ τῶν μὲν νόμων ἐκτός, κατ' ἄλλην δὲ κρείττονα τῶν νόμων αἰτίαν καὶ τάξιν ταῦτα γίνεται, ἢ εἰ καθ' ἁρμονίαν μὲν καὶ φιλίαν ἐν τῷ κόσμῳ, κατὰ δέ τινα ἀσυμπαθῆ κρᾶσιν ἐπὶ τῶν μερῶν τὰ ταιαῦτα συμβαίνει, ἢ εἰ καλῶς διδομένων μεταστρέφεται ἡ δόσις τῶν καλῶν ὑπὸ τῶν λαμβανόντων ἐπὶ τἀναντία. 11

Οὐ μὴν ἀλλὰ δεῖ κατ' ἰδίαν ἐπισκέψασθαι περὶ αὐτῶν τούτων, ὅπως τε γίνονται καὶ ὅντινα ἔχει λόγον. δεῖ δὴ νοεῖν ὡς ἓν ζῷόν ἐστι τὸ πᾶν. τὰ δ' ἐν αὐτῷ μέρη διέστηκε μὲν τοῖς τόποις, τῇ δὲ μιᾷ φύσει σπεύδει πρὸς ἄλληλα. τὸ δὲ συναγωγὸν ὅλον καὶ τὸ τῆς συγκράσεως αἴτιον ἕλκει μὲν καὶ αὐτοφυῶς τὰ μέρη πρὸς τὴν ἀλλή- 12

4. τὰ] τὸ ACD. 4. 5. ἔμπροσθεν] sic CD, ἔκπροσθεν O. 5. εἰ τῶν μὲν νόμων] sic ACD, εἰ νόμων μὲν O. 7. καθ' ἁρμονίαν] καθαρσίαν B. 8. ἀσυμπαθῆ] sic AC, συμπαθῆ O. || κρᾶσιν] sic ACD, κροῦσιν O. 10. ὑπὸ τῶν om. A. 12. δεῖ] δεῖ καὶ ACD. 15. σπεύδη D.

Interrogas porro dubitanti similis, quomodo fit ut dii non auscultent invocanti si ex rebus venereis impurus sit, ipsi interim ad illicitos congressus quoscunque homines impellere non graventur. habes ex prius dictis unde haec facile solvas; si fiant ista contra leges humanas, fiunt tamen iuxta aliam causam et ordinem omnibus legibus superiorem. et licet fiant in mundo ad harmoniam et amicitiam, in partibus tamen irregularitas accidere possit, propterea quod hae ob complexionem suam facile nimium tum mutuo tum toti compatiantur: sed et hoc modo solvere possis, si concedas quod quae a superis descendit boni communicatio, a recipientibus in contrarium pervertatur. 11

Quin de his ipsis singillatim dispiciamus quomodo fiant et quam habeant rationem. animadvertere oportet quod mundus unum animal est; partes eius licet loco a se invicem disterminentur, naturali tamen consensu ad se mutuo conspirant. atque vis ipsa conciliatrix et causa communis omnium mistionis trahit quidem partes 12

λων σύμμιξιν. δύναται δὲ καὶ ἀπὸ τέχνης ἐγείρεσθαί τε καὶ ἐπιτείνεσθαι μᾶλλον τοῦ δέοντος· αὐτὸ μὲν οὖν καθ' ἑαυτὸ καὶ τὸ διατεῖνον ἀπ' αὐτοῦ περὶ ὅλον τὸν κόσμον ἀγαθόν τέ ἐστι, καὶ πληρώσεως αἴτιον, κοινωνίας τε καὶ συνόδου καὶ συμμετρίας συναρμοστικόν, ἔρωτός τε ἀδιάλυτον ἀρχὴν ἐντίθησι τῇ ἑνώσει, διακρατοῦσαν τά τε ὄντα καὶ τὰ γιγνόμενα. ἐν δὲ τοῖς μέρεσι διὰ τὴν ἀπ' ἀλλήλων καὶ τῶν ὅλων ἀπόστασιν, καὶ διότι κατὰ τὴν ἰδίαν αὐτῶν φύσιν ἀτελῆ τέ ἐστι καὶ ἐνδεῆ καὶ ἀσθενῆ, μετὰ πάθους ποιεῖται τὴν ἀλληλουχίαν· ἀφ' οὗ δὴ καὶ ἐπιθυμία καὶ ἔφεσις σύμφυτος αὐτῶν τοῖς πλείστοις ἔνεστι.

Κατιδοῦσα δὴ οὖν αὐτὸ οὕτως ἐνσπειρόμενον τῇ φύσει καὶ περὶ αὐτὴν μεριζόμενον τέχνη, πολυειδῶς καὶ αὐτὴ μεριζομένη περὶ τὴν φύσιν ἕλκει ποικίλως αὐτὸ καὶ μετοχετεύει, καὶ τὸ μὲν ἐν ἑαυτῷ τεταγμένον εἰς ἀταξίαν μετάγει, τὸ δὲ κάλλος καὶ τὸ τῶν εἰδῶν σύμμετρον ἀσυμμετρίας καὶ ἀσχημοσύνης ἐμπίμπλησι, τὸ δ' ἐν ἑκάστοις

3. καὶ τὸ] sic ACD, om. O. 7. γινόμενα D. 16. μετοχετεὺς A. || ἐν om. ACD. 17. μετέχει A. 17. 18. ἀσυμμετρίας καὶ] sic ACD, om. O. 18. ἐμπίπλησι D. || δ' ἐν ἑκάστοις] δ' ἕνεκα τῆς ACD.

ad se invicem miscendas suapte natura. possit etiam eiusmodi appetitus arte quadam incitari et intendi praeter ordinem. haec vis conciliatrix ipsa et quicquid ab ea in universum mundum diffunditur bonum est, plenitudinem efficit communionem consensum, symmetriam apte et harmonice procurat, amoris unionisque initium rebus omnibus indit, per quod quae sunt quaeque fiunt universa continentur. in partibus cum propter earum distantiam et invicem et a totis, tum etiam propter ipsarum naturam imperfectam egenam et debilem, non nisi cum passione mutuum conficit congressum; unde et vehemens appetitus et acrior impetus earum plurimis innascitur.

Postquam autem vim hanc coaguli passim naturae insitam inditamque deprehendat ars, quae et ipsa quoque varie circa naturam occupatur, trahit eam variis rationibus et quasi in unum derivat, atque adeo quod erat ordinatum in se ad confusionem traducit, quod pulchrum et compositum enormitate et turpitudine replet, quod pul-

ἑνώσεως συμφυόμενον σεμνὸν τέλος ἐπ' ἄλλο ἀπρεπὲς μεταφέρει πλήρωμα τὸ κοινόν, κατὰ πάθος ἐκ διαφερομένων πως συμφερόμενον· ὕλην τε ἐνδίδωσιν ἀφ' ἑαυτῆς, ἥτις πρόσφορός ἐστιν εἰς τὴν ὅλην τοῦ καλοῦ γένεσιν, ἢ μὴ δεχομένη παρὰ πᾶν τὸ καλὸν ἢ ἐπ' ἄλλα αὐτὸ μεταβάλλουσα, δυνάμεις τε πολλὰς φυσικὰς διαφερούσας μίγνυσιν, ἀφ' ὧν ὡς ἂν ἐθέλῃ οὕτω κατευθύνει τὰς πρὸς τὴν γένεσιν συμμίξεις· πανταχόθεν οὖν ἀποδείκνυμεν, ὡς ἐκ τέχνης τινὸς ἀνθρωπίνης ἡ τοιαύτη γίνεται κατασκευὴ τῆς τῶν ἀφροδισίων συμπλοκῆς, ἀλλ' οὐκ ἀπό τινος δαιμονίας ἢ θείας ἀνάγκης.

Ἐπίσκεψαι δὴ οὖν καὶ κατ' ἄλλο αἰτίων γένος· πῶς 13
λίθος ἢ βοτάνη πολλάκις φύσιν ἔχουσιν ἀφ' ἑαυτῶν φθαρτικὴν ἢ πάλιν συναγωγὸν τῶν γινομένων· μὴ γὰρ οὐκ ἦν ἐπὶ τούτων μόνων ἀλλὰ καὶ ἐπὶ μειζόνων καὶ ἐν μείζοσι πράγμασι φύσεων ἡ φυσικὴ αὕτη ἐπικράτεια, ἣν οἱ μὴ δυνάμενοι συλλογίζεσθαι ταχ' ἂν ἐπὶ τὰ κρείττονα

2. *τὸ κοινόν, κατὰ*] sic ACD Fesch., *κατὰ κοινὸν* O. 4. *πρόσφορος*] *ἀπρόσφορος* Gale not. || *ὅλην* om. ACD. 7. *ἐθέλοι* A, *ἐθέλει* C. 12. *καὶ* om. C. 14. *συναγωγὴν* O. 16. *φύσεως* Reg. || *αὕτη*] sic AD, *αὐτὴ* O.

chre et naturaliter in singularum partium unione perficiebatur ad non debitam et communem quandam transfert plenitudinem, quae secundum passionem ex diversis conficitur; materiamque de suo tradit, ineptam quidem ad boni universam productionem, eo quod aut non omne excerpit quod bonum est aut alio quam oportuit id transfert, viresque multas naturales plurimum forte discrepantes commiscet, quarum temperatione pro arbitrio ad generationem utitur. undequaque igitur ostendimus, quod ad res venereas incitatio et pronitas inordinata ab arte potius hominum, quam a necessitate sive deorum sive daemonum proficiscatur.

Contemplare etiam aliud causarum genus, quomodo et lapides 13
et herbae saepe naturas habeant ad dissolvendum vel congregandum res generabiles. atqui non est hoc verum tantum in his, sed etiam in maioribus tum rebus tum naturis manifesta est illa naturalis potestas, quam qui non valeant animadvertere, mirum ni opera natu-

ἔργα τὰ τῶν φύσεων ἐνεργήματα μεταφέροιεν. ἤδη τοίνυν συνωμολόγηται, ἐν τῇ γενέσει καὶ περὶ τὰ ἀνθρώπεια πράγματα καὶ ὅσα ἐστὶν ἐν τοῖς περὶ γῆν τὸ τῶν πονηρῶν δαιμόνων φῦλον πλέον ἐπικρατεῖν δύνασθαι. τί οὖν ἔτι θαυμαστόν, εἰ καὶ τὰ τοιαῦτα ἔργα τὸ τοιοῦτον ἐπιτελεῖ; οὐδὲ γὰρ πᾶς ἀνὴρ διακρῖναι δυνηθείη, τίποτ' ἐστὶ τὸ σπουδαῖον αὐτοῦ καὶ φαῦλον, ἢ τίσι γνωρίσμασι διακρίνεται ἑκάτερον· ὃ δὴ μὴ οἷοί τε ὄντες καθορᾶν ἀτόπως συλλογίζονται περὶ τούτων τὴν τῆς αἰτίας ζήτησιν, καὶ ἐπανάγουσιν αὐτὴν ἐπὶ τὰ κρείττονα γένη τῆς φύσεώς τε καὶ τῆς δαιμονίας τάξεως· εἰ δὲ καὶ τῆς ψυχῆς τῆς μερικῆς ἐπὶ τούτων συνεπιλαμβάνονταί τινες δυνάμεις εἰς ἀπεργασίαν, τῆς τε ἐν σώματι κατεχομένης, καὶ ὅση τὸ μὲν ὀστρεῶδες καὶ γήινον σῶμα ἀφῆκεν, ἐπὶ δὲ πνεύματος θολεροῦ καὶ διύγρου περιπλανᾶται κάτω περὶ τοὺς τῆς γενέσεως τόπους, καὶ αὐτὴ ἀληθὴς μὲν ἂν εἴη ἡ δόξα, πορρωτάτω δὲ τῆς τῶν κρειττόνων αἰτίας δι-

1. τὰ τῶν] sic ACD, τῶν O. 2. ἀνθρώπια D. 7. αὐτὸ O. 8. οἷοί τε ὄντες] sic D, οἷόν τε ὄντες A, οἷον τε BC, οἷοί τε O. 12. συνεπιλαμβάνονται] sic ACD, συλλαμβάνονται O. 13. κατεχομένοις καὶ ὅσοι C. 16. αὐτὴ] potius αὕτη. 17. ἡ δόξα] sic AC, δόξα O.

rae ad superiores causas referant. iam autem in confesso est quod malorum daemonum gens plurimum possit in generatione rebusque humanis et mundanis. non ergo mirandum est si daemones haec et similia patrent: certe non est cuiusvis hominis dicere, qui boni et quinam improbi sunt, aut quibus indiciis ab invicem pernoscantur; quod cum non valeant quidam intelligere, inepte causam harum rerum coniectant et quaerunt, reiiciuntque illam in eas naturas quae meliores sunt natura communi et ipso daemonum gradu superiores. quod si ad has res conficiendas nonnihil forte conferuntur vires quaedam animae particularis, sive ea sit in corpore adhuc, sive postquam testaceum et terrenum domicilium dereliquerit, adhuc autem in spiritu turbido humentique obambulat inferiora haec et loca generationi opportuna, vera etiam esset illa opinio, sed longe a me-

ἕστηκεν. οὐδαμῶς ἄρα τὸ θεῖον καὶ ὅσον ἐστὶν ἀγαθὸν δαιμόνιον ὑπηρετεῖ ταῖς παρανόμοις εἰς τὰ ἀφροδίσια τῶν ἀνθρώπων ἐπιθυμίαις, ἐπειδὴ πέφυκεν αὐτῶν ἄλλα αἴτια πολλὰ ὑπάρχοντα.

Ὁ τοίνυν πάντων, ὡς ἔπος εἰπεῖν, ἀνθρώπων τῶν τε 5, 1
ἐν παιδείᾳ διατριβόντων καὶ τῶν ἀπειροτέρων τῆς ἐν λόγοις μελέτης κοινόν ἐστι ζήτημα, ἀπορεῖς κατὰ τὸ συνεχὲς τὸ περὶ θυσιῶν λέγω, τίνα ἔχουσι χρείαν ἢ δύναμιν ἐν τῷ παντὶ καὶ παρὰ τοῖς θεοῖς, τίνος δ' ἕνεκα λόγου προσφόρως μὲν τοῖς τιμωμένοις, ὠφελίμως δὲ τοῖς τὰ δῶρα προσάγουσιν ἐπιτελοῦνται. πρόσεστι δὲ δὴ αὐτόθι καὶ ἄλλη τις ἐναντίωσις ἡ ἀπὸ τοῦ τοὺς ὑποφήτας ἀπέχεσθαι δεῖν ἐμψύχων, ἵνα μὴ οἱ θεοὶ τοῖς ἀπὸ ζώων ἀτμοῖς χραίνωνται· ἐναντίον γὰρ δὴ τοῦτο τῷ αὐτοὺς τοῖς ἀπὸ ζώων ἀτμοῖς μάλιστα δελεάζεσθαι.

2. ὑπερετεῖ D. 3. πέφηνεν A. 6. παιδία D. 8. ἔχοσι D. 8—11. hic locus in epistola Porphyriana omittitur. 9. δ'] τε AD. 10. μὲν τοῖς] μὲν τῆς C. 14. δὴ] sic ACD, om. O. 15. δηλιάζεσθαι O.

lioribus causis remota. nullo igitur modo aut dii aut quotquot boni sunt daemones illegitimis hominum ad venerem cupiditatibus inserviunt, quoniam harum rerum causae existunt aliae multae.

Sequitur iam quaestio ab omnibus ut dicere vere videor agitata 1
hominibus tam doctis quam indoctis, de sacrificiorum negotio. dubitas enim in sequentibus, quem usum quam vim habeant sacrificia in mundo et apud superos, quave tandem ratione aut ad deorum qui coluntur honorem apte, aut ad eorum qui donis suis eos colunt utilitatem fiant. sed et alia ibidem obiectio occurrit, quod antistites oporteat ab animalibus abstinere, ne dii vaporibus ab animalibus polluantur, cum dii animalium nidoribus vel maxime illiciantur.

2 *Τὴν μὲν οὖν μάχην τῶν νυνὶ προκειμένων εὐπόρως ἄν τις διαλύσειε, τὴν τῶν ὅλων πρὸς τὰ μέρη παραδείξας ὑπεροχήν, καὶ τὴν τῶν θεῶν πρὸς τοὺς ἀνθρώπους ἐξῃρημένην ὑπερβολὴν ὑπομνήσας· οἷον ὃ λέγω τῇ μὲν ὅλῃ ψυχῇ προεστηκέναι τοῦ κοσμικοῦ παντὸς σώματος, καὶ τοῖς οὐρανίοις θεοῖς ἐπιβεβηκέναι τοῦ οὐρανίου σώματος οὔτε βλαβερόν ἐστιν εἰς παθῶν παραδοχὴν οὔτε ἐμπόδιον πρὸς τὰς νοήσεις, τῇδε ἐν μέρει ψυχῇ κοινωνεῖν σώματι πρὸς ἀμφότερα ταῦτά ἐστιν ἀλυσιτελές. εἰ δή τις κατιδὼν τοῦτο συμπλέκει τινὰ τοιαύτην ἀπορίαν, ὡς εἰ τῇ ψυχῇ τῇ ἡμετέρᾳ δεσμὸς τὸ σῶμα, καὶ τῇ τοῦ παντὸς ἔσται δεσμός, καὶ εἴπερ ἡ μεριστὴ ψυχὴ πρὸς τὸ σῶμα ἐπέστραπται, καὶ ἡ δύναμις τῶν θεῶν ὡσαύτως ἐπέστραπται πρὸς τὴν γένεσιν, πᾶς ἂν ἀπαντήσειε πρὸς τοῦτο λέγων, ὡς οὐκ οἶδεν ὅση τίς ἐστιν ἡ τῶν κρειττόνων πρὸς τοὺς ἀνθρώπους καὶ ἡ τῶν ὅλων ὑπεροχὴ πρὸς τὰ μέρη. ἐπ' ἄλλων οὖν καὶ ἄλλων τὰ ἀντικείμενα προσαγόμενα οὐδεμίαν κινεῖ πως ἀμφισβήτησιν.*

4. 5. τὴν μὲν ὅλην ψυχὴν O. 6. τοῖς οὐρανίοις θεοῖς] sic ACD Reg., τοὺς οὐρανίους θεοὺς O. 7. παθῶν] sic AC, om. O. 8. μέρει] ἡμέρα D. 9. πρὸς] πρὸς μέρη Fesch. 13—14. καὶ ἡ δύναμις — ἐπέστραπται om. O. 14. ἀπατήσειε CD. 16. πρὸς om. B. 18. πως] πρὸς AD.

2 Dubitationum istarum facilis erit solutio, si ostendamus quanta sit excellentia totius supra partes, si quae sit deorum eximia maiestas supra homines commemoremus. id volo quod anima mundi praesideat mundano corpori, quodque dii caelestes caeleste corpus moderentur, nihil inde vel passionis noxiae suscipiunt, vel in intelligendo impedimenti, nostrae vero animae sua cum corpore societas damnosa est quoad utrumque. iam si quis hoc animadvertens scrupulum talem iniiciat, quemadmodum corpus nostrum animae compedes et vincula innectit, ita haud dubie et mundanae animae corpus mundanum, et ut particularis anima ad corpus inclinatur, ita quoque deorum vis ad genesin inclinatur, quilibet possit ad haec reponere, quod nesciat is quanta sit superiorum si ad homines conferantur, quanta totius si ad partes conferatur supereminentia. quare istae obiectiones cum ab aliis atque aliis rebus afferantur nullam iure dubitationem movere possunt.

Καὶ ἐνταῦθα δὴ οὖν ὁ αὐτὸς ἐξαρκεῖ λόγος· ἡμῖν 3
μὲν γὰρ βαρύτητα καὶ μιασμὸν ἐναπομόργνυται τῶν τῆς ψυχῆς κοινωνησάντων ποτὲ σωμάτων ἡ ἀπόλαυσις, ἡδυπάθειάν τε ἐντίκτει καὶ ἄλλα ἐμποιεῖ τῇ ψυχῇ πολλὰ νοσήματα· ἐπὶ δὲ τῶν θεῶν καὶ τῶν ἐγκοσμίων καὶ ὅλων αἰτίων ἡ ἀπὸ τούτων ἀναγομένη πως ἱεροπρεπῶς ἀναθυμίασις (ἅτε δὴ περιεχομένη καὶ οὐ περιέχουσα, συναπτομένη τε αὕτη πρὸς τὸ πᾶν, ἀλλ' οὐχὶ συνάπτουσα πρὸς ἑαυτὴν τὰ ὅλα καὶ τὰ τῶν θεῶν), συναρμόζεται αὕτη τοῖς κρείττοσι καὶ τοῖς ὅλοις αἰτίοις, ἀλλ' οὐχὶ κατέχει αὐτὰ καὶ συναρμόζει πρὸς ἑαυτήν.

Οὐδὲ γὰρ ὅπερ σε ἐξίστησιν ὡς μαχόμενον περὶ τῆς 4
τῶν ἐμψύχων ἀποχῆς ἔχει τινὰ δυσκολίαν, εἴ τις αὐτὸ ὀρθῶς ὑπολαμβάνοι· οὐ γὰρ δὴ ἵνα μὴ οἱ θεοὶ τοῖς ἀπὸ ζώων ἀτμοῖς χραίνωνται, διὰ τοῦτο οἱ θεραπεύοντες αὐτοὺς ἀπέχονται τῶν ἐμψύχων. τίς γὰρ ἂν καὶ ἀπὸ σωμάτων ἀναθυμίασις αὐτοῖς πελάσειεν, οἱ καὶ πρὶν ἐφά-

2. *βαρύτατα* B. 2. 3. *τῆς ψυχῆς*] sic ACD, *τῇ ψυχῇ* O. 6. *ἀναγομένη*] sic ACD, *ἐναγομένη* O. 7. 8. *συνταττομένη* A. 8. *συντάττουσα* ACD. 10. *τοῖς* ante *ὅλοις*] sic AC, om. O. ‖ *κατέχει*] sic AC Reg., *κατάσχειν* B, *κατέχειν* D, *κατάσχει* O. 11. *συναρμόζειν* B. 12. *ἐξίστησιν*] *εἴσεισιν* ACD, *εἰςσεσιν* B, *εἴσισεν* Reg. 15. *χραίνονται* D.

Sufficit etiam hic eadem ratio. nobis sane gravedinem et in- **3**
quinamentum affert esus corporum animae nuper coniunctorum, quinetiam dulces animae instillat affectus, aliosque quamplurimos ingenerat morbos. sed vapor exhalans ab animalibus et suffumigatio sacra rite peracta diis mundanisque et universalibus causis (utpote quae in divinis contineatur, non ea vicissim contineat, et ipsa accommodata universo, non autem sibi adaptans universa et divina) ista melioribus naturis et causis universalibus applicatur, nequit autem illa constringere et sibi applicare.

Sed nec illud solutu difficile est, si recte intelligatur, quod te **4**
tantopere movit, ac si pugnares pro abstinentia ab animalibus. nec enim propterea deorum cultores ab animalibus abstinent, ne forte vaporibus dii contaminentur; quae enim a corporibus exhalatio ad deos potest appropinquare? nam dii priusquam materiale aliquid

ψασθαί τι τῶν ἐνύλων τῆς σφετέρας δυνάμεως τὴν ὕλην ἀναφῶς ἀποκόπτουσι; καὶ μὴ ὅτι ἡ δύναμις αὐτῶν ἀναιρεῖ πάντα καὶ ἀφανίζει τὰ σώματα ἄνευ τοῦ πρὸς αὐτὰ πελάζειν, ἀλλὰ καὶ τὸ σῶμα τὸ οὐράνιον ἄμικτόν ἐστι πρὸς πάντα τὰ ὑλικὰ στοιχεῖα, καὶ οὔτε ἂν αὐτὸ παραδέξαιτό τι εἰς ἑαυτὸ τῶν ἔξωθεν, οὔτε ἂν ἀφ' ἑαυτοῦ τινὰ δοίη μοῖραν εἰς τὰ ἀλλότρια. πότε οὖν ἀτμός τις περίγειος, ὃς οὐδὲ ἄχρι σταδίων πέντε ἀπὸ γῆς ἐπαιρόμενος ἀπορρεῖ πάλιν εἰς τὴν γῆν, δύναται τῷ οὐρανῷ πελάζειν ἢ τρέφειν τὸ κυκλοφορητικὸν καὶ ἄυλον σῶμα ἢ ποιεῖν τι ἐν αὐτῷ ὅλως ἢ μίασμα ἢ ἄλλο ὁτιοῦν πάθος;

Ὁμολογεῖται γὰρ δὴ τὸ αἰθέριον σῶμα πάσης ἐκτὸς εἶναι ἐναντιώσεως, τροπῆς τε πάσης ἀπηλλάχθαι, καὶ τὸ δύνασθαι εἰς ὁτιοῦν μεταβάλλειν πάντῃ καθαρεύειν, ῥοπῆς τε τῆς ἐπὶ τὸ μέσον καὶ ἀπὸ τοῦ μέσου παντελῶς ἀπολελύσθαι, διότι ἢ ἀρρεπές ἐστιν ἢ κατὰ κύκλον περι-

5. 6. *παραδέξετο* C. 6. *τινὰ*] *τινος* AC. 8. *ἄχρι σταδίων*] *ἄχρηστα δίων* C. || *σταδίων πέντε*] vaporem terrestrem ad altitudinem quinque tantum stadiorum, i. e. trium milium pedum extolli hic asseverat Jamblichus. sed montium cacumina multo altius, ad decem et quindecim stadia eminere noverat antiquitas. Plut. Aemil. 15. Cleomed. circ. doctr. 1, 56. 9. *καταρρεῖ* AC Reg. 10. *κυκλοφορηκὸν* C. 16. *ἢ* prius om. ACD.

possit eorum potentiam contingere, ipsam materiam sine tactu rescindunt. nec solum haec deorum potestas absque contactu et approximatione omnia corporalia disperdit et delet, sed et ipsum caeleste corpus cum elementis materialibus misceri non potest, nec in se aliquid extranei admittit, nec de suo aliquid alienigenis impertiet. quomodo igitur vapor aliquis terrenus, qui ad quinque stadia non possit ascendere quin iterum ad terram relabatur, caelo ipsi succedet et corpus illud gyrans et immateriale pascet aut maculam aliquam vel passionem quamcunque in eo procreabit?

Est in confesso quod corpus aetherium sit immune ab omni contrarietate, omnique adeo liberum mutatione, quod prorsus purum sit a possibilitate in quidvis aliud conversionis, tum etiam quod ab omni ad medium et a medio tendentia alienum sit, quoniam aut

φέρεται· οὐκ οὖν οὐδὲ ἀπὸ τῶν σωμάτων τῶν ἐκ διαφερουσῶν δυνάμεων καὶ κινήσεων συνεστηκότων, τρεπομένων τε παντοίως, ἢ ἄνω ἢ κάτω φερομένων, οὐκ ἔστιν ἥτις ἂν κοινωνία φύσεως ἢ δυνάμεως ἢ ἀναθυμιάσεως συμμιχθείη πρὸς τὰ ἐν οὐρανῷ σώματα, οὐδὲ ποιήσει τι οὖν εἰς αὐτά, ἅγε παντελῶς ἀπ' αὐτῶν κεχώρισται. οὐ γὰρ ἐκεῖνα δύναμίν τινα ἔχει τοῦ παραδέχεσθαι εἰς ἑαυτὰ τὴν ἀπὸ τῶν γιγνομένων μεταβολὴν ὄντα ἀγέννητα. ἤπου ἄρα τὰ τῶν θεῶν χραίνεται ἀπὸ τῶν τοιούτων ἀτμῶν, ἃ καὶ τῆς ὕλης ὅλης καὶ τῶν ἐνύλων σωμάτων τοὺς ἀτμούς, ἵν' οὕτως εἴπωμεν, ἐξαίφνης κατὰ μίαν βολὴν ἀποκόπτει;

Τοῦτο μὲν οὖν οὐκ ἄξιον ὑπονοεῖν· πολὺ δὲ μᾶλλον ἐκεῖνο χρὴ διανοεῖσθαι, ὡς ἡμῖν καὶ τῇ ἡμετέρᾳ φύσει τὰ τοιαῦτά ἐστιν ἀλλότρια· ταῦτα μὲν γὰρ δὴ διῃρημένα εἰς τὰ μεριστὰ καὶ τὰ ἔνυλα πρὸς τὰ ἔνυλα καὶ ὅλως τὰ ὁμοφυῆ πρὸς τὰ ὁμοφυῆ δύναταί τινα κοινωνίαν ἔχειν πρὸς ἄλληλα τοῦ ποιεῖν ἢ πάσχειν, τὰ δ' ἐπ' ἄλλης

3. τε om. ACD. ‖ παντίως A. 4. κινωνία D. 7. ἑαυτὰ] sic ACD Reg., αὑτὰ O. 9. τὰ om. D. 15. διηρημένα B. 17. πρὸς] sic D, καὶ πρὸς O.

stat immobile aut circulariter movetur. corporum igitur, quae diversis qualitatibus et motibus praedita sunt, quaeque transmutabilia sunt omnibus modis, feruntur que sursum et deorsum, non est ulla naturae societas potentiaeve communio et evaporationis contactus, qui possit commisceri cum corporibus caelestibus; quare nec aliquid in iis efficient, quae omnino a se discrepant. sed nec potentiam istam habent quae ingenita sunt, ut permutentur ab iis rebus quae sunt genitae. num quid ergo natura deorum a vaporibus istiusmodi foedari possit, quae omnes vapores ab universa materia et corporibus uno, ut ita dicam, ictu averruncat?

Haec igitur vel suspicari de diis impium est: illud potius aequum est existimare, quod nobis et naturae nostrae haec noxia sint et aliena. nam quaecunque divisa sunt cum partibilibus et quae materialia sunt cum materialibus et omnino similia cum similibus possunt in agendo et patiendo se mutuo afficere: quaecunque vero

ὄντα οὐσίας καὶ ὅσα παντελῶς ὑπεραίρει, φύσεσί τε καὶ δυνάμεσιν ἑτέραις χρῆται, ταῦτα οὐχ οἷά τέ ἐστιν ἢ ποιεῖν εἰς ἄλληλα ἢ δέχεσθαί τινα παρ' ἀλλήλων. καὶ ὁ μολυσμὸς οὖν ἀπὸ τῶν ἐνύλων συμπίπτει τοῖς ἀπὸ σώματος ὑλικοῦ κατεχομένοις, καὶ τὸ ἀπὸ τούτων ἀποκαθαίρεσθαι ἀναγκαῖον ἐκείνοις, ὅσα δύναται ἀπὸ τῆς ὕλης μιαίνεσθαι· ἃ δ' οὔτε ὅλως ἔχει φύσιν διαιρετὴν οὔτε δύναμιν κέκτηται τοῦ εἰσδέχεσθαι εἰς ἑαυτὰ τὰ ἀπὸ τῆς ὕλης πάθη, τί ἂν ἀπὸ τῶν ἐνύλων μιανθείη; πῶς δ' ἔνεστιν ἀπὸ τῶν ἐμῶν παθημάτων ἢ ἄλλου τοῦ τῶν ἀνθρώπων ἐπιθολοῦσθαι τὸ θεῖον, ὃ μηδὲν ἔχει κοινὸν πρὸς ἡμᾶς τῆς ἀνθρωπίνης ἀσθενείας κρεῖττον προϋπάρχον;

Οὐδέτερον ἄρα διαφέρει τι τοῖς θεοῖς, οὔτε τὸ ἡμᾶς ἐμπίπλασθαι ὑλικῶν σωμάτων (οὐδὲ γάρ ἐστιν ὅλως τι πρὸς αὐτοὺς τοῦτο, οὐδὲ χραίνονται αὐτοὶ ἀπὸ τῆς ἡμετέρας κηλῖδος, ἄχραντοι γάρ εἰσι πάντῃ καὶ ἀκήρατοι) οὔτε εἴ τινες ὑλικοὶ σωμάτων ἀτμοὶ περὶ γῆν ἀναδίδονται.

2. ἑτέρας B. 2. 3. ποιεῖ A. 3. παραλλήλων A. 5. τὸ] sic ACD, om. O. 18. οἵτινες A.

in alio genere essentiae aut longe eminentiora sunt, naturaque et qualitatibus gaudent prorsus aliis, haec non possunt cum aliis mutuas actiones et passiones tueri. quare et omnis pollutio a rebus corporeis incidit in res corpore materiali praeditas, et a rebus materialibus opus est se ut purgent ea, quaecunque possunt a materia contaminari; quaecunque vero prorsus vacant divisibili natura nec materiae affectiones in se admittere naturaliter possunt, qui possint a rebus materialibus pollui equidem non video. qui potest divinitas vitiari meis aut alterius cuiusvis homuncionis passionibus, quae longe praestantior sit nihilque habeat cum nostra vilitate affine?

Quare neutrum horum ad deos quidquam spectat, sive nos corporibus et materia inebriati simus (nec enim id eos tangit, nec ii nostris spurcitiis conspurcantur, utique incorruptibiles sunt et inviolabiles), sive vapores quidam a corporibus materiales circa terram

πορρωτάτω γὰρ αὐτῶν καὶ οὗτοι τῆς οὐσίας καὶ δυνάμεως ἀφεστήκασιν.

Ὅλη ἄρα καὶ τῆς ἐναντιώσεως συνανῄρηται ἡ ὑπόθεσις, εἰ μηδέτερον αὐτῆς ὑπάρχει μόριον περὶ τοὺς θεούς. ὃ γὰρ μηδὲ ὅλως ἐστί, πῶς ἂν ἔχῃ τινὰ ἐν ἑαυτῷ μάχην; μάτην ἄρα ὑποπτεύεις τὰ τοιαῦτα ὡς ἄτοπα, καὶ ἀναξίας τῶν θεῶν προσάγεις ἀπορίας, ἃς οὐδ' ἐπ' ἀνθρώπων τῶν ἀγαθῶν εὐλόγως ἄν τις πρόσοιτο. τὸ γὰρ δελεάζεσθαι ὑπὸ τῆς τῶν ἀτμῶν ἀναθυμιάσεως οὐδὲ ἄνθρωπός τις νοῦν ἔχων καὶ ἀπαθὴς εἰσδέξαιτ' ἄν ποτε εἰς ἑαυτόν, μὴ ὅτι γε τῶν κρειττόνων τις· ἀλλὰ ταῦτα μὲν μικρὸν ὕστερον τεύξεται λόγου, νυνὶ δὲ τῆς ἐναντιώσεως διὰ πολλῶν λύσεων ἀνῃρμένης, ἐνταῦθα καὶ περὶ τῆς πρώτης ἀπορίας τὸν λογισμὸν ἀποπαύωμεν.

Ὃ δὲ μεῖζον ἐρώτημα καὶ περὶ μειζόνων πυνθάνῃ, 5 *πῶς ἄν σοι δυνηθείην δυσβάτου καὶ μακρᾶς δεόμενον διερμηνεύσεως ἀποκρίνασθαι διὰ βραχέων καὶ ἱκανῶς;*

1. *καὶ* post *οὐσίας* om. ACD. 3. *ἡ*] sic ACD, om. O. 4. *μὴ δ' ἕτερον* B. 5. *ἔχοι* A, *ἔχει* CD. 10. *εἰσδέξαιτ'*] *εἰσδέξαιτο* D, *εἰσδέξεται τὸ* AC. 14. *ἀποπαύομεν* ACD, *ἀπολαύομεν* B.

volitent; nam a diis deorumque essentia et potestate longissime isti vapores absunt.

Corruit igitur oppositionis quam fecisti tota fabrica, si de diis neutrum eius membrum procedat sane quod omnino non est, nihil potest in se habere quod opponi possit. frustra igitur tu istaec tamquam pugnantia in suspicionem trahis, et diis minime dignas profers dubitationes, quas de hominibus mediocriter bonis non sustineret quis recte adferre. quis enim hominum, nedum deorum, paulo sapientior et sobrius de se id admitteret, ut vaporibus suffumigationis se fateretur inescari? sed de his paulo infra sermo instituetur, nunc autem quoniam per varias solutiones illa contrarietas a te obiecta sublata est, de primo dubio nobis hic oratio conquiescet.

Ardua est quaestio deque rebus magnis quam nunc instituis; 5 **cui ut paucis satisfaciam vix erit; indiget enim explanatione operosa et longa. dicam nihilominus et quidem ut potero diligenter; conor**

ἐρῶ μὲν οὖν ἐγώ, καὶ προθυμίας οὐδὲν ἀπολείψω· πειρῶ δ' ἕπεσθαι τοῖς συντόμως ὑποδεικνυμένοις καὶ μέχρις ἐμφάσεως ἐνίοις προϊοῦσιν· ἐγὼ δέ σοι λέγω τό γε ἐμὸν δόγμα περὶ θυσιῶν, ὡς οὐδέποτε αὐτὰς δεῖ προσίεσθαι τιμῆς μόνης ἕνεκα, καθάπερ δὴ τιμῶμεν τοὺς εὐεργέτας, οὐδὲ ὁμολογίας ἕνεκα χαρίτων, ἐφ' οἷς ἡμῖν οἱ θεοὶ δεδώκασιν ἀγαθοῖς, οὐδὲ ἀπαρχῆς χάριν ἢ δώρων τινῶν ἀντιδόσεως, ἀφ' ὧν ἡμῖν παρέχουσιν οἱ θεοὶ πρεσβυτέρων δώρων· κοινὰ γὰρ ταῦτα καὶ πρὸς ἀνθρώπους ἐστίν, ἀπό τε τῆς κοινῆς εἴληπται πολιτείας, τὸ τῶν θεῶν παντελῶς ὑπερέχον καὶ τὸ τῆς τάξεως αὐτῶν, ὡς αἰτίων ἐξῃρημένων, μηδαμῶς διασώζοντα.

6 *Τὸ δὲ μέγιστον τὸ δραστήριον τῶν θυσιῶν, καὶ διὰ τί μάλιστα τοσαῦτα ἐπιτελεῖ, ὡς μήτε λοιμῶν παῦλαν μήτε λιμοῦ ἢ ἀφορίας χωρὶς αὐτῶν γίγνεσθαι, μήτε ὄμβρων αἰτήσεις, μήτε τὰ τιμιώτερα τούτων, ὅσα εἰς ψυχῆς κάθαρσιν ἢ τελείωσιν ἢ τὴν ἀπὸ τῆς γενέσεως ἀπαλλαγὴν συμβάλλεται, ταῦτα δὴ οὖν οὐδ' ὅλως ἐνδείκνυνται*

3. ἐμὸν] ἐμῶν D. 4. οὐδένποτε AD. 7. ἀπ' ἀρχῆς B. 8. ἀντιδώσεως D. 10. παντελῶς] sic AC, om. O. 15. λιμοῦ] λιμῶν ACD, λοιμὸν B. 15. 16. ὄμβρον C.

autem assequi quae sunt breviter a te significata, quaeque per notas quasi subindicare te velle video. de sacrificiis igitur sententiam nostram sic habeto. sacrificia quantum ego censeo non sunt offerenda aut solius honoris habendi causa, quemadmodum solemus offerre dona benefactoribus, sed nec ad grates referendas pro bonis a diis acceptis, sed nec tamquam primitiae aut dona quaedam gratitudinis ergo pro donis maioribus, quae nobis dii praestare possint. huiusmodi rationes vulgares et humanae sunt, et a communi hominum consuetudine petitae, nequaquam vero convenientes deorum eximiae maiestati et ordini et causalitati supremae.

6 Quod autem praecipuum est in sacrificiis, efficacitatem dico et quare tantas utilitates nobis conficiunt, ut sine eis non liberemur a peste a fame a penuria, nec impetremus imbres opportunos, nec ea quae his omnibus praeponderant, ea intelligo quae ad animae purificationem aut perfectionem et ad eius e generationis sordibus eman-

οἱ τοιοῦτοι τρόποι τῶν θυσιῶν. ὥστε οὐκ ἄν τις αὐτοὺς δοκιμάσειε δικαίως ὡς ἀπαξίως τῶν ἐν αὐταῖς ἔργων τὴν αἰτίαν ἀπολογιζομένους, ἀλλ' εἴπερ ἄρα ὡς ἐπακολουθοῦντας καὶ κατὰ δεύτερον τρόπον συνηρτημένους τοῖς πρώτοις καὶ πρεσβυτάτοις αἰτίοις δευτέρως ἂν αὐτοὺς παραδέξαιτο.

7 Ἀπαιτεῖ δὴ οὖν ὁ λόγος εἰπεῖν, κατὰ τί τὸ ποιητικὸν ἔχουσι τῶν πραγμάτων αἱ θυσίαι καὶ τὸ συνηρτημένον πρὸς τοὺς θεοὺς τοὺς προηγουμένους αἰτίους τῶν γιγνομένων. ἐὰν δὲ λέγωμεν, ὡς ἐν ἑνὶ ζῴῳ τῷ παντὶ καὶ μίαν ζωὴν τὴν αὐτὴν πανταχοῦ ἔχοντι κοινωνία τῶν ὁμοίων δυνάμεων ἢ τῶν ἐναντίων διάστασις ἤ τις ἐπιτηδειότης τοῦ ποιοῦντος πρὸς τὸ πάσχον συγκινεῖ τὰ ὅμοια καὶ ἐπιτήδεια, ὡσαύτως κατὰ μίαν συμπάθειαν διήκουσα καὶ ἐν τοῖς πορρωτάτω ὡς ἔγγιστα οὖσι, λέγεται μέν τι οὕτω τῶν ἀληθῶν καὶ τῶν συνεπομένων ταῖς θυσίαις ἐξ ἀνάγκης, οὐ μήν γε ἀληθὴς τρόπος τῶν

2. ἐπαξίως AD. 3. ἀπολογιζομένου ABCD. 3. 4. ἐπακολοῦντας B. 7—10. κατὰ τί — γιγνομένων] haec in Galei epistola Porphyriana desiderantur. 14. καὶ] sic AC, om. O. 16. τι] σοι ACD, τοι B.

cipationem conferunt, haec inquam nullo modo sacrificiorum a te significatae explicationes et modi tangunt: quare opinor, nemo poterit eos admittere, ut qui non satis pro merito causas effectuum in sacrificiis assignant, ac si forte probaverit, accipiet profecto eos secundo in loco et quasi consequentes et modo secundario coaptatos primis et antiquissimis causis eiusmodi effectuum.

7 Postulat igitur sermo hic ut dicatur, quomodo operum praestandorum efficaciam habeant sacrificia, quibusque rationibus coaptentur diis, qui sane omnium quae fiunt causae sunt principales. si dicamus, mundus est animal unum, habetque unam eandemque ubique vitam, proinde communio qualitatum similium, aut dissimilium pugna, aut certe aptitudo quaedam agentis ad patiens commovet similia et apta eodem modo, dum videlicet discurrit sympathetice a remotissimis ad remotissima ac si quam proxime inter se abessent, sane hic aliquid e vero diceretur, et quod sequitur necessario ad sacrificia, non tamen verus ille sacrificiorum modus explicatur.

θυσιῶν ἐπιδείκνυται. οὐ γὰρ ἐν τῇ φύσει καὶ ταῖς φυσικαῖς ἀνάγκαις ἡ τῶν θεῶν κεῖται οὐσία, ὥστε πάθεσι φυσικοῖς συνεγείρεσθαι ἢ ταῖς διατεινούσαις δι' ὅλης τῆς φύσεως δυνάμεσιν, ἀλλ' ἔξω τούτων καθ' ἑαυτὴν ὥρισται, οὐδὲν ἔχουσα πρὸς αὐτὰ κοινὸν οὔτε κατ' οὐσίαν οὔτε κατὰ δύναμιν οὔτε κατ' ἄλλο οὐδ' ὁτιοῦν.

8 *Τὰ δ' αὐτὰ ἄτοπα συμβαίνει, καὶ εἴ τινες τῶν παρ' ἡμῖν ἀριθμοὺς ὡς ἐπὶ τοῦ κροκοδείλου λαμβάνουσι τὴν ἑξηκοντάδα ὡς οἰκείαν ἡλίῳ, ἢ λόγους φυσικοὺς ὡς τὰς τῶν ζώων δυνάμεις καὶ ἐνεργείας, οἷον κυνὸς κυνοκεφάλου μυγαλῆς, κοινὰς οὔσας πρὸς σελήνην, ἢ τὰ ἔνυλα εἴδη (ὥσπερ ἐπὶ τῶν ἱερῶν ζώων θεωρεῖται κατὰ τὰς χροιὰς καὶ πάσας τοῦ σώματος μορφάς) ἢ ἄλλο τι τῶν περὶ τοῖς σώμασι τῶν ζώων ἢ τῶν ἄλλων ὁπωσοῦν προσαγομένων αἰτιῶνται τῆς ποιήσεως, ἢ μέλος (ὡς ἐπὶ τῆς καρδίας τοῦ ἀλεκτρυόνος) ἢ ἄλλα τινὰ τοιαῦτα τῶν περὶ τὴν φύσιν*

4. *ἑαυτὸν* C. 7. *τινες*] sic ACD, *τινας* O. 8. *κροκοδείλου*] „*ὁ δὲ ποτάμιος κροκόδειλος τίκτει μὲν ᾠὰ πολλά, τὰ πλεῖστα περὶ ἑξήκοντα, λευκὰ τὴν χρόαν, καὶ ἐπικάθηται δ' ἡμέρας ἑξήκοντα.* Aristot.“ Gale [hist. anim. 5 t. 1. p. 558 a 17 Bekk]. 11. *μεγάλης* ACD. 12—13. *θεωρεῖται — μορφάς* om. O. 12. *χροιιὰς* A. 13. *τῶν*] sic CD, om. O. 15. *μέλους* ACD. 16. *ἠλεκτρυῶνος* AD, *ἠλλεκτρυῶνος* C.

ipsa namque deorum essentia nec in natura nec in necessitatibus naturalibus posita est, ita ut ex passionibus naturalibus coexcitetur, vel potentiis per totam naturam diffusis impellatur, sed extra haec omnia penes se ipsam determinata est, nihil habet cum his commune vel in essentia vel potentia vel alia aliqua in re.

8 Eaedem absurditates sequentur, si qui numeros apud nos ad superiora accommodant, sic in crocodilo sexagenarium numerum tamquam soli convenientem sumunt; vel qui rationes physicas, puta animalium vires et operationes huc trahunt; sic canem et cynocephalum et mustelam lunae communes faciunt; item qui materiales quasdam species (sicut in sacris animalibus apparet ex coloribus et omnibus corporis figuris) vel aliud quid in corporibus animantium, aliarumve rerum quae adducuntur, operationis arguunt, aut qui membrum aliquod, ut cor galli, aut huiusmodi alia quaevis quae cernuntur in natura causas credunt sacrificiorum efficacitatis. quippe ex his

θεωρουμένων ὡς αἴτια τῆς ἐν ταῖς θυσίαις ἀπεργασίας λογίζονται. καὶ γὰρ ἐκ τούτων οὐχ ὑπερφυής τις ἡ τῶν θεῶν αἰτία δείκνυται, οὐδ' ὡς τοιαύτη συγκινεῖται ταῖς θυσίαις, ὡς δὲ φυσικὴ κατεχομένη τε ὑπὸ τῆς ὕλης· καὶ ὑπὸ τῶν σωμάτων περιειλημμένη φυσικῶς αὐτοῖς συνεγείρεται καὶ συναναπαύεται, καὶ ταῦτα τὰ περὶ τὴν φύσιν ὑπάρχοντα. εἰ δ' ἄρα τι καὶ τοιοῦτον ἐν ταῖς θυσίαις συνακολουθεῖ ὡς συναίτιον καὶ τόν, ὧν οὐκ ἄνευ, λόγον ἔχον, οὕτω συνήρτηται τοῖς προηγουμένοις αἰτίοις.

Βέλτιον οὖν φιλίαν καὶ οἰκείωσιν αἰτιᾶσθαι, σχέσιν 9
τε συνδετικὴν τῶν δημιουργούντων πρὸς τὰ δημιουργούμενα καὶ τῶν γεννώντων πρὸς τὰ ἀπογεννώμενα. ὅταν οὖν ταύτης προηγουμένης τῆς κοινῆς ἀρχῆς λάβωμέν τι ζῶον ἢ τῶν φυομένων ἐπὶ τῆς γῆς ἀκραιφνῶς καὶ καθαρῶς διασῶζον τὸ βούλημα τοῦ πεποιηκότος, τότε διὰ τοῦ τοιούτου τὴν ἐπιβεβηκυῖαν ἀχράντως ἐπ' αὐτοῦ δημιουργικὴν αἰτίαν οἰκείως κινοῦμεν. πολλῶν δὲ οὐσῶν τούτων καὶ τῶν μὲν προσεχῶς συνηρτημένων, ὥσπερ τῶν

1. θεωρουμένων] sic ACD, θεωρημάτων O. || θυσίαις] οὐσίαις B Reg. 3. τοιαύταις A, τοιαύτης CD. 4. θυσίαις] οὐσίαις AD. 6. συναπαύεται D. || ταύτῃ A. 9. ante οὕτω O add. καί.

omnibus non supernaturalis ostenduntur esse causa dii, neque ostenditur quod ut talis commoventur sacrificiis. sed assignatur naturalis quaedam potentia in materia latens et corporibus affixa, et haec ut talis naturaliter una cum illis commovetur et conquiescit: prout omnia faciunt quae sunt in natura. si quid vero tale ad sacrificia consequitur, id quidem tamquam concausa et in genere causarum sine qua effectus non evenit numerandum. itaque causis principalibus subordinabitur sacrificium.

Praestat igitur dicere mirificos sacrificiorum effectus procedere 9
ab amicitia, tamquam a causa et accommodatione quadam et habitudine opifices ad opificia genitores ad genita conciliante. quando igitur praeeunte et ducente communi hoc principio accipimus animal aut aliquid e terra natum quod clare et pure opificis sui voluntatem representet, tunc per tale quiddam proprie riteque movemus causam opificem huic rei pure praesidentem. iam vero cum causae rerum plurimae sint, et aliae quidem absque medio praesint, sicut daemo-

δαιμονίων, τῶν δὲ ἀνωτέρω τούτων πως τεταγμένων, ὥσπερ τῶν θείων αἰτίων, ἔτι δὲ τούτων πρεσβυτάτης μιᾶς αἰτίας ἐξηγουμένης, συγκινεῖται μὲν ὑπὸ τῆς τελείας θυσίας πάντα τὰ αἴτια· καθ' ἣν δὲ εἴληχε ἕκαστα τάξιν, συγγενῶς πρὸς αὐτὴν οἰκειοῦται. ἐὰν δὲ ἀτελής τις γένηται, μέχρι τινὸς προχωρεῖ, προσώτερον δὲ προελθεῖν οὐχ οἷα τέ ἐστιν.

Ὅθεν δὴ καὶ πολλοὶ μὲν δαίμοσιν ἀγαθοῖς, πολλοὶ δὲ θεῶν ταῖς τελευταίαις δυνάμεσι, πολλοὶ δὲ ταῖς περικοσμίοις ἢ περιγείοις δαιμόνων ἢ θεῶν δυνάμεσιν ἡγοῦνται τὰς θυσίας προσάγεσθαι, μέρος μέντοι τῶν περὶ αὐτὰς οὐ ψευδῶς ἀφηγούμενοι, τὸ δ' ὅλον αὐτῆς τῆς δυνάμεως καὶ τὰ πάντα ἀγαθὰ καὶ εἰς πᾶν τὸ θεῖον διατείνοντα οὐκ εἰδότες.

10 Ἡμεῖς δὲ πάντα προσιέμεθα, τὰ μὲν φυσικὰ καὶ ὡς ἐν ἑνὶ ζώῳ κατ' ἐπιτηδειότητα ἢ συμπάθειαν ἢ ἀντιπάθειαν συγκινούμενα, ὡς τηνάλλως ὑποκείμενα καὶ ἐπακολουθοῦντα καὶ δουλεύοντα εἰς τὴν αἰτίαν τῆς τῶν θυσιῶν

1. *πως τεταγμένων*] *προτεταγμένων* ACD, *πως τεταραγμένων* B. 2. *μίας*] sic AC, *τῆς μίας* O. 4. *δὲ εἴληχε*] sic AC, *εἴληχε δὲ* O. 5. *τις* om. AC. 7. 8. *πολλὰ δὲ* C. 10. *ταῖς θυσίαις* D. || *μέντοι*] *μέν τι* AD. 15. 16. *ἢ ἀντιπάθειαν*] sic AC et margo D, om. O. 16. *συγκεινούμενα* D. || *τινάλως* D.

nia, aliae vero his superius constitutae sint, sicut divinae causae, et his etiam una antiquior adhuc causa praesit, certe in sacrificio perfecto omnes istae causae commoventur. accommodantur vero ei, et ut sic dicam, appropriantur familiariter secundum ordinem quem ex iis quaeque sortita est. si vero imperfectum sit sacrificium, usque ad aliquem gradum ascendit, longius vero non pertinget.

Hinc est quod multi existimant sacra tantum fieri bonis geniis, multi autem postremis deorum potentiis, alii item iis deorum daemonumque potentiis, quae mundanae terrenaeque sunt. et haec quidem ab illis aliquatenus vere dicta sunt, non autem videntur intelligere totam sacrificiorum potestatem, nec omnia ex iis commoda, quae quidem per totam divinitatem se extendunt.

10 Nos vero omnia admittimus, simulque comprehendimus naturalia quidem, et quae tamquam in uno animali secundum aptitudinem vel sympathiam vel antipathiam commoventur; ea accipimus tam-

ποιήσεως, τὰ δὲ τῶν δαιμόνων καὶ τῶν περιγείων ἢ περικοσμίων θείων δυνάμεων, ὡς πρῶτα προσοικειούμενα κατὰ τὴν ὡς πρὸς ἡμᾶς τάξιν· τὰ μέντοι τελειότατα καὶ ἡγεμονικώτατα τῶν αἰτίων τῆς ἐν ταῖς θυσίαις ποιήσεως συνάπτεσθαι λέγομεν ταῖς δημιουργικαῖς καὶ τελειοτάταις δυνάμεσιν· ἐπεὶ δὲ αὗται περιέχουσιν ἐν ἑαυταῖς πάντα ὅσα ποτέ ἐστιν αἴτια, συγκινεῖσθαι λέγομεν ἅμα μετὰ τούτων ἀθρόως καὶ πάντα ὅσα ποτέ ἐστι ποιητικά, ἐκ δὲ ἁπάντων κοινὸν κατιέναι τὸ ὄφελος εἰς ὅλην τὴν γένεσιν, ἐνίοτε μὲν κατὰ πόλεις καὶ δήμους ἢ ἔθνη παντοδαπὰ ἢ μείζονας τούτων ἢ ἐλάττονας περιγραφάς, ἄλλοτε δὲ κατὰ οἴκους ἢ κατὰ ἄνδρα ἕκαστον παρεχούσας τὰ ἀγαθὰ ἀφθόνῳ βουλήσει, καὶ οὐ πάθει τῶν χαριζομένων τὴν διανομὴν αὐτῶν ἀπεργαζομένων, νῷ τε ἀπαθεῖ κατ' οἰκειότητα καὶ συγγένειαν κρινόντων, ὡς δεῖ διδόναι, φιλιάς τε μιᾶς, τῆς τὰ πάντα συνεχούσης, τὸν σύνδεσμον τοῦτον διά τινος ἀρρήτου κοινωνίας ἀπεργαζομένης.

Πολὺ γὰρ ταῦτα ἀληθέστερά ἐστι καὶ μᾶλλον τῆς

2. προσοικειούμενα A, προοικιούμενα D. 3. τελειότητα D. 12. κατ' οἴκους O. 13. ἀφθόνως ABCD. || πάθει] πάθη D.

quam simpliciter subiecta et consequentia, servientiaque causae efficaciae in sacrificiis apparentis; daemonas vero potestatesque mundanas et terrenas ut proxime ad ordinem nostrum accommodatas. sed causas potentissimas perfectissimasque istius efficaciae attribuimus haud dubie perfectissimis opificibusque potestatibus. quoniam vero eae continent in se omnes omnium causas, ideo dicimus quod etiam omnes efficientes rerum causae una cum his circumaguntur, atque adeo ex cunctis simul communis utilitas in totam genesin derivatur, aliquando quidem per civitates populosque et gentes omnigenas vel latiores his vel angustiores circumscriptiones, aliquando per domos vel hominem unumquemque bona diffundunt voluntate benefica, non passione erga recipientes suas erogationes instituendo, sed incorrupta mente iudicant esse dandum secundum proprietatem et quasi cognationem, una interim amicitia, quae continet omnia, hanc obligationem per ineffabilem communionem quandam conficiente.

Atque haec sane veriora sunt multoque propius deorum essen-

τῶν θεῶν οὐσίας καὶ δυνάμεως τυγχάνει ἢ ὃ σὺ καθυπονοεῖς, ὡς ἀτμοῖς θυσιῶν τοῖς ἀπὸ ζώων μάλιστα δελεάζονται· εἰ γάρ τί που καὶ περίκειται τοῖς δαίμοσι σῶμα, ὅ δή τινες τρέφεσθαι ἀπὸ τῶν θυσιῶν νομίζουσιν, ἄτρεπτόν ἐστι τοῦτο καὶ ἀπαθές, αὐγοειδές τε καὶ ἀνενδεές, ὡς μήτε ἀπορρεῖν τι ἀπ' αὐτοῦ μήτ' ἐπιρροῆς ἔξωθεν αὐτὸ προσδεῖσθαι. εἰ δ' ἄρα καὶ τοῦτό τις θείη, τοῦ κόσμου καὶ τοῦ ἐν αὐτῷ ἀέρος ἀνέκλειπτον ἔχοντος ἀπὸ τῶν περὶ τὴν γῆν ἀναθυμίασιν, περικεχυμένου τε πανταχόθεν ἐπίσης τοῦ τοιούτου ῥεύματος, τίς ἂν ἔτι χρεία αὐτοῖς εἴη τῶν θυσιῶν; ἀλλ' οὐδὲ δι' ἴσου τοῖς ἀπορρέουσιν ἀναπληροῖ τὰ ἐπεισιόντα συμμέτρως, ὡς μήτε ὑπερβολὴν ἐπικρατεῖν μήτε ἔλλειψίν ποτε ἐγγίνεσθαι, ἰσότητα δὲ πάντῃ καὶ ὁμαλότητα τῶν δαιμονίων σωμάτων ὡσαύτως ὑπάρχειν.

Οὐ γὰρ δήπου τοῖς μὲν ἐν γῇ καὶ θαλάττῃ πᾶσι ζώοις ὁ δημιουργὸς ἄφθονον καὶ ἕτοιμον διατροφὴν παρέθηκε, τοῖς δὲ κρείττοσιν ἡμῶν ἔνδειαν ταύτης ἐνεποίησεν.

1. 2. *καθυπονοεῖ* B. 2. *ὡς ἀτμοῖς* om. et ponit in marg. prima man. D. 6. *ἐπορροῆς* O. 7. *τις*] *εἰς* D. 9. post *γῆν* D add. *τὴν* ‖ *τε*] sic ACD, om. O. 13. *ἐγγίγνεσθαι* AD. 14. *ὁμοιότητα* O. 17. *ἄφθονος* B. 17. 18. *περέθηκε* D.

tiam attingunt et potentiam, quam quod tu suspicaris; scilicet nidoribus animalium praecipue inescari in sacrificiis. fac enim daemonas vestiri corpore, quod quidam sacrificiis nutriri volunt, certe illud corpus immutabile est et impatibile, lucidumque et nullius indigum, ita ut nihil effluat inde, nihilque necessario influat: et si forte sit necessarius influxus, quandoquidem mundus et in eo aër inexhaustam habeat a terrenis exhalationum copiam, undique ascendente quodam effluvio, quis potest esse sacrificiorum apud eos usus? iam vero si corpora daemonum effluant, sacrificia non iustis compensationibus restituent quod effluxerat, quin aut erit excessus aut defectus; nec aequalitas et proportio in eorum corporibus servabitur.

Sed nec credibile est mundi opificem omnibus terrenis et marinis animalibus abunde prospexisse de victu, naturas autem humana meliores inopiae obiecisse: sed nec illud, quod animalibus aliis ali-

οὐδὲ τοῖς μὲν ἄλλοις ζώοις ἐξ ἑαυτῶν ἔμφυτον παρέσχε τὴν εὐπορίαν τῶν καθ' ἡμέραν ἐπιτηδείων, τοῖς δαίμοσι δὲ ἐπείσακτον καὶ παρ' ἡμῶν τῶν ἀνθρώπων συντελουμένην ἔδωκε τὴν διατροφήν· καὶ ὡς ἔοικεν, ἐὰν ἡμεῖς δι' ἀργίαν ἢ ἄλλην τινὰ πρόφασιν κατολιγωρήσωμεν τῆς τοιαύτης εἰσφορᾶς, ἐνδεῆ τῶν δαιμόνων τὰ σώματα ἔσται, ἀσυμμετρίας τε καὶ ἀταξίας μεθέξει.

Διὰ τί οὖν οἱ ταῦτα λέγοντες οὐ καὶ τὴν ὅλην ἀναστρέφουσι τάξιν, ὥστε ἡμᾶς ἐν καλλίονι ποιεῖν τάξει καὶ δυνατωτέρους; εἰ γὰρ τροφέας ἡμᾶς καὶ ἀποπληρωτὰς ποιοῦσι τῶν δαιμόνων, ἡμεῖς τῶν δαιμόνων ἐσόμεθα αἰτιώτεροι. ἕκαστον γὰρ ἀφ' οὗ γέγονεν, ἀπὸ τούτου καὶ τὴν τροφὴν καὶ τελειότητα προσλαμβάνει. καὶ τοῦτο ἴδοι μὲν ἄν τις καὶ ἐπὶ τῶν φανερῶν γενέσεων. ἔστι δὲ καὶ ἐπὶ τῶν κοσμικῶν θεωρεῖν· καὶ γὰρ τὰ περίγεια ἀπὸ τῶν οὐρανίων τρέφεται. πολὺ δὲ διαφερόντως ἐπὶ τῶν ἀφανῶν αἰτίων κατάδηλον γίνεται. ψυχὴ μὲν γὰρ ἀπὸ νοῦ τελειοῦται, φύσις δὲ ἀπὸ ψυχῆς, τά τε ἄλλα ὡσαύτως

1. ἑαυτῶν] *αὐτῶν* D. 5. *κατολιγωρήσομεν* AC, *κατολιγορήσαμεν* D. 10. *δυνατωτέρους*] sic A, *δεινατωτέρους* C, *δυνατωτέρᾳ* O. 13. ante *τελειότητα* D add. *τὰ*. 15. *περίγεια ὑπὸ* D.

menta quotidiana eorundem opera parabilia praestiterit, daemonas interim dimensum aliunde expectare iusserit, et a nobis hominibus conficiendum. atque ita, uti videtur, si forte nos per negligentiam vel quavis alia de causa viatici praestandi immemores simus, corpora daemonum satis esurient, incidentque in morbos inordinatos et inequales.

Qui igitur haec probant, cur non iidem totum rerum ordinem pervertunt? cur non nos daemonibus superiores potentioresque pronuntiant? si enim daemonas nutriamus nos, etiam generemus. unumquodque enim unde nascitur, ab eodem victum et perfectionem habet. cernere est hoc in generationibus quotidianis; sed et idem licet in caelestibus; terrestria quippe a caelestibus nutriuntur. id ipsum multo manifestius est in causis occultis. anima enim a mente pascitur et perficitur, deinde natura ab anima, aliaque similiter a suis.

ἀπὸ τῶν αἰτίων τρέφεται· εἰ δὲ ἀδύνατον ἀρχηγοὺς ἡμᾶς εἶναι τῶν δαιμόνων, τῷ αὐτῷ λόγῳ καὶ τῆς τροφῆς αὐτῶν ἐσμὲν αἴτιοι.

11 *Δοκεῖ δ' ἔμοιγε καὶ ἄλλο διαμαρτάνειν ἡ παροῦσα ἐπιζήτησις. ἀγνοεῖ γὰρ τὴν διὰ τοῦ πυρὸς προσαγωγὴν τῶν θυσιῶν, ὡς δαπανητικὴ μᾶλλον τῆς ὕλης ἐστὶ καὶ ἀναιρετική, ἀφομοιωτική τε πρὸς ἑαυτήν, ἀλλ' οὐχὶ αὐτὴ ἀφομοιουμένη πρὸς τὴν ὕλην, ἀναγωγός τε ἐπὶ τὸ θεῖον καὶ οὐράνιον πῦρ καὶ ἄυλον, ἀλλ' οὐχὶ κάτω βρίθουσα περὶ τὴν ὕλην καὶ τὴν γένεσιν. εἰ μὲν γὰρ ὕλης ἦν γλυκυθυμία τις ἡ διὰ τῶν ἀπὸ τῆς ὕλης ἀτμῶν δελεάζουσα ἀπόλαυσις, ἐχρῆν ἀκέραιον τὴν ὕλην εἶναι, πλείων γὰρ ἂν οὕτως ἡ ἀπ' αὐτῆς ἀπορροὴ τοῖς μεταλαμβάνουσι προσεγένετο· νῦν δὲ ἐμπιπρᾶται πᾶσα καὶ καταναλίσκεται, καὶ εἰς τὴν τοῦ πυρὸς καθαρότητα καὶ λεπτότητα μεταβάλλεται· ὃ καὶ αὐτὸ σημεῖόν ἐστιν ἐναργὲς τοῦ ἐναντίου ἢ οὗ σὺ λέγεις. ἀπαθεῖς τε γάρ εἰσιν οἱ κρείττονες, οἷς φίλον ἐστὶ τὸ τὴν ὕλην ἐκκόπτεσθαι διὰ τοῦ πυρός, καὶ ἡμᾶς ἀπαθεῖς ἀπεργάζονται· καὶ τὰ ἐν ἡμῖν*

4. *ἄλλο*] *ἄλλῳ* D. 7. *τε*] sic ACD, om. O. 10—11. *ἦν γλυκυθυμία — ὕλης* om. O. 10. 11. *γλυκυθιμία* D. 12. *ἀκεραίαν* O. 13. *ἂν*] *ἂν ἂν* D. 17. *οὗ*] *ὃ* O.

causis nutriuntur. quapropter si sit impossibile nos daemonum esse causas, eadem ratione nec pabuli esse possumus.

11 Est praeterea aliud in quo haec quaestio, quantum mihi videtur, errat: non enim considerat satis quod sacrificiorum per ignem oblatio materiam eorum absumit et interimit, quod materiam sibi ipse ignis adsimilat, non autem materiae vicissim assimilatur, quod denique evehit ignis ille ad alium divinum caelestem immaterialem, non autem deorsum tendit ad materiam et genesin. iam autem si iucunditas a materiae vaporibus daemones inescaret, integra potius esset materia, ita enim copiosior esset iucunditas quae ad participantes advolaret; nunc autem incenditur tota et absumitur, et in ignis puritatem subtilitatemque migrat; quod ipsum manifestum est indicium contra ac tu opinabaris rem se habere. impatibiles enim sunt superi, et eis volupe est materiam per ignem discutere, nosque red-

ἀφομοιοῦνται τοῖς θεοῖς, ὥσπερ δὴ καὶ τὸ πῦρ ἀφομοιοῖ πάντα τὰ στερεὰ καὶ ἀντίτυπα τοῖς φωτεινοῖς καὶ λεπτοῖς σώμασιν, ἡμᾶς τε ἀνάγει διὰ τῶν θυσιῶν καὶ τοῦ θυηπολικοῦ πυρὸς πρὸς τὸ τῶν θεῶν πῦρ κατὰ τὰ αὐτὰ τῇ τοῦ πυρὸς ἀναγωγῇ τῇ πρὸς τὸ πῦρ ἐπαγομένῃ καὶ ἀνελκούσῃ τὰ καταγωγὰ καὶ ἀντίτυπα πρὸς τὰ θεῖα καὶ τὰ οὐράνια.

Ὡς γὰρ ἁπλῶς εἰπεῖν, οὔτε ἀπὸ τῆς ὕλης οὔτε ἀπὸ 12
τῶν στοιχείων οὔτε ἀπ' ἄλλου τινὸς τῶν γιγνωσκομένων ἡμῖν σωμάτων ἐστὶ τὸ ὑπηρετοῦν τοῖς δαίμοσιν ὄχημα σωματοειδές. τίς ἂν οὖν ἀπ' ἄλλης οὐσίας εἰς ἄλλην οὐσίαν γένοιτο ἄν ποτε ἀποπλήρωσις; ἢ τίς ἀπόλαυσις ἀπὸ τῶν ἀλλοτρίων τοῖς ἀλλοτρίοις δύναται προστίθεσθαι; οὐκ ἔστιν οὐδεμία, ἀλλὰ πολὺ μᾶλλον ὥσπερ οἱ θεοὶ τῷ κεραυνίῳ πυρὶ τέμνουσι τὴν ὕλην καὶ χωρίζουσιν ἀπ' αὐτῆς τὰ ἄυλα μὲν κατὰ τὴν οὐσίαν, κρατούμενα δὲ ἀπ' αὐτῆς καὶ πεπεδημένα, ἀπαθῆ τε ἐξ ἐμπαθῶν ἀπεργάζονται, οὕτω καὶ τὸ μιμούμενον παρ' ἡμῖν πῦρ τοῦ θείου πυρὸς τὴν ἐνέργειαν ἀναιρεῖ τὸ ὑλικὸν πᾶν ἐν ταῖς

2. φωτινοῖς D. 3. 4. θνηποτικοῦ AC. 7. οὐράνεια O. 9. γιγνωσκομένων] sic AD, γινωσκομένων O. 17. ἐμπαθῶν] sic A, ἀπαθῶν O.

dunt a passionibus alienos; et quaecunque in nobis sunt diis similia fiunt, quemadmodum ignis dura et solida corporibus lucidis et subtilibus assimilat, nos etiam extollit per sacrificia et ignem victimarium ad deorum ignem eodem modo quo ignis extollit ad ignem, reducitque gravia omnia et dura ad divinas causas et caelestes.

Ut uno verbo dicam, vehiculum corporale quod daemonibus 12
subministrat neque ex materia nec ex elementis neque ex aliquo corpore nobis noto constat. quae igitur ab alia essentia ad aliam potest esse victus communicatio? quae mutua inter diversissimas naturas gaudia? certe nulla; sed multo magis ut dii igne velut fulmineo materiam abscindunt ab eaque separant res immateriales quoad essentiam, obstrictas vero ei et illigatas, efficiuntque ex patibilibus impatibilia, ita quoque noster ignis divini agilitatem imitando omne

θυσίαις, τά τε προσαγόμενα τῷ πυρὶ καθαίρει καὶ ἀπολύει τῶν ἐν τῇ ὕλῃ δεσμῶν, ἐπιτήδειά τε διὰ καθαρότητα φύσεως πρὸς τὴν τῶν θεῶν κοινωνίαν ἀπεργάζεται, καὶ ἡμᾶς διὰ τῶν αὐτῶν τρόπων ἀπολύει τῶν τῆς γενέσεως δεσμῶν καὶ ἀφομοιοῖ τοῖς θεοῖς, πρός τε τὴν φιλίαν αὐτῶν ἐπιτηδείους ἐργάζεται, καὶ περιάγει τὴν ἔνυλον ἡμῶν φύσιν ἐπὶ τὴν ἄυλον.

13 Κοινῶς μὲν οὕτω τὰς ἀτόπους ὑπονοίας ἀνελόντες περὶ θυσιῶν ἀντ' αὐτῶν τὰς ἀληθεῖς νοήσεις ἀντεισηγάγομεν· κατ' ἰδίαν περὶ ἑκάστου θυσιῶν εἴδους (ὡς ὁ ἴδιος λόγος περὶ τῶν θυσιῶν ἀπαιτεῖ τὴν διάρθρωσιν, ὅστις ἄλλης τέ ἐστι πραγματείας) καὶ ἅμα ἀπὸ τῶν εἰρημένων ὅστις εὐφυής ἐστι καὶ ἀφ' ἑνὸς ἐπὶ πολλὰ δυνατὸς διατείνειν τὴν διάνοιαν, ῥᾳδίως γνώσεται ἀπὸ τούτων καὶ τὰ παραλειπόμενα. ἐγὼ μὲν οὖν ᾤμην ταῦτα ἱκανῶς εἰρῆσθαι, τά τε ἄλλα καὶ διότι τῆς τῶν θεῶν ἐπαξίως εἶχε καθαρότητος· ἐπεὶ δὲ τοῖς ἄλλοις ἴσως ἂν ἀπιστίαν παράσχοι τὸ μὴ οὐκ εἶναι ἐναργῆ, καὶ ὑποψίαν ὡς μὴ κινοῦντα τὴν διάνοιαν, μηδ' ἐπιλαμβανόμενα τῶν τῆς ψυχῆς διαλογισμῶν, βούλομαι περὶ τῶν αὐτῶν ὀλίγα πλεί-

8. οὕτως AC. 18. τὸ] τὰ A. || εἶναι] ᾖ ABD.
20. ὀλίγον AC.

quod in sacrificiis est materiale absorbet, quae offeruntur purgat solvitque materiae vinculis, et ad divinam communionem reddit apta per naturae puritatem, atque nos eodem pacto solvit a vinculis generationis diisque assimilat, et facit ad deorum amicitiam aptos, nostramque naturam materialem ad immaterialem attollit.

13 Generali hac disputatione sustulimus falsas de sacrificiis opiniones, et pro iis veras introduximus; de unaquaque sacrificiorum specie (prout consideratio specialis articulatam postularit de iis disquisitionem, quae consideratio alterius loci est) et de iis quae modo diximus, quicunque ingeniosus est et ex pauculis plura mente potest colligere, facile ex his poterit quae praetermissa sunt percipere. et ego haec quidem sufficere existimabam, cum propter alia tum hoc praecipue, quod recte prospiceret deorum puritati haec explicatio nostra. quoniam vero possint aliis non ita acutis incredibilia et suspecta videri, eo quod non sint satis manifesta, nec satis permo-

ονα διελθεῖν, καὶ ἐὰν οἷόν τε ᾖ γνωριμώτερα τεκμήρια τῶν ἤδη προειρημένων παραθέσθαι.

Ἀρχὴ δὲ πασῶν ἀρίστη, ἣ τῆς τῶν θεῶν τάξεως 14
τὸν θεσμὸν τῶν θυσιῶν ἐχόμενον ἐπιδείκνυσιν· ἄνωθεν οὖν τοὺς μὲν ὑλαίους τῶν θεῶν τοὺς δὲ ἀύλους ὑποθώμεθα· ὑλαίους μὲν τοὺς τὴν ὕλην περιέχοντας ἐν ἑαυτοῖς καὶ διακοσμοῦντας, ἀύλους δὲ παντελῶς τοὺς ἐξῃρημένους ἀπὸ τῆς ὕλης καὶ ὑπερέχοντας. κατὰ δὲ τὴν τῶν ἱερέων τέχνην ἄρχεσθαι χρὴ τῶν ἱερουργικῶν ἀπὸ τῶν ὑλαίων· οὐ γὰρ ἂν ἄλλως ἐπὶ τοὺς ἀύλους θεοὺς γένοιτο ἡ ἀνάβασις. οὗτοι δὴ οὖν ἔχουσί τινα κοινωνίαν πρὸς τὴν ὕλην καθόσον αὐτῆς ἐπιβεβήκασιν. οἱ αὐτοὶ δὴ οὖν καὶ τῶν περὶ τὴν ὕλην ἐγγιγνομένων ἐπάρχουσιν, οἷον διαιρέσεων, πληγῆς ἀντιτύπου, μεταβολῆς γενέσεως φθορᾶς πάντων τῶν ἐνύλων σωμάτων.

Εἰ δή τις τοὺς τοιούτους βούλοιτο θεραπεύειν θεουργικῶς, ᾗ πεφύκασι καὶ ᾗ τὴν ἀρχὴν εἰλήχασι ταύτῃ προσ-

1. γνωρημώτερα D. || post τεκμήρια τῶν D repetit αὐτῶν ὀλίγα — παραθέσθαι. 4. δεσμὸν CD. 9. χρὴ] δεῖ C. 10. ἂν om. D.. 13. ἐγγιγνομένων] sic AD, ἐγγινομένων O. || ἐπάρχουσιν] ὑπάρχουσιν (corr. ead. man. ἐπάρχουσιν) A, ὑπάρχουσι B, ὑπάρχουσιν CD. 17. ταύτῃ] sic A, ταύτη BCD, ταύτην O.

veant animi sensa et rationes, volo de iis paulo plura pertractare, et pro virili argumenta magis iam allatis perspicua adiicere.

Aditus autem ad haec optimus erit, si declaremus sacrificiorum 14
ritus connecti et comparari ad deorum ordines. ponimus igitur, ut ab initio ordiamur, deorum alios materiales alios immateriales; et materiales quidem qui materiam in se comprehendunt et exornant, immateriales contra qui omnino a materia liberi sunt eamque longe excellunt. secundum igitur sacerdotum ritus sacrificia incipere decet a diis materialibus; neque enim ad deos immateriales aliter dabitur ascensus. hi igitur necessitudinem habent cum materia, cui utique praesident; iidem quoque iis quae circa materiam eveniunt dominantur, puta divisioni, percussioni repercutienti, mutationi generationi corruptioni omnium corporum materialium.

Hos igitur si quis rite vult procurare, eum cultum adhibere iis debet, qui eorum naturae et imperio quod gerunt consentiat, hoc

εκτέον αὐτοῖς τὴν θεραπείαν, ἐνύλοις οὖσιν αὐτοῖς ἔνυλον οὖσαν· οὕτω γὰρ ἂν ὅλοις αὐτοῖς δι' ὅλων προσαγοίμεθα εἰς οἰκείωσιν, συγγένειάν τε αὐτοῖς ἐν τῇ θεραπείᾳ προσφέροιμεν τὴν προσήκουσαν· καὶ ἐπὶ τῶν θυσιῶν τοίνυν τὰ νεκρὰ σώματα καὶ ἀπεστερημένα τῆς ζωῆς, φόνος τε τῶν ζώων καὶ κατανάλωσις τῶν σωμάτων μεταβολή τε παντοία καὶ φθορά, καὶ ὅλως ἡ πρόπτωσις τῆς ὕλης προϊσταμένης θεοῖς προσήκει· οὐκ αὐτοῖς δι' ἑαυτούς, ἀλλὰ διὰ τὴν ὕλην ἧς ἐπάρχουσιν. εἰ γὰρ καὶ ὅτι μάλιστα χωριστοί εἰσιν ἀπ' αὐτῆς, ἀλλ' ὅμως αὐτῇ πάρεισι· καὶ εἰ περιέχουσιν αὐτὴν ἐν ἀύλῳ δυνάμει, σὺν αὐτῇ ὑπάρχουσι· τά τε διοικούμενα τοῖς διοικοῦσίν ἐστιν οὐκ ἀλλότρια καὶ τὰ διακοσμούμενα τοῖς διακοσμοῦσι, τοῖς χρωμένοις τε τὰ ὑπηρετοῦντα ὡς ὄργανά ἐστιν οὐκ ἀνάρμοστα. διόπερ τοῖς μὲν ἀύλοις θεοῖς ὕλην προσφέρειν διὰ θυσιῶν ἐστὶν ἀλλότριον, τοῖς δ' ἐνύλοις οἰκειότατον ἅπασι.

1. ἐνύλοις] ἐν ὕλοις B. 2. ὅλης αὐτοὺς BCD. 5. ἀπεστηρημένα B. ‖ φθόνος B. 10. χωριστὰ A. 12. ἐστιν] ἔνεστιν D.

est materialibus materialem. hoc enim pacto nos ipsi materiales perveniamus in societatem materialium per materialia, cultumque eis plane cognatum et convenientem praestemus. hinc est quod in sacrificiis mortua corpora et vita cassa, animalium mactatio et victimarum absumtio, et ut verbo dicam, materiae prioris mutatio omnimoda, corruptio et destructio diis istis conveniat; non quidem per se, sed ratione materiae cui praeficiuntur. quanquam enim ab ea separabiles sunt ut quam maxime, nihilominus ei adsunt; et licet materiam potentia immateriali sua contineant, attamen una cum hac existunt. iam vero gubernata non sunt aliena suis gubernatoribus nec exornata exornantibus, neque ea quae tamquam instrumenta inserviunt, inepta eis sunt qui iis utuntur. quare diis immaterialibus materialia sacrificia offerre est prorsus indignum, materialibus vero omnibus maxime congruum.

Σκεψώμεθα δὴ τὸ μετὰ τοῦτο συμφώνως τοῖς προειρημένοις καὶ τὴν ἡμετέραν διπλῆν κατάστασιν· ὅτε μὲν γὰρ ὅλοι ψυχὴ γιγνόμεθα καί ἐσμεν ἔξω τοῦ σώματος, μετέωροί τε τῷ νῷ μεθ' ὅλων τῶν ἀύλων θεῶν μετεωροπολοῦμεν· ὅτε δ' αὖ δεδέμεθα ἐν τῷ ὀστρεώδει σώματι, καὶ ὑπὸ τῆς ὕλης κατεχόμεθα, καί ἐσμεν σωματοειδεῖς· πάλιν οὖν ἥκει τῆς θρησκείας ὁ διπλοῦς τρόπος· ὁ μὲν γὰρ ἔσται ἁπλοῦς ἀσώματος ἁγνὸς ἀπὸ πάσης γενέσεως, ὅστις ταῖς ἀχράντοις ἐπιβάλλει ψυχαῖς, ὁ δ' ἀναπιμπλάμενος τῶν σωμάτων καὶ τῆς ἐνύλου πάσης πραγματείας, ὅστις ταῖς μὴ καθαραῖς πρέπει ψυχαῖς μηδὲ ἀπολυθείσαις πάσης γενέσεως. καὶ θυσιῶν τοίνυν τίθημι διττὰ εἴδη· τὰ μὲν τῶν ἀποκεκαθαρμένων παντάπασιν ἀνθρώπων, οἷα ἐφ' ἑνὸς ἄν ποτε γένοιτο σπανίως, ὥς φησιν Ἡράκλειτος, ἤ τινων ὀλίγων εὐαριθμήτων ἀνδρῶν, τὰ δ' ἔνυλα καὶ σωματοειδῆ καὶ διὰ μεταβολῆς συνιστάμενα, οἷα τοῖς ἔτι κατεχομένοις ὑπὸ τοῦ σώματος ἁρμόζει. πόλεσι τοίνυν 15

1. σκεψώμεθα] sic CD, σκεψόμεθα O. 3. ὅλη O. ‖ γιγνόμεθα] sic D, γιγνώμεθα AC, γινόμεθα O. 4. τῷ νῷ] τῶν O. 13. ἀνθρώπῳ D. 14. 15. Ἡράκλειτος] hunc locum in Schleiermacheri syntagmate non inveni. 17. κατεχομένοις] μετεχομέναις A, μετασχομένοις C.

Cogitemus insuper ad haec quae diximus et illud satis spectans, nempe vitae nostrae geminum habitum. est enim quando anima toti fiamus et extra corpus constituamur, menteque evecti per alta tranemus, deorum immaterialium et universalium hospites. aliquando vero constringimur corporis testa, et opprimimur a materia, et in corporis indolem degeneramus. similiter duplex erit cultus divini ratio; illa simplex incorporea ab omni generatione pura atque adeo sinceris competens animabus; haec plena corporibus et ritibus materialibus, convenitque animabus nondum defaecatis aut generatione prorsus liberatis. sacrificiorum ergo species duae sunt; alia quidem sunt hominum summopere purgatorum, quod raro, ut ait Heraclitus, vix uni aut alteri, sane paucissimis, evenit; alia sunt materialia et crassa et in mutatione consistunt, qualia conveniunt animabus corpore adhuc constrictis. quare civitatibus et oppidis nondum pur- 15

καὶ δήμοις οὐκ ἀπολελυμένοις τῆς γενεσιουργοῦ μοίρας καὶ τῆς ἀντεχομένης τῶν σωμάτων κοινωνίας, εἰ μὴ δώσει τις τὸν τοιοῦτον τρόπον τῆς ἁγιστείας, ἀμφοτέρων διαμαρτήσει, καὶ τῶν ἀύλων ἀγαθῶν καὶ τῶν ἐνύλων· τὰ μὲν γὰρ οὐ δύναται δέξασθαι, τοῖς δὲ οὐ προσάγει τὸ οἰκεῖον. καὶ ἅμα ἕκαστος καθόσον ἐστίν, οὐ μέντοι καθόσον μή ἐστι, ποιεῖται τῆς θυσίας τὴν ἐπιμέλειαν· οὐκ ἄρα δεῖ αὐτὴν ὑπεραίρειν τὸ οἰκεῖον μέτρον τοῦ θεράποντος.

Ὁ δ' αὐτός ἐστί μοι λόγος καὶ περὶ τῆς συμπλοκῆς τῆς οἰκείως συναρμοζομένης τῶν θεραπευόντων ἀνδρῶν καὶ τῶν θεραπευομένων δυνάμεων. καὶ γὰρ ταύτην τὸν ἑαυτῇ πρόσφορον τρόπον τῆς θρησκείας ἐκλέγεσθαι ἀξιῶ, ἄυλον μὲν τὴν ἀύλως συμμιγνυμένην, καὶ ταῖς ἀσωμάτοις καθαραῖς δυνάμεσι πρὸς αὐτὰ καθαρῶς τὰ ἀσώματα συναπτομένην, σωματοειδῶς δὲ τὴν σωματοειδῆ, καὶ μετὰ σωμάτων συνηρτημένην, πρὸς τὰς σώμασιν ἐπιβεβηκυίας οὐσίας ἀνακεραννυμένην.

6. 7. *καθόσον μή*] *καθὸ μή* ACD. 7 *θυσίας*] sic Gale not., *ὁσίας* D, *οὐσίας* O. 8. 9. *θεραπεύοντος* ACD 11. ante *ἀνδρῶν* O add. *τῶν*. 13. *ἑαυτῇ*] *ἐν αὐτῇ* A. 14. *συμμιγνυμένων* C. 15. *καθαραῖς*] *καθαρῶς* AD. 17. *συνηρτημένων* AC.

gatis sorte genitali corporumque necessitudine, hunc in operando sacrificiorum nisi quis praestet ritum, pariter aberrabit ab utrisque, tam immaterialibus quam materialibus bonis: illa namque eximia capere nequit, his autem apta et idonea non offert. adde quod unusquisque sacrificium sibi, qua talis est et non qua alius, parat; et proinde non oportet sacrificium discrepare ab habitu sacrificantis.

Eadem dixerim de complexione, quae colentes homines et deos qui coluntur conciliat: nec enim dubito, quin illa convenientem sibi cultus rationem eligere debeat. nam complexio immaterialis cultum immaterialiter temperatum eligit, potentiisque pure incorporeis ad ipsa pure incorporea copulatum: complexio autem corporea corporeum corporibusque coaptatum, et ad essentias corporibus praesidentes attemperatum.

Μὴ ἀτιμάσωμεν τοίνυν ἔτι καὶ τὰ τοιαῦτα εἰπεῖν. 16
ὡς πολλάκις τῆς τοῦ σώματος ἕνεκα ἀναγκαίας χρείας διαπραγματευόμεθά τι πρὸς τοὺς ἐφόρους τοῦ σώματος θεοὺς καὶ δαίμονας ἀγαθούς· οἷον καθαίροντες αὐτὸ ἀπὸ κηλίδων παλαιῶν ἢ νόσων ἀπολύοντες, καὶ ὑγείας πληροῦντες ἢ τὸ μὲν βαρὺ καὶ νωθρὸν ἀποκόπτοντες ἀπ' αὐτοῦ, τὸ δὲ κοῦφον καὶ δραστήριον αὐτῷ παρέχοντες, ἢ ἄλλο γέ τι τῶν πάντων ἀγαθῶν αὐτῷ παρασκευάζοντες. τότε δὴ οὖν οὐ δήπου νοερῶς καὶ ἀσωμάτως τὸ σῶμα μεταχειριζόμεθα· οὐ γὰρ πέφυκε τῶν τοιούτων τρόπων τὸ σῶμα μετέχειν· τῶν δὲ συγγενῶν ἑαυτῷ μεταλαγχάνον, σώμασι σῶμα θεραπεύεταί τε καὶ ἀποκαθαίρεται. ἔσται δὴ οὖν καὶ ὁ τῶν θυσιῶν θεσμὸς ἐπὶ τῆς τοιαύτης χρείας ἐξ ἀνάγκης σωματοειδής, τὰ μὲν ἀποκόπτων τῶν ἐν ἡμῖν περιττευόντων, τὰ δὲ ἀναπληρῶν ὅσα ἡμῖν ἐλλείπει, τὰ δὲ εἰς συμμετρίαν ἄγων καὶ τάξιν ὅσα πλημμελῶς ἐπιτετάρακται· καὶ μὴν πολλὰ καὶ πρὸς τὸν ἀνθρώπινον βίον ἐπιτηδείων δεόμενοι ἡμῖν γενέσθαι παρὰ τῶν κρειττόνων ἱερουργίαις χρώμεθα· ταῦτα δ' ἔστι δήπου

7. αὐτῷ] αὐτὸ B. 10. 11. τρόπον D. 11. 12. μεταλαγχάνων B. 12. τε] sic ACD, om. O. 13. τῆς om. A. 14. ἀποκρύπτων B. 15. ἀναπληροῦν O. 19. χρώμενοι O.

Quinetiam et illa non contemnenda amplius adiiciamus. saepe 16
in corporis usum necessarium, diis corporis gubernatoribus daemonibusque bonis aliquid vovemus et operamur: quos utique credimus posse illud purgare ab inolitis maculis et a morbis liberare, sanitate replere aut gravedinem et veternum amovere, levitatemque et agilitatem ei instillare, aut aliud denique bonum quodlibet admovere. ibi puto intellectuali et incorporea ratione non recte tractabimus corpus. nec enim aptum natum est corpus, ut istiusmodi ritu curari queat; sed cum cognata sibi postulat, et corporibus corpus purgatur et curatur. erit igitur et sacrificiorum ritus in huiusmodi necessitate necessario corporeus; ita enim superflua in nobis amputabit, supplebitque quae deerunt nobis, quae vero disturbata sunt ad ordinem et symmetriam restituet. quinimo saepe sacrificamus, poscentes a superis necessaria ad vitam quotidianam, qualia sunt quae

κηδεμονίαν σώματι παρέχοντα ἢ ἐκείνων ἐπιμελούμενα, ἃ τῶν σωμάτων ἕνεκα κτώμεθα.

17 *Τί δὴ οὖν ἡμῖν ἔσται παρὰ τῶν ἐξῃρημένων παντάπασι θεῶν πάσης ἀνθρωπίνης γενέσεως εἰς ἀκαρπίαν ἢ ἀγωνίαν ἢ περιουσίαν ἢ ἄλλο τι τῶν τοῦ βίου πραγμάτων ἐχόμενον; οὐδὲν οὐδαμῶς· τοὺς γὰρ ἀπολελυμένους πάντων οὐκ ἔνεστι τῶν τοιούτων ἐφάπτεσθαι δόσεων. ἀλλ' εἰ μέν τις λέγει ὅτι περιέχουσι καὶ τοὺς τοιούτους θεοὺς οἱ παντελῶς ἄυλοι, περιέχοντες δὲ αὐτοὺς καὶ τὰ δῶρα αὐτῶν κατὰ μίαν τὴν πρώτην αἰτίαν συνειλήφασιν ἐν ἑαυτοῖς, λέγοι τινὰ ἂν οὕτω κατιοῦσαν ἀπ' αὐτῶν περιουσίαν τῆς θείας δόσεως· ὡς δὲ αὐτοὶ ταῦτα δρῶσι προσεχῶς ἐφαπτόμενοι τῶν τοῦ ἀνθρωπείου βίου πράξεων, οὐδενὶ συγχωρητέον λέγειν. μεριστή τε γάρ ἐστιν ἡ τοιαύτη προστασία τῶν τῇδε, καὶ μετά τινος ἐπιστροφῆς ἐπιτελεῖται, χωριστή τε οὐκ ἔστι πάντη σωμάτων, καὶ οὐ δύναται δέξασθαι τὴν καθαρὰν καὶ ἄχραντον ἐπιστασίαν. οὐκοῦν καὶ τρόπος ἱερουργίας ἐπὶ τῶν τοιούτων ἔργων ὁ*

5. *ἀγονίαν* B. || *τῶν*] sic ACD, om. O. 6. *ἐχομένων* CD. 8. *λέγοι* AC et margo D. 13. *ἀνθρωπίνου* AC. 17. *ἄχραντον* D.

victui necessaria sunt, vel ad illa pertinent quae corporis causa cupimus.

17 Quid tandem ab istis diis, qui ab omni humana actione eximuntur, nobis poterit contingere circa calamitates aut sterilitates aut fertilitates vel alia quae vitam hanc nostram tangunt? sane nihil quidquam: qui enim sunt ab omnibus absoluti eiusmodi dona non tractant. quod si quis dicat deos illos prorsus immateriales in se complecti deos materiales, quatenus autem ipsos in se, ipsorum quoque dona comprehendere tamquam causa una et prima, istoc pacto dicet exuberantiam quandam divinae benignitatis illinc descendere. quod autem ipsi haec agant ita ac si actiones vitamque nostram immediate contingerent, nulli dicere concedendum est. omnis enim eiusmodi rerum harum administratio particularis est, et habet in se circa has res quandam anxietatem, neque omnino a corporibus segregata est, nec potest ad liquidam et imperturbatam gubernationem

συμμιγεὶς πρὸς τὰ σώματα καὶ τῆς γενέσεως ἐχόμενος ἁρμόζει, οὐχ ὅστις ἐστὶν ἄυλος παντελῶς καὶ ἀσώματος. ὁ μὲν γὰρ καθαρὸς ὑπερέχεται παντελῶς καὶ ἔστιν ἀσύμμετρος, ὁ δὲ τοῖς σώμασι προσχρώμενος καὶ ταῖς διὰ τῶν σωμάτων δυνάμεσι, πάντων μάλιστά ἐστι συγγενέστατος, δυνατὸς μὲν ἐμποιεῖν τινὰς εὐπραγίας εἰς τὸν βίον, δυνατὸς δὲ ἀποτρέπειν καὶ τὰς ἐνισταμένας δυσπραγίας, συμμετρίαν δὲ καὶ κρᾶσιν τῷ θνητῷ γένει παρεχόμενος.

Κατ' ἄλλην τοίνυν διαίρεσιν ἡ πολλὴ μὲν ἀγέλη τῶν 18
ἀνθρώπων ὑποτέτακται ὑπὸ τὴν φύσιν, φυσικαῖς τε δυνάμεσι διοικεῖται, καὶ κάτω πρὸς τὰ τῆς φύσεως ἔργα βλέπει, συμπληροῖ τε τῆς εἱμαρμένης τὴν διοίκησιν, καὶ τῶν καθ' εἱμαρμένην ἐπιτελουμένων δέχεται τὴν τάξιν, πρακτικόν τε λογισμὸν ἀεὶ ποιεῖται περὶ μόνων τῶν κατὰ φύσιν. ὀλίγοι δέ τινες ὑπερφυεῖ δή τινι δυνάμει τοῦ νοῦ χρώμενοι, τῆς φύσεως μὲν ἀφίστανται, πρὸς δὲ τὸν χωριστὸν καὶ ἀμιγῆ νοῦν περιάγονται, οἵτινες ἅμα καὶ

1. συμμιγὴς AC. 6—7. εἰς τὸν βίον — δυσπραγίας om. O. 7. ἐνισταμένας] ἐγγιζομένας Gale not. 9. καθ' ἄλλην] κατάλληλα BCD. || διαίρεσις B. 13. ἐπιτελουμένων] sic ACD, ἐπὶ τῶν τελουμένων O. 14. ποιῆται C. 16. ἀφιστάνονται ACD.

adspirare. igitur in istiusmodi rebus sacrorum modus is erit maxime congruus, qui cum corporibus et generatione commercium habet, non qui est a materia et corporibus prorsus alienus. siquidem immaterialis ille omnino talia supereminet neque ad haec proportionem habet, qui vero corporibus horumque viribus utitur, est rebus eiusmodi omnium longe cognatissimus, potestque vitae quasdam suppeditare commoditates, et instantes amovere calamitates, proportionem et temperamentum mortalibus procurando.

Sit et alia divisio: maxima hominum turba naturae subiicitur, 18
eiusque potentiis gubernatur, vergitque fere ad naturae opera, fati leges explet, cogiturque in ordinem earum rerum quae fato fiunt, et practicam rationem in solis naturalibus rebus exercet. pauci interim sunt qui supernaturali mentis usi potentia, naturam supergrediuntur, ad separatam puramque mentem adspirantes, qui proinde potentiis

τῶν φυσικῶν δυνάμεων γίγνονται κρείττονες. ἔνιοι δὲ μεταξὺ τούτων φέρονται περὶ τὰ μέσα τῆς φύσεώς τε καὶ τοῦ καθαροῦ νοῦ, οἱ μὲν ἀμφοτέρων ἐφεπόμενοι, οἱ δὲ σύμμικτόν τινα ἀπ' αὐτῶν ζωὴν μετιόντες, οἱ δὲ ἀπολυόμενοι μὲν τῶν ὑποδεεστέρων, ἐπὶ δὲ τὰ ἀμείνονα μεθιστάμενοι.

Τούτων δὴ οὖν οὕτω διῃρημένων καὶ τὸ τοῖςδε ἑπόμενον εὔδηλον ἂν ὅτι μάλιστα γένοιτο· οἱ μὲν γὰρ ἐπιτροπευόμενοι κατὰ τὴν τῶν ὅλων φύσιν, καὶ αὐτοὶ κατὰ φύσιν τὴν οἰκείαν ἑαυτῶν ζῶντες, δυνάμεσί τε τῆς φύσεως χρώμενοι, τὴν θρησκείαν ἐπιτηδεύουσι τῇ φύσει πρόσφορον καὶ τοῖς κινουμένοις ὑπὸ τῆς φύσεως σώμασι, τόπους τε καὶ ἀέρας καὶ ὕλην καὶ δυνάμεις τῆς ὕλης, καὶ σώματα καὶ τὰς περὶ τοῖς σώμασιν ἕξεις καὶ ποιότητας, κινήσεις τε τὰς προσηκούσας καὶ μεταβολὰς τῶν ἐν γενέσει, καὶ τἄλλα τὰ ἐχόμενα τούτων ἐπιτηδεύοντες ἔν τε τοῖς ἄλλοις τῆς εὐσεβείας μορίοις καὶ δὴ καὶ ἐν τῷ θυηπολικῷ μέρει.

1. *γίνονται* AD. 3. *ἐφεπόμενοι*] *ἀφιστάμενοι* margo B haud dubie a manu Galei, qui vertit: alii quidem vicissim ab utraque se reducunt. *ἀφιστάμενοι* recurrit 225, 7. 5. *ἀμείνονα*] *ἀμυνόμενα* ABD, *ἀμηνόμενα* C. 11. 12. *πρόφορον* D. 13. *καὶ* ante *ἀέρας* om. D. 14. *καὶ τοῖς περὶ σώμασιν ἕξεις* D. 17. *τῆς*] *τοῖς* O.

naturalibus praestantiores evadunt. nonnulli vero ab his utrinque recedentes medium tenent inter puram mentem et naturam, et horum alii quidem utramque consectantes, alii mistam quandam ex illis utrisque vitam amplectuntur, alii ab inferioribus solvuntur, et ad meliora sese transferunt.

His ita divisis quid hinc sequatur satis est manifestum. qui enim natura universali gubernantur, vitamque degunt naturae propriae mancipatam, potentiisque naturae fruuntur, ii cultum exercebunt naturae consentaneum congruumque corporibus a natura motis, eligentque ad hoc loca aërem materiam potentiasque materiae, corpora, corporum habitus et qualitates, motus convenientes mutationesque eorum quae in generatione versantur et similia his cum in ceteris divini cultus partibus tum in sacrificandi ritu. qui vero

οἱ δὲ κατὰ νοῦν μόνον καὶ τὴν τοῦ νοῦ ζωὴν τὸν βίον διάγοντες, τῶν δὲ τῆς φύσεως δεσμῶν ἀπολυθέντες, νοερὸν καὶ ἀσώματον ἱερατικῆς θεσμὸν διαμελετῶσι περὶ πάντα τῆς θεουργίας τὰ μέρη. οἱ δὲ μέσοι τούτων κατὰ τὰς διαφορὰς τῆς μεταξὺ μεσότητος καὶ τὰς ὁδοὺς τῆς ἁγιστείας διαφόρους διαπονοῦσιν, ἤτοι μετέχοντες ἀμφοτέρων τῶν τρόπων τῆς θρησκείας, ἢ τοῦ μὲν ἀφιστάμενοι, ἢ ὡς ὑπόθεσιν αὐτὰ λαμβάνοντες τῶν τιμιωτέρων (ἄνευ γὰρ αὐτῶν οὐκ ἄν ποτε παραγένοιτο τὰ ὑπερέχοντα) ἢ ἄλλως οὑτωσὶ μεταχειριζόμενοι αὐτὰ δεόντως.

Περὶ δὲ τὸν αὐτὸν τρόπον κἀκείνη στρέφεται ἡ δι- 19
αίρεσις· τῶν θείων οὐσιῶν καὶ δυνάμεων αἱ μὲν ἔχουσι ψυχὴν καὶ φύσιν ὑποκειμένην καὶ ὑπηρετοῦσαν αὐτῶν ταῖς δημιουργίαις, ᾗπερ ἂν αὗται βούλωνται. αἱ δὲ πάντῃ ψυχῆς καὶ φύσεώς εἰσι χωρισταί, λέγω δὲ τῆς θείας ψυχῆς τε καὶ φύσεως ἀλλ' οὐχὶ τῆς περικοσμίου τε καὶ γενεσιουργοῦ. τινὲς δὲ καὶ μέσαι τούτων ὑπάρχουσαι κοινωνίαν αὐταῖς παρέχουσι πρὸς ἀλλήλας, ἢ κατὰ σύνδεσ-

5. ξυμμεσότητος O. 6. διαφόρους] sic C et Gale not., διαφόρως O. 11. τρόπον] τόπον AD. 14. δημιουργίαις] sic AD, δημιουργείαις O. 15. καὶ om. D.

sola mente utuntur, eiusque vitam vivunt vinculis naturae soluti, ii sane in omnibus religionis partibus intellectualem et incorpoream cultus rationem meditantur. qui mediam vitam degunt, pro differentiis istius mediae sortis ipsi quoque differentes cultus vias inibunt: aut enim utrumque vicissim tractabunt cultus modum, aut ab hoc absistent aut inferiora tamquam scalas ad superiora ponentes (sine his ad superiora nunquam perveniri posse existimantes) aut alio simili modo sacrificiis rite utentur.

Sed et hic locum habere potest illa divisio. potentiarum et 19
essentiarum divinarum hae quidem subiectam sibi et ancillantem earum opificiis animam et naturam habent, ubi ipsae volent: aliae omnino liberae sunt ab anima et natura, ab anima inquam divina et natura non tantum a mundana et genitali: sunt et mediae inter has quae communionem inter extremas tuentur, idque vel propter vinculum illud inter res omnes indissolubile, vel propterea quod su-

μον ἕνα ἀδιαίρετον, ἢ κατὰ μετάδοσιν τῶν μειζόνων ἄφθονον, ἢ κατὰ ὑποδοχὴν τῶν ἐλαττόνων ἀκώλυτον, ἢ κατὰ σύνδετον ἀμφοῖν ὁμόνοιαν. ὅταν μὲν οὖν θεοὺς θεραπεύωμεν τοὺς βασιλεύοντας ψυχῆς καὶ φύσεως, οὐκ ἀλλότριον τούτοις ἐστὶ καὶ φυσικὰς δυνάμεις προσφέρειν, σώματά τε τὰ διοικούμενα ὑπὸ τῆς φύσεως καθαγίζειν αὐτοῖς οὐκ ἔστιν ἀπόβλητον· ὅλα γὰρ τὰ τῆς φύσεως ἔργα ὑπηρετεῖ τε αὐτοῖς καὶ συντελεῖ τι αὐτῶν εἰς τὴν διακόσμησιν. ὅταν δὲ τοὺς αὐτοὺς καθ' ἑαυτοὺς μονοειδεῖς ὄντας τιμᾶν ἐπιχειρῶμεν, ἀπολύτοις τιμαῖς αὐτοὺς γεραίρειν ἄξιον· τὰ δὲ νοερὰ τοῖς τοιούτοις δῶρα ἁρμόζει καὶ τὰ τῆς ἀσωμάτου ζωῆς, ὅσα τε ἀρετὴ καὶ σοφία δωρεῖται, καὶ εἴ τινα τέλεια καὶ ὅλα τῆς ψυχῆς ἐστιν ἀγαθά. καὶ μὴν τοῖς γε μέσοις καὶ τῶν μέσων ἡγεμονοῦσιν ἀγαθῶν ἐνίοτε μὲν διπλᾶ ἂν δῶρα συναρμόσειεν, ἐνίοτε δ' ἂν ἐπίκοινα πρὸς ἀμφότερα ταῦτα, ἢ καὶ ἀποσχιζόμενα μὲν ἀπὸ τῶν κάτω πρὸς δὲ τὰ ὑψηλότερα ἀνήκοντα, ἢ πάντως ἑνί γε τῶν τρόπων συμπληροῦντα τὴν μεσότητα.

2. ἀκώλυτον] γλαφυρὸν marg. A ead man. 4. θεραπεύομεν O. 6—7. καθαγίζειν — ἀπόβλητον om. O. 7. ὅλα γὰρ τὰ τῆς φύσεως] τὰ γὰρ φύσεως πάντα O. 8. ὑπερετεῖ D. ‖ τι] sic ACD, om. O. 15. μὲν ἂν διπλᾶ A.

periora se inferioribus libere communicent, vel inferiora recipiant sine impedimento superiora, vel quod ambo nectantur inter se et conspirent. quando igitur deos colimus qui animae et naturae dominantur, nihil alieni fecerimus si his naturales potentias offeramus, neque contemnendum quid, si corpora quae natura reguntur iis consecremus; omnia enim naturae opera et obtemperant iis et ad eorum dispensationem aliquid conferunt. quando autem deos per se uniformes veneramur, honoribus a materia liberis oportet eos honorari; quare intellectualia his dona debentur et ea quae vita separata praestat, quaeque virtutis et sapientiae fructus sunt, et quaecunque perfecte et plene ab anima proficiscuntur. mediis autem diis qui et mediorum duces sunt bonorum aliquando offeres dona duplicia, aliquando mista ex utrisque, aut si ita libeat talia quae abeant ab inferioribus et ad superiora interim respiciant, aut saltem quae uni satisfaciant mediorum.

Ἀπ' ἄλλης τοίνυν ἀρχῆς ὁρμώμενοι τοῦ τε κόσμου καὶ τῶν ἐγκοσμίων θεῶν, τῆς τε ἐν αὐτῷ τῶν τεττάρων στοιχείων διανομῆς, καὶ τῆς κατὰ τὰ μέτρα τῶν στοιχείων συλλήξεως, καὶ τῆς ἐν τάξει περὶ τοῖς κέντροις περιδινουμένης περιφορᾶς, εὔβατον ἔχομεν ἄνοδον ἐπὶ τὴν ἀλήθειαν τῆς περὶ θυσιῶν ἁγιστείας· εἰ γάρ αὐτοί γέ ἐσμεν ἐν κόσμῳ, καὶ ὡς μέρη περιεχόμεθα ἐν ὅλῳ τῷ παντί, παραγόμεθά τε ὑπ' αὐτοῦ πρώτως, καὶ τελειούμεθα ἀπὸ τῶν ὅλων ἐν αὐτῷ δυνάμεων, ἀπό τε τῶν ἐν αὐτῷ στοιχείων συνεστήκαμεν, καὶ μοῖράν τινα ζωῆς καὶ φύσεως παρ' αὐτοῦ λαβόντες ἔχομεν, οὐ δεῖ δὴ διὰ ταῦτα ὑπερβαίνειν τὸν κόσμον καὶ τὰς ἐγκοσμίους διατάξεις. 20

Θῶμεν οὖν καθ' ἑκάστην περικόσμιον μερίδα εἶναι μέντοι καὶ σῶμα τοῦτο ὅπερ ὁρῶμεν, εἶναι καὶ τὰς περὶ τοῖς σώμασι μεριστὰς δυνάμεις ἀσωμάτους, ὁ δὴ τῆς θρησκείας νόμος τὰ ὅμοια δηλονότι τοῖς ὁμοίοις ἀπονέμει, καὶ διατείνει δι' ὅλων οὕτως ἄνωθεν ἄχρι τῶν ἐσχάτων, ἀσώματα μὲν ἀσωμάτοις, σώματα δὲ σώμασι, τὰ

4. καὶ τοῖς ἐν τάξει D. 5. περιδινομένης AC, περιδυναμένης D. 6. γέ] τέ A. 7. τῷ] sic ACD, om. O. 12. διατάξεις] sic AD, διαλλάξεις O. 13. δῶμεν O. 14. μέν τι A.

Ab alio igitur principio exordientes, nempe a mundo et diis mundanis, a distributione quattuor in mundo elementorum, a communi sortitione secundum mensuras elementorum facta, denique a motu circulari circa centrum, facilem reperiamus aditum ad veram sanctamque sacrificiorum rationem. si enim nos in mundo simus, et tamquam in universo contineamur, ab eoque progeneremur primo, et ab eius potentiis universalibus perficiamur, et constemus ex eius elementis, et vitae portionem naturaeque ab eo sortiti fuerimus; profecto nos non debemus in cultu divino mundum mundanosque ordines praetermittere. 20

Ponamus igitur circa quamlibet mundi partem esse quidem corpus aliquod uti videmus, esse praeterea vires in corporibus incorporeas ordine distributas, sacrorum certe lex similibus utique similia distribuit, et a summis ad ima per media tota deorsum pervadit, corpora quidem corporibus, incorporeis incorporea, propria videlicet

σύμμετρα κατὰ τὴν ἑαυτῶν φύσιν ἑκατέροις ἀποδιδούς. ἀλλὰ μὴν ὁπότε γέ τις τῶν θεουργικῶν θεῶν ὑπερκοσμίων μετάσχοι (τοῦτο δ' ἐστὶ τὸ πάντων σπανιώτατον), ἐκεῖνος δήποθέν ἐστιν ὁ καὶ σωμάτων καὶ ὕλης ὑπερέχων ἐπὶ θεραπείᾳ τῶν θεῶν, ὑπερκοσμίῳ τε δυνάμει τοῖς θεοῖς ἑνούμενος. οὐ δεῖ δὴ τὸ ἐν ἑνί ποτε μόλις καὶ ὀψὲ παραγινόμενον ἐπὶ τῷ τέλει τῆς ἱερατικῆς τοῦτο κοινὸν ἀποφαίνειν πρὸς ἅπαντας ἀνθρώπους, ἀλλ' οὐδὲ πρὸς τοὺς ἀρχομένους τῆς θεουργίας ποιεῖσθαι αὐτόχρημα κοινόν, οὐδὲ πρὸς τοὺς μεσοῦντας ἐν αὐτῇ· καὶ γὰρ οὗτοι ἀμωσγέπως σωματοειδῆ ποιοῦνται τὴν ἐπιμέλειαν τῆς ὁσιότητος.

21 *Οἶμαι τοίνυν καὶ τοῦτο ἂν προσομολογῆσαι πάντας τοὺς φιλοθεάμονας τῆς θεουργικῆς ἀληθείας, ὡς οὐκ ἐκ μέρους χρὴ οὐδὲ ἀτελῶς συνυφαίνειν τοῖς θείοις τὴν ἐπιβάλλουσαν αὐτοῖς εὐσέβειαν. ἐπειδὴ τοίνυν πρὸ τῆς παρουσίας τῶν θεῶν προκινοῦνται πᾶσαι δυνάμεις ὅσαι αὐταῖς ὑπόκεινται, καὶ ὅταν μέλλωσι κινεῖσθαι ἐπὶ γῆν προηγοῦνται αὐτῶν καὶ προπομπεύουσιν, ὁ μὲν μὴ ἀπονείμας πᾶσι*

2. 3. *ὑπερκοσμίως* D. 4. *δήπουθεν* AD. 6. *τὸ*] *τὸν* CD. ‖ *ἐν*] sic AC, om. O. ‖ *ὀψὲ*] *ὃ οὐδὲ* A, *οὐδὲ* C. 17. *προκεινοῦνται* D. 18. *ὑπόκεινται*] sic Fesch., *προϋπόκεινται* O.

iuxta eorum naturam distribuens utrisque; si quis vero religiosus assequatur deos supermundanos (quod quidem rarissime fit), is sane in diis colendis omnem derelinquit materiam et corpus, et vi quadam supermundana diis unitur. quod autem uni vix tandem in religionis fine contingit, non expedit pro communi lege omnibus promulgare, nec sane eis qui iam novitii sunt in theurgia, aut medium itineris confecere. hi namque utrique corpoream quoquo modo solent rei divinae curam agere.

21 Arbitror igitur et hoc in confesso esse apud omnes veritatis theurgicae studiosos, non oportere cultum superis convenientem aut partialiter aut imperfecte adhibere. quoniam igitur antequam appareant dii descendantque ad terram, omnes subiacentes illis potentiae moventur et praecurrunt pompaeque inserviunt, nimirum qui non distribuit omnibus quod cuique congruit, nec unumquemque suo

τὸ πρόσφορον καὶ κατὰ τὴν ἐπιβάλλουσαν τιμὴν ἕκαστον δεξιωσάμενος ἀτελὴς ἀπέρχεται καὶ ἄμοιρος τῆς μετουσίας τῶν θεῶν, ὁ δὲ πάντα ἱλεωσάμενος καὶ ἑκάστῳ τὰ κεχαρισμένα καὶ κατὰ δύναμιν ὁμοιότατα γέρα προσενεγκών, ἀσφαλὴς καὶ ἄπταιστος ἀεὶ διαμένει, τέλεον καὶ ὁλόκληρον τὴν ὑποδοχὴν τοῦ θείου χοροῦ καλῶς ἀποπληρώσας. ὁπότε δὴ οὖν τοῦτο οὕτως ἔχει, πότερον ἁπλοῦν καὶ ἐξ ὀλίγων δή τινων συνιστάμενον τὸν τρόπον εἶναι δεῖ τῆς ἁγιστείας, ἢ πολύτροπον καὶ παναρμόνιον καὶ ἀπὸ πάντων, ὡς ἔπος εἰπεῖν, τῶν ἐν τῷ κόσμῳ συγκεκροτημένων;

Εἰ μὲν οὖν ἁπλοῦν τι καὶ μιᾶς τάξεως τὸ παρακαλούμενον καὶ κινούμενον ἦν ἐν ταῖς ἁγιστείαις, ἁπλοῦς ἂν ἦν καὶ τῶν θυσιῶν ἐξ ἀνάγκης ὁ τρόπος· εἰ δὲ τῶν μὲν ἄλλων οὐδενὶ περιληπτόν, ὅσον ἐγείρεται πλῆθος δυνάμεων ἐν τῷ κατιέναι καὶ κινεῖσθαι τοὺς θεούς, μόνοι δὲ οἱ θεουργοὶ ταῦτα ἐπὶ τῶν ἔργων πειραθέντες ἀκριβῶς

1. τὴν] sic ACD, om. O. 2. ἀτελὴς] ἀποτελῆς D. 3. post πάντα ACD Fesch. addunt τε. 4. κεχωρισμένα BD. 5. καὶ post τέλεον om. AC. 6. χωροῦ D. 10. ἔπος] ὅπως D. 10. 11. συγκεκροτημένον CD. 12. τάξεως] sic A, τάξεως καὶ O. 14. ἂν] sic AC, om. O. 16. ἐν om. B.

proprio honore prosequitur, abit inhonoratus ipse et expers divinae communicationis, qui vero omnes procuraverit, grataque dona unicuique et quantum potest accommodata offerat, is certus et securus eventus permanet, ut qui plene et perfecte omnia ad divinum chorum excipiendum rite praestiterit. cum itaque haec ita se habeant, simplicemne et ex paucis compositum oportet esse religionis in sacrificiis modum, an multiformem et ex varia harmonia, omnibus mundanis quasi concinentibus conflatum?

Sane si simplex et unius generis divinitas advocata et sacris commota adventaret, omnino utique sacrificiorum modus simplex sufficeret: at vero si nullus potest dignoscere quanta potestatum turma suscitari soleat, quando dii descendunt et commoventur, nisi soli sacerdotes, qui re ipsa edocti hoc accurate norunt, soli sane

γιγνώσκουσι, μόνοι οὗτοι καὶ δύνανται γιγνώσκειν τίς ἐστιν ἡ τελεσιουργία τῆς ἱερατικῆς, καὶ τὰ παραλειπόμενα ἴσασι, κἂν βραχέα ᾖ, ὅτι τὸ ὅλον τῆς θρησκείας ἔργον ἀνατρέπει, ὥσπερ ἐν ἁρμονίᾳ μιᾶς χορδῆς ῥαγείσης ἡ ὅλη ἀνάρμοστός τε καὶ ἀσύμμετρος γίνεται· ὥσπερ οὖν ἐπὶ τῶν φανερῶν θείων καθόδων ἐναργὴς ἡ βλάβη γίνεται τοῖς ἀτίμητόν τινα τῶν κρειττόνων περιλιποῦσιν, οὕτω καὶ ἐπὶ τῆς ἀφανοῦς αὐτῶν παρουσίας ἐν ταῖς θυσίαις οὐ τὸν μὲν τὸν δ' οὔ, πάνυ δὲ τιμητέον καθ' ἣν ἕκαστος εἴληχε τάξιν. ὁ δὲ ἀγέραστόν τινα ἀφεὶς συνέχεε τὸ ὅλον, καὶ τὴν μίαν καὶ ὅλην διακόσμησιν διέσπασεν· οὐχ ὡς ἄν τις οὖν νομίσειεν, ἀτελῆ τὴν ὑποδοχὴν ἐποιήσατο, ἀλλὰ καὶ τὸ παράπαν τὴν ὅλην ἀνέστρεφεν ἁγιστείαν.

22 *Τί δέ, οὐχὶ τὸ ἀκρότατον τῆς ἱερατικῆς ἐπ' αὐτὸ τὸ κυριώτατον τοῦ ὅλου πλήθους ἐν ἀνατρέχει, καὶ ἐν αὐτῷ ἅμα τὰς πολλὰς οὐσίας καὶ ἀρχὰς συνθεραπεύει; καὶ πάνυ φήσαιμι ἄν· ἀλλὰ τοῦτο ὀψιαίτατα παραγίνε-*

1. *γιγνώσκουσι*] sic AD, *γινώσκουσι* O. || *γιγνώσκειν*] sic A, *γινώσκειν* O. 2. *περιλειπόμενα* ACD. 4. *ἡ*] *ᾗ* B. 5. *ἀσύμετρος* O. 11. *διέσπακεν* A. 17. post *πάνυ* AC addunt *γε*.

sacerdotes intelligere possunt quae sit perfecta colendi ratio, et quod pauca praetermissa totum religionis opus evertant, quemadmodum si una chorda disrumpatur, tota subito inharmonica et dissona evadit harmonia. quemadmodum igitur in deorum manifestis descensibus manifestum quoque nobis provenit damnum, si quem ex superis praetermittimus inhonoratum, ita etiam si arcani et inconspicui sacrificiis adsint, non oportet hunc colere illum autem non, sed omnino unusquisque colendus est pro suo gradu quem tenet. qui autem aliquem proprio fraudat totum confundit religionis opus, et quae nunc una integraque esset conformitatem dissipat; neque, ut alicui forte possit videri, imperfecte deos suscipit, sed totam ceremoniam penitus evacuavit.

22 Quid vero, an non sacri cultus perfectissima ratio ad totius multitudinis numinum unum et principale se dirigit, atque in eo divinas omnes essentias et principatus simul colit? nullus dubito, sed

ται καὶ τοῖς σφόδρα ὀλιγοστοῖς, καὶ ἀγαπητόν, εἰ καὶ ἐν δυσμαῖς τοῦ βίου ποτὲ ὑπάρξοιεν. ἀλλ' ὁ νῦν λόγος οὐ τῷ τοιούτῳ ἀνδρὶ διαθεσμοθετεῖ (κρείττων γάρ ἐστι παντὸς νόμου), τοῖς δὲ δεομένοις θεσμοῦ τινὸς προσάγει τὴν τοιαύτην νομοθεσίαν. λέγει τοίνυν, ὅτι καθάπερ κόσμον τινὰ ἐκ πολλῶν τάξεων εἰς μίαν συνιόντα σύνταξιν, οὕτω καὶ τῶν θυσιῶν δεῖ τὴν συμπλήρωσιν, ἀνέκλειπτον οὖσαν καὶ ὁλόκληρον, ὅλῳ τῷ διακόσμῳ τῶν κρειττόνων συνάπτεσθαι. ἀλλὰ μὴν οὗτος, εἴ γε πολύς ἐστι καὶ παντελὴς καὶ κατὰ πολλὰς τάξεις συμφυόμενος, δεῖ τοίνυν καὶ τὴν ἱερουργίαν μιμεῖσθαι αὐτοῦ τὸ παντοδαπὸν δι' ὅλων τῶν προσαγομένων δυνάμεων. κατὰ τὰ αὐτὰ τοίνυν καὶ τὰ περὶ ἡμᾶς παντοδαπὰ ὄντα οὐ χρὴ ἐκ μέρους τινὸς τῶν ἐν αὐτοῖς συνυφαίνεσθαι πρὸς τὰ προηγούμενα αὐτῶν θεῖα αἴτια, ἀλλ' οὐδὲ ἀτελῶς πρὸς τοὺς ἀρχηγέτας αὐτῶν ἀνήκειν.

1. εἰ καὶ] sic AC, καὶ εἰ D, εἰ O. 2. δυσμαῖς] sic AC Reg. Fesch. et corr. D, δυσμῇ O. || ὑπάρξαιεν A, ὑπάρξειεν CD, ὑπέρξειεν Reg. Fesch. 3. κρείττω B. 4. θεσμοῦ] sic ACD, θυμοῦ O. 6. σύνταξιν] σύναξιν Fesch. 9. μὴν] sic ACD, μὲν O. 14. αὐτοῖς] sic AC, αὐταῖς O.

hoc sero admodum advenit et oppido paucis, et bene nobiscum agi putandum est, si in vitae occasu contingat. sed nostra haec disputatio tali viro legem non ponit (est enim supra omnes huiusmodi leges), sed iis hunc sacrorum praescribit ordinem qui aliqua institutione opus habeant. hoc tantum vult, quod quemadmodum mundus omnis ex multis ordinibus in unum ordinem conflatum habet, similiter sacrificia debent habere complementum iustum et integrum, quo possint toti superiorum ordini apte concordare. quare si ille mundus multiplex est et integer et ex multis ordinibus connatus, oportet sane et sacrorum ritus imitari eius varietatem, varias afferendo potestates. similiter quae circa nos sunt, quoniam multiformia sunt, non debent ex una tantum sui parte accommodari divinis quae eis praesident causis, nec imperfecte ad suos duces ascendere.

23 Ὁ τοίνυν ποικίλος τρόπος τῆς ἐν ταῖς ἱερουργίαις ἁγιστείας τὰ μὲν ἀποκαθαίρει, τὰ δὲ τελειοῖ τῶν ἐν ἡμῖν ἢ περὶ ἡμᾶς ὄντων, τὰ δὲ εἰς συμμετρίαν καὶ τάξιν καθίστησι, τὰ δὲ ἄλλως ἀπολύει τῆς θνητοειδοῦς πλημμελείας, πάντα δὲ προσήγορα τοῖς ὅλοις κρείττοσιν ἡμῶν ἀπεργάζεται. καὶ μὴν συνιόντων γε εἰς τὸ αὐτὸ τῶν θείων αἰτίων καὶ τῶν ἀνθρωπίνων παραπλησίων αὐτοῖς παρασκευῶν, πάντα τέλεια καὶ μεγάλα ἀγαθὰ τῆς θυσίας ἡ τελεσιουργία παρέχεται.

Οὐ χεῖρον δέ τοι καὶ τὰ τοιαῦτα προσθεῖναι πρὸς ἀκριβῆ περὶ τῶν αὐτῶν κατανόησιν. πέφυκεν ἀεὶ τῶν ἀκροτάτων ἡ περιουσία τῆς δυνάμεως καὶ ἐν τῷδε ὑπερέχειν τῶν ὅλων, ἐν τῷ παρεῖναι πᾶσιν ἐξ ἴσου τὴν αὐτὴν ἀνεμποδίστως· ἐλλάμπει τοίνυν κατὰ τοῦτον τὸν λόγον καὶ τοῖς ἐσχάτοις τὰ πρώτιστα, καὶ πάρεστιν ἀΰλως τοῖς ἐνύλοις τὰ ἄυλα. μὴ δή τις θαυμαζέτω, ἐὰν καὶ ὕλην τινὰ καθαρὰν καὶ θείαν εἶναι λέγωμεν· ἀπὸ γὰρ τοῦ πατρὸς καὶ δημιουργοῦ τῶν ὅλων καὶ αὐτὴ γενομένη, τὴν

2. ἀποκαθαίρειν B. || τελειοῖ] sic ACD, τελειοῖ τι O. 8. τελεῖ AC. 10. τοι] τι ACD. || προσθῆναι O. 11. τῶν prius om. C. 12. τῷδε] sic AD, τῷ δὲ O. 15. πρόδιστα D. 18. αὕτη A.

23 Quinimo varius ille sacrificiorum modus quandoque purgat, quandoque ea quae in nobis sunt aut circa nos perficit, quae sunt inordinata ad symmetriam et ordinem restituit, alia a mortalibus erroribus alias liberat, omnia denique conciliat universalibus naturis nostra melioribus. quando igitur fit utrinque conspiratio illinc causarum divinarum hinc humanarum praeparationum ex aequo respondentium, tunc sacrificii operatio perfecta omnia quidem bona perfecta et immensa reportat.

Sed et praestiterit nonnulla alia addere ad accuratiorem horum intelligentiam. in causis universi supremis ea est exuberantia potestatis, ut cum in aliis tum etiam in hoc universa exuperet, videlicet quod omnibus ex aequo una eademque sine impedimento praesens sit. hac igitur ratione ipsa illa omnium prima ultimis usque affulgent, et immaterialia principia materialibus adsunt immaterialiter. sed nec mirum cuiquam videatur, si et materiam aliquam puram et

τελειότητα ἑαυτῆς ἐπιτηδείαν κέκτηται πρὸς θεῶν ὑποδοχήν. καὶ ἅμα οὐδὲν διείργει τὰ κρείττονα πρὸς τὸ δύνασθαι τὰ καταδεέστερα ἑαυτῶν ἐλλάμπειν, οὐδὲ τὴν ὕλην οὖν ἀφίστησιν οὐδὲν τῆς τῶν βελτιόνων μετουσίας, ὥςτε ὅση τέλεια καὶ καθαρὰ καὶ ἀγαθοειδὴς ὑπάρχει, πρὸς θεῶν ὑποδοχήν ἐστιν οὐκ ἀνάρμοστος· ἐπεὶ γὰρ ἔδει καὶ τὰ ἐν γῇ μηδαμῶς εἶναι ἄμοιρα τῆς θείας κοινωνίας, ἐδέξατό τινα ἀπ' αὐτῆς θείαν μοῖραν καὶ ἡ γῆ, ἱκανὴν οὖσαν χωρῆσαι τοὺς θεούς.

Ταῦτα τοίνυν κατιδοῦσα ἡ θεουργικὴ τέχνη, κοινῶς τε οὑτωσὶ κατ' οἰκειότητα ἑκάστῳ τῶν θεῶν τὰς προσφόρους ὑποδοχὰς ἀνευρίσκουσα, συμπλέκει πολλάκις λίθους βοτάνας ζῶα ἀρώματα, ἄλλα τε τοιαῦτα ἱερὰ καὶ τέλεια καὶ θεοειδῆ, κἄπειτα ἀπὸ πάντων τούτων ὑποδοχὴν ὁλοτελῆ καὶ καθαρὰν ἀπεργάζεται.

Οὐ γὰρ δὴ δεῖ δυσχεραίνειν πᾶσαν ὕλην, ἀλλὰ μόνην

2. διέργει O. 4. οὐδὲν scripsi, οὐδὲ O. 4. 5. ὥστε ὅση] sic D, ὅστε ὅσα O. 5. ἀγαθοειδὴς] sic ACD, ἀγαθοειδῆ O. 8. ἀπ'] ἐπ' A. 9. οὖσαν om. D. 11. τε] δὲ O. || οὑτωσὶ om. D. || ἑκάστῳ] sic ACD, ἑκάστου O. 11. 12. προσφορὰς AC. 13. ἄλλα τε τοιαῦτα] sic A, ἄλλα τοιαῦτα CD, om. O. 14. θεειδῆ B. 16. δεῖ δὴ A. || δουσχαιραίνειν D.

divinam esse afferamus; nam ipsa quoque materia, cum ab opifice patreque omnium facta sit, merito perfectionem sui quandam accepisse censenda est aptam ad deos suscipiendos. quinetiam nihil est quod prohibet superiora diffundere lumen suum ad inferiora: quare nec materiam expertem faciet quidquam superiorum participationis: proinde quaecunque materia reperiatur perfecta et pura et boniformis, ad suscipiendos deos inepta non est. nam cum oportuerit etiam terrena nullo modo expertia divinae communicationis fore, ipsa quoque terra divinam quandam portionem inde suscepit ad capiendos deos sufficientem.

Illud igitur sacrorum sapientia observans, et sic tam in communi quam proprie unicuique deorum competentia susceptacula excogitans, saepe compônit in unum lapides herbas animalia aromata, et alia huiusmodi sacra et perfecta et deiformia, atque deinde ex his omnibus susceptaculum purum et perfectum fabricat.

Neque enim oportet omnem materiam detestari, sed solam a

τὴν ἀλλοτρίαν τῶν θεῶν, τὴν δὲ οἰκείαν πρὸς αὐτοὺς ἐκλέγεσθαι, ὡς συμφωνεῖν δυναμένην εἴς τε θεῶν οἰκοδομήσεις καὶ καθιδρύσεις ἀγαλμάτων καὶ δὴ καὶ εἰς τὰς τῶν θυσιῶν ἱερουργίας. οὐδὲ γὰρ ἂν ἄλλως τοῖς ἐπὶ γῆς τόποις ἢ τοῖς δεῦρο κατοικοῦσιν ἀνθρώποις μετουσία ἂν γένοιτο τῆς τῶν κρειττόνων λήψεως, εἰ μή τις τοιαύτη καταβολὴ πρώτη προενιδρυθείη· πείθεσθαι δὲ χρὴ τοῖς ἀπορρήτοις λόγοις, ὡς καὶ διὰ τῶν μακαρίων θεαμάτων ὕλη τις ἐκ θεῶν παραδίδοται· αὕτη δήπου συμφυής ἐστιν αὐτοῖς ἐκείνοις τοῖς διδοῦσιν· οὐκοῦν καὶ ἡ τῆς τοιαύτης ὕλης θυσία ἀνεγείρει τοὺς θεοὺς ἐπὶ τὴν ἔμφασιν, καὶ προσκαλεῖται εὐθέως πρὸς κατάληψιν, χωρεῖ τε αὐτοὺς παραγιγνομένους καὶ τελείως ἐπιδείκνυσι;

24 *Τὰ δ' αὐτὰ ἄν τις καταμάθοι καὶ ἀπὸ τῆς κατὰ τόπους διανομῆς καὶ ἀπὸ τῆς μεριστῆς ἐφ' ἑκάστων τῶν ὄντων ἐπιστασίας, ὅση κατὰ διαφόρους τάξεις ἢ μείζονας ἢ ἐλάττονας τὰς λήξεις ταύτας κατενείματο· δῆλον γὰρ δήπου τοῦθ', ὅτι τοῖς ἐπιβεβηκόσι τινῶν τόπων θεοῖς*

9. *δήπου*] *δέπω* CD. 11. *ἔκφασιν* ACD. 12. *εὐθέος* D. ‖ *κατάλειψιν* B. 13. *παραγιγνομένους*] sic AD, *παραγινομένους* O. 15. *ἑκάστων*] sic AC, *ἑκάστῳ* O.

diis alienam, illam autem eligere oportet quae iis propria est, utpote quae convenire possit tum ad deorum aedificia et statuas ponendas tum etiam ad sacrificia peragenda. neque enim aliter terrestribus locis et hominibus inibi habitantibus portio ulla a melioribus adquiri possit, nisi tale quodpiam prius iactum fuerit fundamentum. porro fidem adhibere oportet arcanis sermonibus, qui testantur ex diis per beatas visiones materiam quandam tradi. haec igitur illis ipsis tradentibus est cognata. nonne igitur huiusmodi materiae sacrificium deos ad se ostendendos excitat, et ad comprehensionem continuo provocat; capitque eos advenientes et perfecte ostendit?

24 Eadem aliquis perdiscere potest etiam ab apta distributione deorum per locos facta, atque ab ipsa per res singulas divisa praefectura quae per varios maiores minoresve ordines eiusmodi sortes nacta est. est quippe hoc manifestum, diis quorundam locorum

τὰ ἀπ' αὐτῶν γεννώμενα προσάγεσθαι εἰς θυσίαν ἐστὶν οἰκειότατα, καὶ τοῖς διοικοῦσι τὰ τῶν διοικουμένων· ἀεὶ μὲν γὰρ τοῖς ποιοῦσι τὰ ἑαυτῶν ἔργα διαφερόντως ἐστὶ κεχαρισμένα, τοῖς δὲ πρώτως τινὰ προσάγουσι καὶ πρώτως ἐστὶ τὰ τοιαῦτα προσφιλῆ· εἴτε οὖν ζῷά τινα εἴτε φυτὰ εἴτε ἄλλα τῶν ἐπὶ γῆς διακυβερνᾶται ἀπὸ τῶν κρειττόνων, ὁμοῦ τῆς ἐπιστασίας αὐτῶν μετείληχε, καὶ τὴν κοινωνίαν ἡμῖν προξενεῖ πρὸς αὐτοὺς ἀδιαίρετον. ἔνια μὲν οὖν τῶν τοιούτων σωζόμενα αὐτὰ καὶ τηρούμενα τῶν συνεχόντων συναύξει τὴν πρὸς θεοὺς οἰκείωσιν, ὅσα τῷ μένειν ἀκέραια τὴν δύναμιν τῆς κοινωνίας θεῶν καὶ ἀνθρώπων διασώζει. τοιαῦτα δ' ἐστὶν ἔνια τῶν ἐν Αἰγύπτῳ ζώων, καὶ οἷος ὁ ἱερὸς ἄνθρωπος πανταχοῦ ὑπάρχει. ἔνια δὲ καθαγιαζόμενα λαμπροτέραν ποιεῖ τὴν οἰκειότητα, ὅσα τὴν ἀνάλυσιν ἐπὶ τὴν τῶν πρώτων στοιχείων ἀρχὴν συγγενῆ ποιεῖται τοῖς τῶν κρειττόνων αἰτίοις καὶ ἱεροπρεπεστέραν· τελειουμένης γὰρ ἀεὶ ταύτης τελειότερα καὶ τὰ ἀπ' αὐτῆς ἐνδιδόμενα ἀγαθὰ καθήκει.

1. ἐστὶν om. AC. 10. συνάξει D. 13. οἷος] οἷς D.

rectoribus sacrificium ex iisdem rebus quae ibidem nascuntur fore admodum consentaneum, et gubernantibus ea quae ex gubernatis sunt. semper enim opifici suum opus potissimum gratum est, et qui aliqua primo procreant, talia rursus habent inprimis accepta. sive igitur animalia sint sive plantae sive alia quaelibet terrena quae sub meliorum gubernatione posita sunt, ut ipsa eorum participant praefecturam, ita nobis communionem cum superis conciliant individuam. nonnulla ergo ex his, quatenus conservantur atque custodiuntur, augent tenentium ad deos familiarem accommodationem, quotcunque nempe ex eo quod conserventur integra, vim communionis inter deos et homines conservant. talia sunt quaenam apud Aegyptios animalia, et ubique sacer homo. quaedam vero mactata et combusta familiaritatem efficiunt clariorem, quaecunque videlicet resolutionem in primorum elementorum principium cognationem efficiunt causis superioribus atque ritui sacrorum convenientiorem. ubique enim quo magis proprietas familiaritasque perficitur, eo perfectiora bona ad nos inde descendunt.

25 *Εἰ μὲν οὖν ἀνθρώπινα ἔθη ταῦτα ἦν μόνον, καὶ διὰ τῶν ἡμετέρων νομίμων ἐπεκυροῦτο, εἶχεν ἄν τις λέγειν, ἡμετέρων ἐπινοιῶν εὑρέσεις εἶναι τὰς τῶν θεῶν ἁγιστείας· νῦν δὲ θεός ἐστιν αὐτῶν ἡγεμὼν ὁ ἐπὶ θυσιῶν οὕτως ἐπικαλούμενος, καὶ θεοὶ καὶ ἄγγελοι περὶ αὐτὸν παμπληθεῖς ὑπάρχουσι· καθ' ἕκαστόν τε ἔθνος τῶν ἐπὶ γῆς διακεκλήρωταί τις ὑπ' αὐτοῦ κοινὸς προστάτης, καὶ καθ' ἕκαστον ἱερὸν ὁ ἴδιος· καὶ τῶν μὲν πρὸς θεοὺς θυσιῶν ἔφορός ἐστι θεός, τῶν δὲ πρὸς ἀγγέλους ἄγγελος, τῶν δὲ πρὸς δαίμονας δαίμων, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως ὃ κατὰ τὸ οἰκεῖον γένος συγγενῶς συγκεκλήρωται ἐφ' ἑκάστων. ὁπότε δὴ οὖν μετὰ θεῶν ἐφόρων καὶ ἀποπληρωτῶν τῆς θυηπολίας τὰς θυσίας προσάγομεν τοῖς θεοῖς, ὁμοῦ μὲν σέβειν δεῖ τὸν θεσμὸν τῆς ἐν ταῖς θυσίαις θείας ἁγιστείας ὁσίας· ὁμοῦ δὲ θαρρεῖν ἐφ' ἑαυτοῖς προσήκει (ὡς ὑπὸ θεοῖς ἄρχουσιν ἱερουργοῦμεν), ὁμοῦ δὲ καὶ τὴν ἀξίαν εὐλάβειαν ἔχειν, μή πῃ τῶν θεῶν ἀναξιόν τι δω-*

4. ἡγεμῶν O. 5. οὕτως ἐπικαλούμενος] sic AC, οὕτω καλούμενος O. 5. 6. αὐτῶν C. 8. καθ'] μεθ' A. 9. ἀγγέλους] ἀλλήλους C. 13. προσαγάγωμεν D. 15. ἁγιστείας om. ABCD. || „videtur ὁσίας hic redundare" Gale not., sive θείας natum ex θυσίαις. || ἑαυτῆς ACD Reg. 17. ἔχει BD.

25 Jam si haec ex moribus hominum tantum fierent, et humanis tantum niterentur constitutionibus, poterat merito quis dicere, deorum religiones nostra esse inventa; nunc autem a deo proficiscuntur qui per ista sacra invocatur. diique et angeli quamplurimi adsunt ei, sub quo per cunctas in terra gentes numen aliquod sortitum est praefecturam communemque provinciam; proprium quoque inde tributum est templo unicuique numen: item sacrorum ad deos factorum inspector est deus, ad angelos angelus, ad daemonas daemon; et in aliis sacris simili modo secundum proprium genus [praefectus] cognatam sortitus est praefecturam in singulis. quando igitur sub numinibus inspectantibus auctoribusque sacrorum sacrificia offeramus diis, omnino oportet caute observare legem et ordinem divinae sanctimoniae in sacrificiis, simul bono esse animo nos oportet (quoniam diis auctoribus operamur), interea etiam dignam adhibere curam, ne quod diis indignum munus aut alienum offeramus. denique id summatim admonemus, ut singula quae in nobis et circa nos sunt cir-

ρον προσαγάγωμεν ἢ ἀλλότριον· ἐπὶ τῷ τέλει δὲ κἀκεῖνο παραγγέλλομεν, στοχάζεσθαι πάντων τελέως τῶν περὶ ἡμᾶς, τῶν ἐν τῷ παντί, τῶν κατὰ γένη διωρισμένων θεῶν ἀγγέλων δαιμόνων, καὶ πρὸς πάντας ταὐτῇ ὁμοίως προσφιλῆ τὴν θυσίαν δωρεῖσθαι· μόνως γὰρ ἂν οὕτως ἐπάξιος τῶν ἐφεστηκότων αὐτῆς θεῶν ἡ ἁγιστεία γένοιτο.

Ἐπεὶ δὲ μέρος τῶν θυσιῶν οὐ τὸ σμικρότατόν ἐστι 26
τὸ τῶν εὐχῶν, συμπληροῖ τε αὐτὰς ἐν τοῖς μάλιστα, καὶ διὰ τούτων κρατύνεται αὐτῶν καὶ ἐπιτελεῖται τὸ πᾶν ἔργον, κοινήν τε συντέλειαν ποιεῖται πρὸς τὴν θρησκείαν, καὶ τὴν κοινωνίαν ἀδιάλυτον ἐμπλέκει τὴν ἱερατικὴν πρὸς τοὺς θεούς, οὐ χεῖρον καὶ περὶ αὐτῆς ὀλίγα διελθεῖν· καὶ γὰρ αὐτὸ καθ' αὑτὸ τοῦτο ἄξιόν ἐστι μαθήσεως, καὶ τὴν περὶ θεῶν ἐπιστήμην τελειοτέραν ἀπεργάζεται. φημὶ δὴ οὖν ὡς τὸ μὲν πρῶτον τῆς εὐχῆς εἶδός ἐστι συναγωγόν, συναφῆς τε τῆς πρὸς τὸ θεῖον καὶ γνωρίσεως ἐξηγούμενον· τὸ δ' ἐπὶ τούτῳ κοινωνίας ὁμονοητικῆς συνδετι-

1. προσάγωμεν D. 2. παραγγέλομεν A. ‖ πάντως O. 4. ταὐτῇ scripsi, ταύτῃ A, ταῦτα O. 6. αὐτῇ O. 7. οὐ τὸ] οὕτω D. 8. ἐν τοῖς bis ponit D. 10. ποιεῖται] ποιεῖ τε D. 12. ταύτης CD. ‖ ὀλίγον AC. 13. καθ' αὑτὸ] κατὰ τὸ αὐτὸ O. 17. τούτων ACD.

cumspiciamus diligenter, et quae in mundo, item deos angelos daemones gentibus distributos, et hac unicuique ratione gratum sacrificium similiter offeramus. hoc enim pacto duntaxat digna praesidente numine sanctimonia servari possit.

Quandoquidem vero preces magna pars sint sacrificiorum, et 26
in primis ea perficiant, roburque et consummationem inde habeat totum eorum opus, communem etiam utilitatem toti religioni praestent, et societatem indissolubilem deos inter et sacerdotes conficiant, non abs re erit si pauca de precibus edisseram. nam cum ea res digna per se sit quae cognoscatur, tum etiam facit hoc in loco ad perfectiorem divinarum rerum scientiam. dico igitur quod prima precum species congregat, contactumque et notitiam nobis circa divina praestat; secunda est consensus communionisque vinculum, et dona nobis invitat a diis demissa etiam antequam loqua-

κόν, δόσεις τε προσκαλούμενον τὰς ἐκ θεῶν καταπεμπομένας πρὸ τοῦ λόγου, καὶ πρὸ τοῦ νοῆσαι τὰ ὅλα ἔργα ἐπιτελούσας. τὸ δὲ τελειότατον αὐτῆς ἡ ἄρρητος ἕνωσις ἐπισφραγίζεται, τὸ πᾶν κῦρος ἐνιδρύουσα τοῖς θεοῖς, καὶ τελέως ἐν αὐτοῖς κεῖσθαι τὴν ψυχὴν ἡμῶν παρέχουσα.

Ἐν τρισὶ δὲ τούτοις ὅροις, ἐν οἷς τὰ θεῖα πάντα μετρεῖται, τὴν πρὸς θεοὺς ἡμῶν φιλίαν συναρμόζουσα καὶ τὸ ἀπὸ τῶν θεῶν ἱερατικὸν ὄφελος τριπλοῦν ἐνδίδωσι, τὸ μὲν εἰς ἐπίλαμψιν τεῖνον, τὸ δὲ εἰς κοινὴν ἀπεργασίαν, τὸ δὲ εἰς τὴν τελείαν ἀποπλήρωσιν ἀπὸ τοῦ πυρός· καὶ ποτὲ μὲν προηγεῖται τῶν θυσιῶν, ποτὲ δ' αὖ μεταξὺ διαλαμβάνει τὴν ἱερουργίαν, ἄλλοτε δ' αὖ τὸ τέλος τῶν θυσιῶν ἀποπληροῖ.

Ἔργον δὲ οὐδὲν ἱερατικὸν ἄνευ τῶν ἐν ταῖς εὐχαῖς ἱκετειῶν γίνεται. ἡ δ' ἐν αὐταῖς ἐγχρονίζουσα διατριβὴ τρέφει μὲν τὸν ἡμέτερον νοῦν, τὴν δὲ τῆς ψυχῆς ὑποδοχὴν τῶν θεῶν ποιεῖ λίαν εὐρυτέραν, ἀνοίγει δὲ τοῖς

1. *προκαλούμενον* AC. 2. *ἔργα ὅλα* A. 3. *τελεώτατον* ACD. 4. *ἐπισφαγίζεται* B. 6. *θεῖα πάντα*] sic AC, *πάντα θεία* O. 7. *συναρμόσασα* AD, *συμαρμόσουσα* C. 8. *ὄφελος τριπλοῦν ἐνδίδωσι*] fructus treis, tanquam tria mala aurea divinitus nobis porrigit. Scutellius. 9. *ἐπέλαμψιν* A. 12. *αὖ τὸ*] sic CD et Gale not., *αὐτὸ* O. 14. *δὲ*] sic AC, *τε* O. 15. *εἰκετειῶν* D.

mur, et quae perficiant omne nostrum opus etiam cum nondum intelligamus. sed tertiam et perfectissimam earum speciem ineffabilis illa unitas consignat, quae totum earum robur collocat in diis, quaeque adeo in iis perfecte animam nostram conquiescere facit.

Jam vero in tribus his terminis, in quibus divina omnia continentur, amicitiam nobis ad deos preces conficiunt, sacramque a diis utilitatem triplicem adferunt. una ad illuminationem pertinet, altera ad communem operum executionem, tertia ad perfectam ex igne divino plenitudinem. item preces et oratio aliquando sacrificia praecedit, aliquando media intervenit, aliquando finem complet sacrificandi.

Opus vero nullum in sacris absque orationis intercessione unquam efficitur. oratio denique diutine frequentata nutrit intellectum nostrum, animam ad divina suscipienda admodum reddit capaciorem,

ἀνθρώποις τὰ τῶν θεῶν, συνήθειαν δὲ παρέχει πρὸς τὰς τοῦ φωτὸς μαρμαρυγάς, κατὰ βραχὺ δὲ τελειοῖ τὰ ἐν ἡμῖν πρὸς τὰς τῶν θεῶν συναφάς, ἕως ἂν ἐπὶ τὸ ἀκρότατον ἡμᾶς ἐπαναγάγῃ, καὶ τὰ μὲν ἡμέτερα τῆς διανοίας ἤθη ἠρέμα ἀνέλκει, τὰ δὲ τῶν θεῶν ἡμῖν ἐνδίδωσι, πειθὼ δὲ καὶ κοινωνίαν καὶ φιλίαν ἀδιάλυτον ἐγείρει, τόν τε θεῖον ἔρωτα συναύξει, καὶ τὸ θεῖον τῆς ψυχῆς ἀνάπτει, ἀποκαθαίρει τε πᾶν τὸ ἐναντίον τῆς ψυχῆς, καὶ ἀπορρίπτει τοῦ αἰθερώδους καὶ αὐγοειδοῦς πνεύματος περὶ αὐτὴν ὅσον ἐστὶ γενεσιουργόν, ἐλπίδα τε ἀγαθὴν καὶ τὴν περὶ τὸ φῶς πίστιν τελειοῖ, καὶ τὸ ὅλον εἰπεῖν, ὁμιλητὰς τῶν θεῶν, ἵνα οὕτως εἴπωμεν, τοὺς χρωμένους αὐταῖς ἀπεργάζεται.

Εἰ δὴ τοῦτό ἐστιν ὅπερ εὐχὴν ἄν τις εἴποι, δρᾷ τε ἐν ἡμῖν τοσαῦτα ἀγαθὰ τὸ τοιοῦτον, ἔχει τε πρὸς τὰς θυσίας ἣν εἰρήκαμεν κοινωνίαν, πῶς οὐ καὶ διὰ τούτου καταφανὲς γίνεται τὸ τῶν θυσιῶν τέλος, ὡς συναφῆς καὶ αὐτὸ δημιουργικῆς μετείληχεν, ἐπειδὴ δι' ἔργων οἰ-

5. *ἐκδίδωσι* **ACD. 6.** *ἀδιάλυπον* **AB,** *ἴσως ἀδιάλειπτον ἢ ἀδιάλυτον* **margo B. 11.** *πίστην* **D. ||** *τελεοῖ* **O. 12.** *ἵνα*] **sic AC,** *ἵν'* **O. 18.** *καὶ αὐτὸ*] *ἑαυτὸ* **AC.**

divina hominibus patefacit, ad luminis divini splendores assuefacit, paulatim nostras infirmitates ad deos contingendos perficit, quousque ad summum nos perducat, mores quidem nostrae animae leniter sursum trahit, divinos nobis vicissim inserit, persuasionem quoque et communionem et amicitiam procreat indivulsam, amorem divinum in anima fovet, et quicquid est divini in anima accendit, quicquid animae adversatur expurgat, eiicitque quicquid est ad genituram proclive in eius spiritu aethereo splendidoque, spem bonam et fidem perficit circa lumen, et ut verbo dicam, deorum praestat collocutiones familiares qui eis frequenter utuntur.

Si igitur quam dixit quis oratio tale quid sit, et talia in nobis bona operetur, habeatque ad sacrificia eam quam ostendimus connexionem, non potest non vel ex hoc ipso satis constare quod sacrificiorum finis is sit, ut indipiscatur cum deo omnium architecto

κειοῦται τοῖς θεοῖς; τότε ἀγαθὸν αὐτῆς ὡς τοσοῦτόν ἐστιν, ὅσον ἀπὸ τῶν δημιουργικῶν αἰτίων καταπέμπεται εἰς ἀνθρώπους. καὶ μὴν ἀπ' ἐκείνου γε αὖθις τὸ τῶν εὐχῶν ἀναγωγὸν καὶ τελεσιουργὸν καὶ ἀποπληρωτικὸν ἔκδηλον γίνεται, πῶς μὲν δραστήριον πῶς δὲ ἡνωμένον ἐπιτελεῖται, πῶς δὲ ἔχει τὸν ἐνδιδόμενον ἀπὸ τῶν θεῶν κοινὸν σύνδεσμον· τὸ τρίτον τοίνυν, ὡς ἄμφω δι' ἀλλήλων βεβαιοῦται, καὶ δύναμιν ἐντίθησιν εἰς ἄλληλα ἁγιστείας τελείαν ἱερατικήν, ῥᾳδίως ἄν τις ἀπὸ τῶν εἰρημένων κατανοήσειε.

Διόπερ δὴ δι' ὅλων φαίνεται τῆς ἱερατικῆς ἀναγωγῆς ἡ πᾶσα σύμπνοια καὶ συνέργεια πρὸς ἑαυτήν, ζώου παντὸς μᾶλλον συμφυῆ τὰ μόρια ἑαυτῆς παντάπασι κατὰ μίαν συνέχειαν συνάπτουσα, ἧς οὐδέποτε δεῖ καταμελεῖν, οὐδὲ τὰ ἡμίση μέρη αὐτῆς ἐγκρίνοντας τὰ ἄλλα ἀποδοκιμάζειν· ὁμοίως δὲ πᾶσιν ἐγγυμνάζεσθαι καὶ δι' ὅλων αὐτῶν τελειοῦσθαι χρὴ τοὺς ἐθέλοντας εἰλικρινῶς τοῖς θεοῖς συνάπτεσθαι.

3. ἀπ'] ἐπ' D. 3. 4. ἀναγαγὸν D. 4. ἔκδηλον] sic Fesch. Reg., εὔδηλον ACD, εὔλογον O. 8. ἐντίθησιν] ἔντισιν D. 14. ἡμισεμέρη B. 15. πᾶσαν O. 16. εἰλικρινῶς D.

coniunctionem, quandoquidem per opera diis accommodatur. itaque et bonum eius tantum est, quantum a causis opificibus ad genus humanum mittitur. atque inde rursus apparet virtus orationis reductiva perfectiva impletiva; etiam qua ratione tam efficax est et unitiva evadat, et quomodo a diis inditum habeat commune vinculum. deinde et tertium illud facile quis possit intelligere, quomodo nempe oratio et sacrificium mutuo se corroborent, sibique communicent religionis vim sacram et perfectam.

Quandoquidem igitur sacerdotalis disciplinae ea sit consensio sibique consonantia, ut magis quovis animali sua sibi invicem membra per unam connexionem omnino concinnata habeat, quam consensionem non oportet contemnere, nec eius aliquas partes admittere alias reprobare; sed totas simul exercere et per omnia perfici decet eos qui cupiunt diis sincere coniungi.

Ταῦτα μὲν οὖν οὐκ ἂν ἄλλως ἔχοι· τὸ δὲ λοιπὸν ἐμοὶ καιρὸς ἐπὶ τὴν ἑξῆς ἀπορίαν ὧν σὺ προτείνεις μεταβαίνειν. τί γάρ δήποτε, ὡς ὁ σὸς λόγος, νεκροῦ μὲν ἀναφῆ δεῖ εἶναι τὸν ἐπόπτην, διὰ δὲ νεκρῶν ζώων τὰ πολλὰ αἱ θεαγωγίαι ἐπιτελοῦνται; πάλιν οὖν καὶ ταῦτα διαλύοντες τὴν δοκοῦσαν εἶναι μάχην ἐπισκεψώμεθα· μὴ οὐδαμῶς ᾖ τις ἐν αὐτῇ ἀντίθεσις, φαίνεται δὲ μόνον ἐναντίως ἔχειν. εἰ μὲν γὰρ τῶν αὐτῶν νεκρῶν σωμάτων καὶ ἀπείχοντο τῆς ἀφῆς καὶ ἥπτοντο, ἦν ἂν τοῦτο πρὸς ἑαυτὸ ὑπεναντίον, εἰ δὲ ἄλλων μὲν ἀπέχεσθαι παραγγέλλουσι τῶν ἀνιερῶν, ἄλλων δὲ ἅπτεσθαι ὅσα καθιεροῦνται, οὐδεμίαν τοῦτο ἔχει ἐναντίωσιν· ἔτι τοίνυν τῶν μὲν ἀνθρωπείων σωμάτων, ἐπειδὰν ἀπολίπῃ αὐτὰ ἡ ψυχή, οὐκ ἔξεστι θιγγάνειν. τῆς γὰρ θείας ζωῆς ἴχνος τι ἢ εἴδωλον ἢ ἔμφασις ἐναποσβέννυται ἐν τῷ σώματι κατὰ τὸν θάνατον, τῶν δὲ ἄλλων ζώων οὐκέτι ἀνόσιον ἅπτεσθαι τεθνηκότων, ἐπειδὴ οὐδὲ κεκοινωνήκασι τῆς θειοτέρας 6, 1

4. ἀναφῆ] sic A, ἀληθῆ BCD, ἀθιγῆ O, cf. infra v. 9. || δεῖν ACD. || ἐπόπτειν D. 6. ἐπισκεψώμεθα D. 9. ἀφῆς B. 11. ἅπτεται O. 12. ἔχει τοῦτο A. 13. ἡ om. AC. 14. ἔξεστι] ὄψιν ACD, ὄψιν B Reg. || ὄψιν θιγγάνει margo B. || τι ἢ] sic AC, τι O. 15. ἔμβασις BCD. 17. ἐπειδὴ] ἐπεὶ ACD.

Haec igitur alio modo se habere non possunt. restat iam et tempus monet ut ad sequentem a te propositam dubitationem transeam. quare enim, ut infis tu, oportet sacrorum inspectorem cadaver non tangere, cum interim in sacris operationibus per mactata animalia pleraque peragantur? rursus igitur, ut haec diluamus, consideremus hanc apparentem pugnam. est ergo nulla vera oppositio, videntur tantum haec opponi. nam si non tangere et tangere eadem corpora iuberentur sacerdotes, esset quidem haec contradictio, sed cum iubeant leges sacrorum ab aliis et quidem non sacratis abstinere, alia vero ut quae consecrata sunt attingere permittant, nulla est hic contradictio. praeterea corpora humana, postquam ea deseruerit vita, non licet tangere: nam in nostro corpore extinguitur per mortem divinae vitae strictura representatio apparitio, caeterorum vero animalium corpora, postquam mortua sint, attingere non est nefas, quoniam vitam divinam nequaquam participabant. acce- 1

ζωῆς. ἔστι τοίνυν πρὸς ἄλλους μὲν τὸ ἀναφὲς οἰκεῖον, οἷον τοὺς ὕλης καθαροὺς θεούς, πρὸς ἄλλους δὲ τὸ κλητικὸν διὰ τῶν ζώων ἀποδέδοται τοὺς ἐπιβεβηκότας τῶν ζώων καὶ προσεχῶς αὐτοῖς συνηρτημένους· οὐδὲ κατὰ τοῦτο οὖν συμβαίνει τις ἐναντίωσις.

2 Καὶ ἄλλως δ' ἄν τις τοῦτο διαλύσειεν· ἀνθρώποις μὲν γὰρ ἐν ὕλῃ κατεχομένοις τὰ ἐστερημένα τῆς ζωῆς σώματα φέρει τινὰ κηλῖδα· διότι τῷ ζῶντι τὸ μὴ ζῶν, ὥσπερ τῷ καθαρῷ τὸ ῥυπαρὸν καὶ τῷ ἐν ἕξει τὸ ἐν στερήσει, μολυσμόν τινα ἐντίθησιν, καὶ διότι τῷ μὲν δύναμιν ἔχοντι τοῦ ἀποθνήσκειν ἐμποιεῖ τινὰ μολυσμὸν διὰ τὴν φυσικὴν τὸ χεῖρον πρὸς αὐτὸ ἐπιτηδειότητα. δαίμονι δὲ τὸ σῶμα ἀσωμάτῳ ὄντι παντελῶς καὶ μὴ παραδεχομένῳ φθορὰν μηδαμόθεν, οὐδένα ἐμποιεῖ μολυσμόν. ἀλλ' ὑπερέχειν ἀνάγκη τοῦ διεφθαρμένου σώματος καὶ μηδεμίαν ἀπ' αὐτοῦ παραδέχεσθαί τινα εἰς ἑαυτὸν φθορᾶς ἔμφασιν.

1. ἔστι] ἔτι A. 5. τοῦτ' οὖν A. 8. διότι τῷ ζῶντι τὸ μὴ ζῶν] sic ACD; διότι τῷ μὴ ζῶντι ζῶον Reg., διότι τὸ μὴ ζῶον ζῶντι O. 10. μολισμὸν D. || μὲν] sic A, μὴ O.

dit et illud: is cultus nonnullis diis est maxime accommodatus, ne quid morticini tangamus, iis scilicet qui ab omni materia puri sunt, aliis interim qui animalibus praesident et ad ea proxime appropriantur, ex lege sacrorum invocatio per animalia sancitur: quare nulla hic contingit repugnantia.

2 Sed et alio modo possit quis hoc solvere. corpora vita cassa contaminant homines in materia detentos, quoniam non vivens viventi maculam quandam inurit, quemadmodum puro impurum et habitui eius privatio nocet; et quoniam quod iam mortuum est, illud quasi inficit per naturalem eo tendentiam, quod habet moriendi in se potestatem. at vero daemoni incorporeo prorsus, omnem aliunde corruptionem respuenti cadaver nihil maculae potest imprimere, nam longe superet, necesse est, cadaver corruptibile; nullamque ab eo potest vitii haurire suspicionem.

Πρὸς μὲν οὖν τὴν ἐναντίωσιν τῆς ἀπορίας τοσαῦτα
λέγω· αὐτὸ δὲ καθ' ἑαυτὸ τὸ διὰ τῶν ἱερῶν ζώων, ὥσπερ 3
τῶν ἱεράκων, ὅπως ἐπιτελεῖται μαντικὸν διερμηνεύοντες, θεοὺς μὲν οὐδέποτέ φαμεν παραγίγνεσθαι τῇ χρήσει τῶν κηδευθέντων οὕτω σωμάτων. οὔτε γὰρ μεριστῶς οὔτε προσεχῶς οὔτε ἐνύλως οὔτε μετά τινος σχέσεως προΐστανται τῶν καθ' ἕκαστα ζώων· δαίμοσι δὲ καὶ τούτοις σφόδρα διῃρημένοις καὶ διαλαχοῦσιν ἄλλοις ἄλλα ζῶα, προσεχῶς τε ἐπιβεβηκόσι τῇ τοιαύτῃ προστασίᾳ, καὶ οὐ παντελῶς αὐτάρκη καὶ ἄυλον τὴν οἰκείαν ἀρχὴν διακληρωσαμένοις ἡ τοιαύτη διδόσθω τῶν μαντικῶν ὀργάνων ἐπαφή· ἢ εἰ οὕτω τις βούλοιτο τίθεσθαι, ἕδρα αὐτοῖς ἀπονενεμήσθω τοιαύτη, δι' ἧς ἀνθρώποις ὁμιλεῖν καὶ χρῆσθαι πεφύκασι· σωμάτων μὲν οὖν καὶ ταύτην εἶναι καθαρὰν δεῖ νομίζειν· οὐδεμία γὰρ γίνεται κοινωνία τῷ καθαρῷ πρὸς τὸ ἐναντίον, διὰ δὲ τῆς ψυχῆς τῶν ζώων συνάπτεσθαι αὐτὴν ἀνθρώποις ἔχει τινὰ λόγον. αὐτὴ γὰρ ἔχει τινὰ οἰκειότητα πρὸς ἀνθρώπους μὲν διὰ τὸ ὁμογενὲς

4. *οὐδέποτε* D. || *παραγίγνεσθαι*] sic BD, *παραγίνεσθαι* O. 11. *δεδόσθω* ACD. 17. *αὐτὴν*] *αὐτοὺς* A. || *αὕτη* A.

Haec dicenda habui de hac tuae dubitationis difficultate. iam 3
singillatim illud interpretando exequamur, quomodo per sacra animalia, puta astures, dentur vaticinia: deos igitur ipsos ad haec sic procurata corpora accedere nunquam dicimus. dii enim neque particulariter nec proxime neque materialiter neque aliqua cum habitudine animalibus particularibus praesident, sed omnis coniunctio cum vaticinii organis oportet tribuatur prorsus daemonibus iis qui valde divisi sunt, singulique singulis animalium speciebus praeficiuntur et huic suae provinciae proxime invigilant, quique ordinem suum sortiti sunt non usquequaque independentem et a materia liberum. vel si quis sic velit, iis daemonibus sedem talem attribuat, per quam inter homines obversari nobisque uti possint. sedem vero hanc oportet puram esse a corporibus existimare, nullum enim esse potest puri cum impuro contubernium, quare probabile est mediantibus mortuorum animalium animabus connecti nobiscum sedem illam. anima quippe ista quandam ad nos habet cognationem propter vitae consortium, ad daemonas autem, quoniam a corpore

τῆς ζωῆς, πρὸς δαίμονας δέ, διότι σωμάτων ἀπολυθεῖσα χωριστή πως ὑπάρχει· μέση δὲ οὖσα ἀμφοτέρων ὑπηρετεῖ μὲν τῷ ἐφεστηκότι, ἐξαγγέλλει δὲ τοῖς ἔτι κατεχομένοις ἐν σώματι ἅπερ ὁ ἐπιβεβηκὼς προστάττει, κοινὸν δὲ σύνδεσμον ἀμφοτέροις τούτοις πρὸς ἀλλήλους δίδωσι.

4 *Δεῖ δὲ ἡγεῖσθαι, ὡς καὶ ἡ χρωμένη ψυχὴ τοῖς τοιούτοις μαντείοις οὐκ ἐπήκοος μόνον γίνεται τῆς μαντείας, ἀλλὰ καὶ συμβάλλεταί τινα μοῖραν ἀφ' ἑαυτῆς οὐκ ὀλίγην εἰς τὴν ἀπεργασίαν αὐτῆς τὴν ἐπὶ τῶν ἔργων· καὶ γὰρ συντρέπεται καὶ συνεργεῖ καὶ συμπρογιγνώσκει διά τινος συμπαθοῦς ἀνάγκης· ἐστὶ μὲν οὖν ὁ τρόπος τῆς μαντείας οὗτος τοιοῦτος πάντῃ διεστηκὼς τοῦ θείου καὶ ἀληθινοῦ τρόπου, περὶ σμικρῶν τε καὶ ἐφημέρων πραγμάτων δυνάμενος προλέγειν, περὶ τῶν ἐν τῇ διῃρημένῃ φύσει κειμένων, ὅσα ἤδη περὶ τὴν γένεσιν ἐμφέρεται, κινήσεις τε ἀφ' ἑαυτῶν παρέχει τοῖς δυναμένοις αὐτὰς παραδέχεσθαι, καὶ πάθη πολυειδῶς ἐμποιεῖ τοῖς πεφυκόσιν ἐπιτηδείως εἰς τὸ συμπάσχειν· διὰ πάθους δὲ οὐκ ἂν παραγένοιτό ποτε ἡ τελεία πρόγνωσις· αὐτὸ γὰρ μάλιστα*

4. *ἐπιβεβηκῶς* O. 5. *ἐνδίδωσι* ACD. 7. *ἐπίκοος* A. 10. *συμπρογιγνώσκει*] sic A, *συμπρογινώσκει* O. 15. *συμφέρεται* AC. 16. *αὐτὰς*] sic AC Reg., *αὐτὰ* O. 16. 17. *δέχεσθαι* AC Reg.

libera est et quasi separata iam existat; igitur media inter utrumque subministrat daemoni praesidenti, enuntiatque hominibus adhuc in corpore detentis mandata daemonis praefecti, adeoque vinculum mutuum inter hos nectit.

4 Oportet autem considerare, quod anima eiusmodi vaticiniis utens non solum vaticinium audit accipitque, sed etiam non parum ex se ipsa confert ad executionem eius quae ad opera pertinet; haec enim commovetur et cooperatur et simul praevidet per quandam necessariam sympathiam. huiusmodi autem vaticinii modus longissime abest a divino et vero vaticinii modo, potestque de paucis et vulgaribus rebus praedicere, de iis nempe quae in naturis particularibus iacent, versanturque adhuc circa generationem, et motus communicant iis rebus quae suscipere possunt, et passiones multifariam inferunt iis quae naturaliter ad compatiendum sunt exposita. atqui per passionem nunquam potest perfecta praecognitio contingere. quod

τὸ ἄτρεπτόν τε καὶ ἄυλον καὶ πάντῃ καθαρὸν τῷ μέλλοντι ἐπιβάλλειν εἴωθε, τὸ δὲ συμμιγνύμενον πρὸς τὸ ἀλόγιστον καὶ σκοτεινὸν τοῦ σωματοειδοῦς καὶ ὑλικοῦ πληροῦται πολλῆς ἀγνωσίας· ὅθεν οὐδέποτε τὴν τοιαύτην τεχνικὴν κατασκευὴν εἰς τὸ μαντεύεσθαι ἀποδέχεσθαι ἄξιον. οὐδὲ χρῆσθαι αὐτῇ ἐπὶ μεγάλης σπουδῆς δεῖ, οὐδὲ ἄλλῳ χρωμένῳ πιστευτέον ὡς ἔχοντι παρ' ἑαυτῷ σαφὲς καὶ γνώριμόν τι τεκμήριον τῆς ἀληθείας. τοσαῦτα δὴ καὶ περὶ τῆς τοιαύτης μαντείας ἡμῖν εἰρήσθω.

Φέρε δὴ οὖν καὶ περὶ ἄλλου γένους ἀποριῶν ἀπο- 5
κεκρυμμένην ἔχοντος τὴν αἰτίαν ποιησώμεθα λόγον· ὅπερ ἔχει μέν, ὡς καὶ σὺ αὐτὸς λέγεις βιαστικὰς ἀπειλάς, μερίζεται δὲ περὶ τὸ πλῆθος τῶν ἀπειλῶν πολυμερῶς· ἢ γὰρ τὸν οὐρανὸν προσαράξειν ἢ τὰ κρυπτὰ τῆς Ἴσιδος ἐκφανεῖν, ἢ τὸ ἐν ἀβύσσῳ ἀπόρρητον δείξειν ἢ στήσειν

4. πληροῦται] πλη...... B. 10. φέρη D. 10. 11. ἀποκεκρυμμένην D. 14. προσαρράξειν AC. || κρυπτὰ τῆς Ἴσιδος] τὰ ἀπόκρυφα ζωογόνα τῶν λόγων κάλλη τῆς Ἴσιδος infra 6, 7. 15. ἀβύσσῳ] Ἀβύδῳ infra 6, 7; ἀδύτῳ Tayl. ut Porphyr. ap. Theodoretum gr. aff. cur. p. 48 Sylb. p. 134 Gaisf; Osiridis verum sepulcrum Abydi positum fuisse praecipuorum Aegyptiorum erat opinio. Plut. de J. et O. 20. 15—p. 246, 1. στήσειν τὴν βᾶριν] i. e. solis cursum sistere; διότι οὐδέποτε ἵσταται ὁ τοῦ ἡλίου δρόμος. infra 6, 7. sol per duodecim diei et noctis horas baride circumferri putabatur. Champollion lettr. d' Eg. p. 236.

enim est immutabile immateriale et purum, id praecipue solet futurum assequi, quod vero cum bruto et tenebricoso corporeae et materialis naturae commiscetur, id quoque plurima ignorantia oppletur. hanc igitur artificiosam vaticinii machinam neque vaticinii legitimi nomine dignam censemus, neque serio tractandam, neque alteri utenti, tamquam habenti aliquid perspicuum et exploratum veritatis signum, credendum est. et tot dicta sint de vaticinio huiusmodi.

Age vero disseramus iam de alio dubitationum genere, quarum 5
causae obscurae sunt in hoc genere, ut ipse ais, sunt minae illae violentae; et respectu istarum minarum hoc varie dividitur; aliquando enim caelum disrumpere aliquando Isidis occulta divulgare aut arcanum in abysso reconditum propalare aut barin sistere aut Osiridis

τὴν βάριν, ἢ τὰ μέλη τοῦ Ὀσίριδος διασκεδάσειν τῷ Τυφῶνι ἢ ἄλλο τι τοιοῦτον ἀπειλεῖ ποιήσειν. τοῦτο δὴ πᾶν τὸ εἶδος τῶν λόγων οὐχ, ὡς σὺ νομίζεις, πρὸς ἥλιον ἢ σελήνην ἤ τινα τῶν κατ' οὐρανὸν ἐπανατείνονται οἱ ἄνθρωποι (ἔτι γὰρ ἂν συνέβη δεινότερα ἄτοπα ὧν σὺ σχετλιάζεις), ἀλλ' ὅπερ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ἐπί τι γένος δυνάμεων ἐν τῷ κόσμῳ μεριστῶν ἄκριτον ἀλόγιστον, ὃ δέχεται μὲν ἀπ' ἄλλου λόγον καὶ κατακούει, οἰκείᾳ δὲ συνέσει οὔτε χρῆται οὔτε τὸ ἀληθὲς καὶ ψεῦδος ἢ δυνατὸν ἢ ἀδύνατον διακρίνει. τὸ δὲ τοιοῦτο ἀθρόως ἐπανατεινομένων τῶν ἀπειλῶν συγκινεῖται καὶ ἐκπλήττεται, ὡς ἂν οἶμαι πεφυκὸς αὐτό τε ἄγεσθαι ταῖς ἐμφάσεσι, καὶ τὰ ἄλλα ψυχαγωγεῖν διὰ τῆς ἐμπλήκτου καὶ ἀσταθμήτου φαντασίας.

6 Ἔχει δὲ ταῦτα καὶ ἄλλον τοιοῦτον λόγον. ὁ θεουργὸς διὰ τὴν δύναμιν τῶν ἀπορρήτων οὐκέτι ὡς ἄνθρωπος οὐδ' ὡς ἀνθρωπίνῃ ψυχῇ χρώμενος ἐπιτάττει τοῖς κοσμικοῖς, ἀλλ' ὡς ἐν τῇ τῶν θεῶν τάξει προϋπάρχων

1—2. τὰ μέλη — τῷ Τυφῶνι] Typhonem ipsum Osiridis membra disiecisse narrant Plutarchus (de J. et O. 18) et Eusebius (pr. ev. 2, 1) 7. μεριστῶν] sic ACD, μεριστῷ O. 10. διακρίνειν B. ‖ δὲ] δὴ AD. ‖ τοιοῦτο] sic A, τοιοῦτον O. 15. ὁ om. O.

membra Typhoni dispergere aut simile aliquid facere minatur. sed huiusmodi verba non, quod tu arbitraris, adversus solem et lunam aut aliquem alium e caelitibus iaculantur homines (ita enim graviora quam quae tu perhorrescis evenirent absurda), sed ut in prioribus diximus, adversus quoddam in mundo divinorum potestatum genus indiscretum inconsideratum, quod accipit quidem ab alio rationem et obtemperat, per se autem nihil intelligit, nec verum aut falsum possibile aut impossibile discernit. hoc itaque genus comminationibus confertim iactatis commovetur et percellitur, ut quod et ipsum naturaliter dictis vehementioribus agitetur, et alia etiam ducat trahatque per attonitam et instabilem phantasiam.

6 Sed et aliam explicationem haec habent. sacerdos per potestatem symbolorum arcanorum, non iam tamquam homo et humana utens anima, mundanis imperitat potentiis, sed tamquam in ipso deo-

μείζοσι τῆς καθ' ἑαυτὸν οὐσίας ἐπανατάσεσι χρῆται, οὐχ ὡς ποιήσων πάντα ἅπερ δυσχυρίζεται, ἀλλ' ἐν τῇ τοιαύτῃ τῶν λόγων χρήσει διδάσκων ὅσην καὶ ἡλίκην καὶ τίνα ἔχει τὴν δύναμιν διὰ τὴν πρὸς θεοὺς ἕνωσιν, ἣν παρέσχεν αὐτῷ τῶν ἀπορρήτων συμβόλων ἡ γνῶσις. δύναται δέ τις καὶ τοῦτο εἰπεῖν, ὡς τοσαύτην ἔχουσιν οἱ κατὰ μέρη διῃρημένοι δαίμονες, οἱ φυλάττοντες τὰ μέρη τοῦ παντός, ἐπιμέλειαν ἧς εἰλήχασιν ἕκαστοι μερίδος καὶ κηδεμονίαν, ὡς μηδὲ λόγον ἐναντίον ἀνέχεσθαι, τὴν δὲ ἀίδιον διαμονὴν τῶν ἐν τῷ κόσμῳ διαφυλάττειν ἀμετάτρεπτον. ταύτην τοίνυν ἀμετάπτωτον παρειλήφασι, διότι τῶν θεῶν ἡ τάξις ἀκίνητος κατὰ τὰ αὐτὰ διαμένει· ἐν ᾧ τοίνυν ἔχουσι τὸ εἶναι οἵ τε ἀέριοι καὶ οἱ περὶ γῆν δαίμονες, τοῦτο οὐδὲ ἄχρις ἀκοῆς ἀνέχονται ἀπειλούμενον.

Ἢ καὶ οὕτως ἄν τις ἀποδοίη τὸν ἀπολογισμόν· τῶν 7
ἀπορρήτων μυστηρίων οἱ δαίμονες ἐπιτροπεύουσι τὴν φυλακήν, οὕτω δή τοι διαφερόντως, ὡς ἐνταῦθα πρώτως

3. 4. καὶ τίνα] διά τινα CD, καὶ διά τινα A. 5. παρέσχηκεν ACD, παρέσκηκεν B. 9. κηδαιμονίαν B, κηδαιμωνίαν D. || ἀνέχεσθαι] sic ACD Fesch. Reg., μὴ δέχεσθαι O. 13. γῆν] ἣν A. 14. 15. ἀπειλάμενον AC. 18. δή τι ACD.

rum ordine superior existens, et proinde grandioribus quam quae hominem deceant mandatis utitur: neque tamen ac si facturus esset quae tunc fidenter pronuntiat, sed ostendit quantam et qualem et cuiusmodi habeat auctoritatem merito unionis cum diis, quam quidem unionem ei procuravit arcanorum symbolorum cognitio. potest et quis sic respondere: daemones per mundum distributi, quique custodiunt universi partes, tantam suae quippe provinciae curam agunt et solicitudinem, ut nec verbum quidem illius saluti contrarium tolerare valeant, ut possint rerum mundanarum aeternam perseverantiam praestare et immutabilem. hanc igitur perseverantiam immotam credunt, quoniam deorum ordo immotus semper perstat. in quo igitur esse suum hi daemones aërei et terrestres habent, hoc ipsum minitationibus invadi nequidem vel auditu sustinent.

Sed et hoc pacto possit quis haec explicare. ineffabilium ar- 7
canorum custodiam daemones agunt, idque adeo anxie, quoniam in

συνεχομένης τῆς ἐν τῷ παντὶ διακοσμήσεως. διὰ τοῦτο γὰρ μένει μὲν ἐν τάξει τὰ τοῦ παντὸς μόρια, διότι ἡ ἀγαθοποιὸς τοῦ Ὀσίριδος δύναμις ἁγνὴ καὶ ἄχραντος μένει, καὶ οὐ συμμίγνυται πρὸς τὴν ἐναντίαν πλημμέλειαν καὶ ταραχήν, μένει δὲ καὶ ἡ τῶν ὅλων ζωὴ καθαρὰ καὶ ἀδιάφθορος, ἐπειδὴ τὰ ἀπόκρυφα ζωογόνα τῶν λόγων κάλλη τῆς Ἴσιδος οὐ κάτεισιν εἰς τὸ φαινόμενον καὶ ὁρώμενον σῶμα. ἀκίνητα δὲ διατελεῖ πάντα καὶ ἀειγενῆ, διότι οὐδέποτε ἵσταται ὁ τοῦ ἡλίου δρόμος· τέλεια δὲ καὶ ὁλόκληρα διαμένει πάντα, ἐπειδὴ τὰ ἐν Ἀβύδῳ ἀπόρρητα οὐδέποτε ἀποκαλύπτεται· οἷς οὖν ἔχει τὴν σωτηρίαν τὰ ὅλα (λέγω δὲ ἐν τῷ τὰ ἀπόρρητα κεκρυμμένα ἀεὶ διατηρεῖσθαι καὶ ἐν τῷ τὴν ἄφθεγκτον τῶν θεῶν οὐσίαν μηδέποτε τῆς ἐναντίας μεταλαμβάνειν μοίρας), τοῦτο οὐδ᾽ ἄχρι φωνῆς ἀνεκτόν ἐστι τοῖς περιγείοις δαίμοσιν ἐπακούειν ὡς ἄλλως ἔχον ἢ βέβηλον γιγνόμενον, καὶ διὰ

2. *μὲν*] sic AC, om. O. 3. *Ὀσίριδος*] *ὁ γὰρ Ὄσιρις ἀγαθοποιός*. Plut. de J. et O. 42. 7. *φαινόμενον*] *φερόμενον* Tayl. 8. *ἀειγενεῖ* B. 9. *τέλεα* ACD. 10. *Ἀβύδῳ*] *ἀβύσσω* A ut supra 6, 6, *ἀδύτῳ* Gale not. et Tayl. 12. *κεκρυμμένως* A, *κεκρυμμένος* C. 14. *μεταλαμβάνειν*] sic ACD, *καταλαμβάνειν* O.

illis totius mundi ordo praecipue contineatur. hanc enim ob causam mundi partes in ordine permanent, quod benefica Osiridis potestas sincera permanet et incorrupta, neque contrario tumultu et errore permiscetur, permanet insuper omnium vita pura et semper incorrupta, quatenus vivificae formosaeque rationes, quae in Iside reconditae sunt, non descendunt in hoc nostris sensibus familiare corpus. porro permanent omnia immobilia et perpetuae generationis successione aeterna, quatenus nunquam impeditur solis cursus: deinde perfecta et integra permanent omnia, quamdiu quae in Abydo recondita sunt nunquam aperiantur. in quibus igitur salus universi consistit (consistit autem in eo, ut quae arcana sunt semper maneant abscondita, et secretissima deorum essentia nunquam contrariam subeat sortem) haec inquam terreni daemones, nec ad vocem usque et auditum sustinent aliter affici verbisque profanari, et propterea adver-

τοῦτο ἔχει δύναμίν τινα πρὸς αὐτοὺς ὁ τοιοῦτος τρόπος τῶν λόγων· θεοῖς δὲ οὐδεὶς ἀπειλεῖ, οὐδ' ἐστί τις τοιοῦτος τρόπος εὐχῆς πρὸς αὐτοὺς γιγνόμενος. διόπερ παρὰ Χαλδαίοις, παρ' οἷς διακέκριται καθαρὸς ὁ πρὸς μόνους τοὺς θεοὺς λόγος, οὐδαμοῦ ἀπειλὴ λέγεται· Αἰγύπτιοι δὲ συμμιγνύοντες ἅμα μετὰ τῶν θείων συνθημάτων καὶ τοὺς δαιμονίους λόγους, χρῶνται ἔστιν ὅτε καὶ ταῖς ἀπειλαῖς. ἔχεις δὴ καὶ τὴν περὶ τούτων ἀπόκρισιν συντόμως μέν, μετρίως δ' ἐγῷμαι ἀποκεκαθαρμένην.

Τῆς δ' αὐτῆς θεοσόφου Μούσης κἀκεῖνα δεῖται εἰς 7, 1
τὴν διάλυσιν τὰ ἀπορήματα· πρότερον δή σοι βούλομαι τῶν Αἰγυπτίων τὸν τρόπον τῆς θεολογίας διερμηνεῦσαι· οὗτοι γὰρ τὴν φύσιν τοῦ παντὸς καὶ τὴν δημιουργίαν

1. δύναμιν] sic AC, om. O. 4. μόνος C. 5. ἀπειλεῖν A, ἀπειλεῖ C. 6. συμμιγνύντες O. ‖ μετὰ] κατὰ O. 9. δ' ἐγ' ὦμαι (in marg. ead. man. δέ γ' ὦμαι) A, δέγ' ὦμαι D. 11. δή] δέ A. 13. οὗτος B.

sus daemonas hos istiusmodi sermonis minitantis usus potestatem aliquam obtinet. diis vero nemo interminatur, nec apud illos eiusmodi obsecrationis locus ullus est. quapropter Chaldaei, apud quos distinctus purusque est deorum solorum cultus, nunquam minis utuntur; Aegyptii vero, qui cum symbolis deorum permiscent etiam ea quae ad daemonas pertinent, ad minas eiusmodi aliquando deveniunt. atque ita responsionem tibi de his breviter quidem, quantum autem mihi videtur mediocriter claram dedi.

Dubitationum quae iam sequuntur solutiones, eadem opus ha- 1
bent divina Musa. volo autem tibi prius interpretari Aegyptiorum in re theologica morem. ii igitur ipsam universi naturam deorumque operationem imitantes, mysticarum quoque latentium abscon-

τῶν θεῶν μιμούμενοι καὶ αὐτοὶ τῶν μυστικῶν καὶ ἀποκεκρυμμένων καὶ ἀφανῶν νοήσεων εἰκόνας τινὰς διὰ συμβόλων ἐκφαίνουσιν, ὥσπερ καὶ ἡ φύσις τοῖς ἐμφανέσιν εἴδεσι τοὺς ἀφανεῖς λόγους διὰ συμβόλων τρόπον τινὰ ἀπετυπώσατο, ἡ δὲ τῶν θεῶν δημιουργία τὴν ἀλήθειαν τῶν εἰδῶν διὰ τῶν φανερῶν εἰκόνων ὑπεγράψατο. εἰδότες οὖν χαίροντα πάντα τὰ κρείττονα ὁμοιώσει τῶν ὑποδεεστέρων καὶ βουλόμενοι αὐτὰ ἀγαθῶν οὕτω πληροῦν διὰ τῆς κατὰ τὸ δυνατὸν μιμήσεως, εἰκότως καὶ αὐτοὶ τὸν πρόσφορον αὐτοῖς τρόπον τῆς κεκρυμμένης ἐν τοῖς συμβόλοις μυσταγωγίας προφέρουσιν.

2 Ἄκουε δὴ οὖν καὶ σὺ κατὰ τὸν τῶν Αἰγυπτίων νοῦν τὴν τῶν συμβόλων νοερὰν διερμήνευσιν, ἀφεὶς μὲν τὸ ἀπὸ τῆς φαντασίας καὶ τῆς ἀκοῆς εἴδωλον αὐτῶν τῶν συμβόλων, ἐπὶ δὲ τὴν νοερὰν ἀλήθειαν ἑαυτὸν ἐπαναγαγών. ἰλὺν μὲν τοίνυν νόει τὸ σωματοειδὲς πᾶν καὶ ὑλικὸν ἢ τὸ θρεπτικὸν καὶ γόνιμον ἢ ὅσον ἐστὶν ἔνυλον

1. 2. ἀποκεκρυμένων D. 3. ἐκβαίνουσιν A. 4. διὰ om. D. 6. εἰδῶν] ἰδεῶν ACD. 10. αὐτοῖς] αὐτῆς CD Reg. Fesch. || ἐν τοῖς] αὐτοῖς C. 11. μισταγωγίας D. || προσφέρουσιν A. 13. τὴν τῶν] sic AC, καὶ τῶν D, τὴν O. || διερμηνεύουσιν B. 15. συμβόλων] sic Gale not., συμβολικῶν O.

ditarum notionum imagines quasdam in symbolis conficiendis ostendunt, quemadmodum et ipsa natura rationes occultas in formis apparentibus quasi symbolis exprimit, et ipsa deorum operatio idearum veritatem delineat in imaginibus conspicuis. cum igitur intelligant superiora omnia delectari inferiorum conformitate, et per imitationem quam possunt maximam cupientes ista replere bonis, merito ipsi quoque religionis symbolicae rationem diis congruam adinvenerunt.

2 Audi igitur mentem et interpretationem symbolorum ex sententia ipsorum Aegyptiorum. cave autem insideat vel phantasiae vel auribus tuis rerum symbolicarum idolum, sed accinge te ad veritatem intellectu percipiendam. lutum igitur intellige omnia corporea et materialia et nutritivam genitalemque facultatem, item omnem naturae speciem materialem una cum incertis materiae fluxibus agi-

εἶδος τῆς φύσεως μετὰ τῶν ἀστάτων τῆς ὕλης ῥευμάτων συμφερόμενον, ἢ ὅσον τὸν ποταμὸν τῆς γενέσεως χωρεῖ, καὶ αὐτὸ μετ' ἐκείνου συνιζάνον, ἢ τῶν στοιχείων καὶ τῶν περὶ τοῖς στοιχείοις δυνάμεων πασῶν ἀρχηγὸν αἴτιον ἐν πυθμένος λόγῳ προϋποκείμενον. τοιούτου δὲ ὄντος αὐτοῦ, ὁ τῆς γενέσεως καὶ φύσεως ὅλης καὶ τῶν ἐν τοῖς στοιχείοις δυνάμεων πασῶν αἴτιος θεός, ἅτε δὴ ὑπερέχων τούτων ἄυλος καὶ ἀσώματος καὶ ὑπερφυὴς ἀγέννητός τε καὶ ἀμέριστος ὅλος ἐξ ἑαυτοῦ, καὶ ἐν ἑαυτῷ ἀφανὴς προηγεῖται πάντων τούτων, καὶ ἐν ἑαυτῷ τὰ ὅλα περιέχει. καὶ διότι μὲν συνείληφε πάντα καὶ μεταδίδωσιν ἑαυτοῦ τοῖς κοσμικοῖς ὅλοις, ἐξ αὐτῶν ἀνεφάνη· διότι δ' ὑπερέχει τῶν ὅλων καὶ καθ' ἑαυτὸν ὑπερήπλωται, ἀναφαίνεται ὡς χωριστὸς ἐξῃρημένος μετέωρος καὶ καθ' ἑαυτὸν ὑπερηπλωμένος τῶν ἐν τῷ κόσμῳ δυνάμεών τε καὶ στοιχείων.

Συμμαρτυρεῖ δὲ τούτῳ καὶ τὸ ἑξῆς σύμβολον. τὸ γὰρ ἐπὶ λωτῷ καθέζεσθαι ὑπεροχήν τε ὑπὲρ τὴν ἰλὺν

3. εἰκείνου O. 9. ἀφανεῖς C, ἀφανεἰς (corr. pr. man. ἀναφανεἰς) D, ἀναφανεὶς A. 11. ἑαυτοῦ] ἑαυτῷ A. 13. καθ'] μεθ' D. 14. 15. περηπλωμένος C. 17. καθέξεσθαι ACD. || ὁ ἐπὶ λωτοῦ καθήμενος epitheton est Amoris mystici. Reuvens, lettr. 1. p. 13. nonnulla Pherecydis fragmenta huc pertinere censet Röth, äg. Glaub. Not. 160. p. 123. 124. || ὑπὲρ τὴν ἰλὺν] sic ACD, καὶ τὴν ἰσχὺν O.

tatam, item quicquid est quod suscipit generationis aestum et cum eo coincidit, denique tum elementorum tum omnium in elementis potestatum causam primam et fundamentalem. ita se habet lutum; sed deus totius naturae et generationis potestatumque elementarium omnium causa his omnibus superior est, et universa in se complectitur; est enim his praestantior immaterialis incorporeus super naturam ingenitus indivisus, totus a se ipso, in se ipso absconditus. et quoniam in se complectitur omnia seque ipse in omnibus mundi partibus communicat, ex iis eluxit; quoniam vero omnibus supereminet et solus super alia expanditur, per hoc ostenditur, quod sit separatus exemptus sublimis et per se longe explicatus super mundanas potestates et elementa.

Confirmat haec etiam sequens symbolum. quod enim super lotum deus sedeat hoc obscure significat eius supra lutum eminentiam

αἰνίττεται μὴ ψαύουσαν μηδαμῶς τῆς ἰλύος, καὶ ἡγεμονίαν νοερὰν καὶ ἐμπύριον ἐπιδείκνυται· κυκλοτερῆ γὰρ πάντα ὁρᾶται τὰ τοῦ λωτοῦ, καὶ τὰ ἐν τοῖς φύλλοις εἴδη καὶ τὰ ἐν τοῖς καρποῖς φαινόμενα, ἥπερ δὴ μόνῃ κινήσει τῇ κατὰ κύκλον νοῦ ἐνέργειά ἐστι συγγενής, τὸ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως καὶ ἐν μιᾷ τάξει καὶ καθ' ἕνα λόγον ἐμφαίνουσα. αὐτὸς δὲ δὴ ὁ θεὸς ἵδρυται καθ' ἑαυτὸν καὶ ὑπὲρ τὴν τοιαύτην ἡγεμονίαν καὶ ἐνέργειαν, σεμνὸς καὶ ἅγιος ὑπερηπλωμένος καὶ μένων ἐν ἑαυτῷ, ὅπερ δὴ τὸ καθέζεσθαι βούλεται σημαίνειν. ὁ δ' ἐπὶ πλοίου ναυτιλλόμενος τὴν διακυβερνῶσαν τὸν κόσμον ἐπικράτειαν παρίστησιν. ὥσπερ οὖν ὁ κυβερνήτης χωριστὸς ὢν τῆς νεὼς τῶν πηδαλίων αὐτῆς ἐπιβέβηκεν, οὕτω χωριστῶς ὁ ἥλιος τῶν οἰάκων τοῦ κόσμου παντὸς ἐπιβέβηκεν. καὶ καθάπερ ἄνωθεν ἐκ πρύμνης ἀπευθύνει πάντα ὁ κυβερνήτης, ἐνδιδοὺς βραχεῖαν ἐξ ἑαυτοῦ τὴν πρώτην ἀρχὴν τῆς φορᾶς, οὕτω πολὺ πρότερον ὁ θεὸς ἄνωθεν ἀπὸ τῶν πρώτων ἀρχῶν τῆς φύσεως τὰς πρωτουργοὺς αἰτίας τῶν κινήσεων ἀμερίστως ἐνδίδωσι· ταῦτα δὴ οὖν καὶ ἔτι

5. *τῇ*] sic AC, *τοῦ* O. || *κύκλον*] sic ACD, *κύκλου* O. 9. *ἅγιος*] *ὅλος* A. || *ὑπεριπλώμενος* D. || *ὅπερ*] *ὥσπερ* O. 10. *σημαίνειν*] *συμβαίνειν* ABD. || *πλοίου*] *πλεῖον* D. 15. *πρήμνης* C. 18. *προτουργοὺς* D.

quae ne quidem tangat lutum, etiam et praesidentiam eius intellectualem denotat, et plane empyriam; omnia enim in loto circularia sunt, tum folia tum fructus, cui solae motioni circulari respondet mentis operatio, per eadem videlicet et eodem pacto ordine ratione se semper habens. deus autem ipse per se solus sedet expansus super hoc imperium et operationem, venerabilis sanctus in se ipso penitus quiescens, quod quidem sedendo significatur. ubi autem in symbolis deus tamquam navis rector est, id ostendit potentiam mundi gubernatricem. sicut enim gubernator separabilis existens a navi eius tamquam clavo adstat, eodem modo et sol mundi totius temonem regit, ipse separabilis. et quemadmodum a puppi omnia regit gubernator breve quoddam ad cursum iniiciens momentum, ita deus multo excellentius a primis naturae principiis primas motus modo

πλείονα τούτων ἐνδείκνυται τὸ ναυτίλλεσθαι αὐτὸν ἐπὶ πλοίου.

Ἐπεὶ δὲ καὶ πᾶν μόριον τοῦ οὐρανοῦ καὶ πᾶν ζώ- 3
διον καὶ πᾶσα τοῦ οὐρανοῦ φορὰ καὶ πᾶς χρόνος, καθ᾽ ὃν κινεῖται ὁ κόσμος, καὶ πάντα τὰ ἐν τοῖς ὅλοις δέχονται ἀπὸ τοῦ ἡλίου κατιούσας δυνάμεις, τὰς μὲν συμπλεκομένας αὐτοῖς τὰς δὲ τῆς συμμίξεως αὐτῶν ὑπερβεβηκυίας, παρίστησι καὶ ταύτας ὁ συμβολικὸς τρόπος τῆς σημασίας, τὸ σχηματίζεσθαι μὲν κατὰ ζώδιον καὶ τὰς μορφὰς ἀμείβειν καθ᾽ ὥραν τοῖς ῥήμασι διασημαίνων, ἐνδεικνύμενος δὲ τὴν ἀμετάβλητον αὐτοῦ καὶ ἑστῶσαν καὶ ἀνέκλειπτον καὶ ὁμοῦ πᾶσαν καὶ ἀθρόαν εἰς ὅλον τὸν κόσμον δόσιν. ἀλλ᾽ ἐπεὶ τὰ δεχόμενα ἄλλα ἀλλαχοῦ περὶ τὴν ἀμέριστον δόσιν τοῦ θεοῦ φέρεται, καὶ αὐτὰ δέχεται πολυειδεῖς δυνάμεις ἀπὸ τοῦ ἡλίου κατὰ τὰς οἰκείας ἑαυτῶν φοράς, διὰ τοῦτο βούλεται μὲν ἡ συμβολικὴ διαδοχὴ διὰ τοῦ πλήθους τῶν δοθέντων τὸν ἕνα θεὸν ἐμφαίνειν, καὶ διὰ τῶν πολυτρόπων δυνάμεων τὴν μίαν αὐτοῦ παριστάναι δύναμιν· διὸ καί φησιν αὐτὸν ἕνα εἶναι

10. ἀμοίβειν O. 16. 17. διαγωγὴ Gale not.; an διδαχή? cf. infra 7, 4. 17. 18. ἐμβαίνειν A, ἐμβαίνειν (corr. ἐμφαίνειν) C.

indivisibili inspirat causas. haec igitur et alia quamplurima ostenduntur per navem quam is gubernet.

Quoniam vero omnes caeli partes et omnia zodiaci signa, omnis 3
item caeli motus tempusque, secundum quod mundus ipse movetur, cuncta denique quae continentur in totis, vires a sole descendentes accipiunt, alias quidem commistas ipsis alias autem commistionem superantes, ideo has quoque symbolicus significandi modus repraesentat, solem secundum zodiaci signa figurari, et formas mutare in horas significans; interea vero demonstrat immutabilem ipsius constantem et indeficientem simulque totam per totum mundum communicationem. quoniam ea quae recipiunt dei dona indivisa, alio atque alio modo se ad eum habent, ea proinde iuxta proprium captum ab ipso sole varietatem potestatum accipiunt, propterea vult symbolica doctrina per multitudinem donorum unum deum ostendere, et per tam varias ab ipso potestates ipsius unicam nobis probare.

καὶ τὸν αὐτόν, τὰς δὲ διαμείψεις τῆς μορφῆς καὶ τοὺς μετασχηματισμοὺς ἐν τοῖς δεχομένοις ὑποτίθεται. διόπερ κατὰ ζῴδιον καὶ καθ' ὥραν μεταβάλλεσθαι αὐτόν φησιν, ὡς ἐκείνων διαποικιλλομένων περὶ τὸν θεὸν κατὰ τὰς πολλὰς αὐτοῦ ὑποδοχάς. τοιαύταις εὐχαῖς Αἰγύπτιοι πρὸς ἥλιον χρῶνται οὐκ ἐν ταῖς αὐτοψίαις μόνον ἀλλὰ καὶ ἐν ταῖς κοινοτέραις εὐχαῖς, αἵτινες ἔχουσι τοιοῦτον νοῦν καὶ κατὰ τοιαύτην συμβολικὴν μυσταγωγίαν τῷ θεῷ προσφέρονται· διόπερ οὐδ' ἂν ἔχοι τινὰ λόγον, εἴ τις αὐτῶν προσαγάγοιτο ἀντίληψις.

4 *Ἃ δ' ἐστὶ τούτων ἐχόμενα ἐρωτήματα πλείονος μὲν δεῖται διαδοχῆς, εἴ τις ἱκανῶς ἐπεξίοι τῷ λόγῳ· δεῖ δ' ὅμως ἐν ἀποκρίσει διὰ βραχέων τἀληθές πῃ περὶ αὐτῶν διαπερανθῆναι. τί γὰρ βούλεται τὰ ἄσημα ὀνόματα πυνθάνῃ· τά δὲ οὐκ ἔστιν ἄσημα ὃ σὺ νενόμικας· ἀλλ' ἡμῖν μὲν ἄγνωστα ἔστω ἢ καὶ γνωστὰ ἔνια, περὶ ὧν παρεδεξάμεθα τὰς ἀναλύσεις παρὰ θεῶν, τοῖς μέντοι θεοῖς*

5. αὐτοῦ] sic Gale not., ἑαυτοῦ O. 5. 6. πρὸς ἥλιον om. AC. 7. καινοτέραις AC, κενοτέραις D. || ἔχουσαι O. 9. ἔχοι] sic Gale not., ἔχει D, ἔχῃ O. 10. προσάγειτο A, προσάγοιτο CD. 11. μὲν om O. 12. διαδοχῆς] διδαχῆς O. 16. καὶ om. O. 17. παρὰ] περὶ ACD.

quare illum esse unum eundemque asserit, sed formarum vicissitudines et transfigurationes in suscipientibus supponit. propterea ait illum secundum zodiaci signa et in horas mutari, cum revera ipsa suscipientia varientur circa deum iuxta varias quibus eum recipiunt rationes. huiusmodi autem ad solem orationibus utuntur Aegyptii non solum in secretioribus visionibus sed etiam in precibus levioribus, quae omnes hanc habentes mentem possunt per huiusmodi symbolicam interpretationem deo accommodari: quare non facerem ex ratione, si qua a me super his adferetur apologia.

4 Quae autem sequuntur quaestiones maiori opus habeat doctrina, si quis satis digne velit sermone explicare; oportet utcunque breviter de iis quod verum sit complecti. quaeris enim quid sibi velint nomina nihil significantia? non sunt autem prout tu existimas significatione cassa. verum sint nobis ignota quaedam vel nota,

πάντα σημαντικά ἐστιν οὐ κατὰ ῥητὸν τρόπον, οὐδ' οἷός ἐστιν ὁ διὰ τῶν φαντασιῶν παρ' ἀνθρώποις σημαντικός τε καὶ μηνυτικός, ἀλλ' ἤτοι νοερῶς κατὰ τὸν θεῖον αὐτὸν ἀνθρώπειον νοῦν, ἢ καὶ ἀφθέγκτως ἢ κρειττόνως καὶ ἁπλουστέρως καὶ κατὰ νοῦν τοῖς θεοῖς συνηνωμένον· ἀφαιρεῖν μὲν οὖν χρὴ πάσας ἐπινοίας καὶ λογικὰς διεξόδους ἀπὸ τῶν θείων ὀνομάτων, ἀφαιρεῖν δὲ καὶ τὰς συμφυομένας τῆς φωνῆς πρὸς τὰ ἐν τῇ φύσει πράγματα φυσικὰς ἀπεικασίας. ὅσπερ δέ ἐστιν ὁ νοερὸς καὶ θεῖος τῆς θείας ὁμοιότητος συμβολικὸς χαρακτήρ, τοῦτον ὑποθετέον ἐν τοῖς ὀνόμασι. καὶ δὴ κἂν ἄγνωστος ἡμῖν ὑπάρχῃ, αὐτὸ τοῦτό ἐστιν αὐτοῦ τὸ σεμνότατον· κρείττων γάρ ἐστιν ἢ ὥστε διαιρεῖσθαι εἰς γνῶσιν. ἐφ' ὧν γε μὴν παρειλήφαμεν τὴν ἐπιστήμην τῆς ἀναλύσεως, ἐπὶ τούτων τῆς θείας οὐσίας καὶ δυνάμεως καὶ τάξεως ἔχομεν ὅλης ἐν τῷ ὀνόματι τὴν εἴδησιν.

Καὶ ἔτι ἀθρόαν τὴν μυστικὴν καὶ ἀπόρρητον εἰκόνα

4. καὶ κρειττόνως A. 5. συνηνόμενος BC, συνηνωμένος D. 6. 7. διεξιόδους A. 9. ὅσπερ] sic Gale not., ὥσπερ O. || ὁ om. ACD. 12. αὐτοῦ] αὐτῆς D. || κρεῖττον D. 16. εἴδεσιν D.

quorum solutiones a diis accepimus, sane omnia apud deos significant non per modum prolationis, nec qualis ille noster per similitudines significativus et indicans modus, sed secundum intellectum in nobis divinum, vel potius ineffabiliter et melius et simplicius et iuxta nostrum intellectum diis unitum. oportet igitur auferas omnes hinc cogitationes et logicos discursus, etiam et naturales illas in voces et res assimulationes; quicunque autem est divinus et intellectualis divinaeque similitudinis symbolicus character, hunc debemus in nominibus istis supponere; et quoties a nobis intelligi non potest, tunc maxime ideo est venerandus; praestantior utique est quam ut in nostram notitiam dividatur. iam vero quorum divinorum nominum resolutionem intelligimus, in his totam habemus essentiae potentiaeque et ordinis deorum notitiam, ipso nomine comprehensam.

Simul etiam mysticam et ineffabilem totamque deorum imaginem

τῶν θεῶν ἐν τῇ ψυχῇ διαφυλάττομεν, καὶ τὴν ψυχὴν δι' αὐτῶν ἀνάγομεν ἐπὶ τοὺς θεούς, καὶ ἀναχθεῖσαν κατὰ τὸ δυνατὸν τοῖς θεοῖς συνάπτομεν· ἀλλὰ διὰ τί τῶν σημαντικῶν τὰ βάρβαρα πρὸ τῶν ἑκάστῳ οἰκείων προτιμῶμεν; ἔστι δὲ καὶ τούτου μυστικὸς ὁ λόγος. διότι γὰρ τῶν ἱερῶν ἐθνῶν, ὥσπερ Αἰγυπτίων τε καὶ Ἀσσυρίων, οἱ θεοὶ τὴν ὅλην διάλεκτον ἱεροπρεπῆ κατέδειξαν, διὰ τοῦτο καὶ τὰς κοινολογίας οἰόμεθα δεῖν τῇ συγγενεῖ πρὸς τοὺς θεοὺς λέξει προσφέρειν, καὶ διότι πρῶτος καὶ παλαιός ἐστιν ὁ τοιοῦτος τρόπος τῆς φωνῆς, καὶ μάλιστα ἐπειδὴ οἱ μαθόντες τὰ πρῶτα ὀνόματα περὶ τῶν θεῶν, μετὰ τῆς οἰκείας γλώττης αὐτὰ ξυμμίξαντες παραδεδώκασιν ἡμῖν, ὡς οἰκείας καὶ προσφόρου πρὸς αὐτὰ ὑπαρχούσης, ἀκίνητον διατηροῦμεν δεῦρο ἀεὶ τὸν θεσμὸν τῆς παραδόσεως. εἴπερ γάρ τι τοῖς θεοῖς ἄλλο προσήκει, δηλονότι καὶ τὸ ἀίδιον καὶ ἀμετάβλητον αὐτοῖς ἐστὶ συγγενές.

3. διὰ τί] διοτί B. 4. ἑκάστων O. 5. διότι] διὰ τί O. 6. ἐθνῶν] θεῶν BD. || ἀσσυρίων τε καὶ αἰγυπτίων ACD. 8. τῇ om. A. 9. 10. παλαιότερος ACD. 17. συγγενές] ἀγεννές B, ἀγενές CD.

in anima conservamus, animamque per haec ad deos attollimus, elevatamque illis pro virili admovemus. sed quaeris quare inter divina significativa nomina barbara nostratibus anteponimus? est quoque ratio huius rei mystica: quoniam enim sacrarum gentium, veluti Aegyptiorum et Assyriorum, totum dii sermonem sacrum iudicarunt, hanc ob causam colloquia nostra cum diis existimamus oportere facere in sermone diis quasi cognito. adde quod huius sermonis modus primus fuerit et antiquissimus: denique praecipuum illud est, quod qui primo deorum nomina didicerunt, ipsi cum suo proprio sermone divina miscentes huiusmodi regulam traditionis ad nos usque transmisere immobiliter custodiendam, tamquam divinis propriam et accommodatam si quid enim aliud diis conveniat, sempiternum ipsum et immutabile diis est prae caeteris cognatum.

Ἀλλ' ὁ ἀκούων, φής, πρὸς τὰ σημαινόμενα ἀφορᾷ, ὥστε αὐτάρκης ἡ αὐτὴ μένουσα ἔννοια, κἂν ὁποιονοῦν ὑπάρχῃ τοὔνομα. τὸ δ' οὐ τοιοῦτόν ἐστιν οἷον σὺ προσεδόκησας· εἰ μὲν γὰρ ἦν κατὰ συνθήκην κείμενα τὰ ὀνόματα, οὐδὲν διέφερε τὰ ἕτερα ἀντὶ τῶν ἑτέρων μεταλαμβάνειν· εἰ δὲ τῇ φύσει συνήρτηται τῶν ὄντων, τὰ μᾶλλον αὐτῇ προσεοικότα καὶ τοῖς θεοῖς ἔσται δήπου προσφιλέστερα· ἐκ δὴ τοῦδε καταφαίνεται ὡς εὐλόγως καὶ ἡ τῶν ἱερῶν ἐθνῶν προκέκριται φωνὴ πρὸ τῶν ἄλλων ἀνθρώπων· οὐδὲ γὰρ πάντως τὴν αὐτὴν διασώζει διάνοιαν μεθερμηνευόμενα τὰ ὀνόματα, ἀλλ' ἔστι τινὰ καθ' ἕκαστον ἔθνος ἰδιώματα, ἀδύνατα εἰς ἄλλο ἔθνος διὰ φωνῆς σημαίνεσθαι· ἔπειτα κἂν εἰ οἷόν τε αὐτὰ μεθερμηνεύειν, ἀλλὰ τήν γε δύναμιν οὐκέτι φυλάττει τὴν αὐτήν· ἔχει δὲ καὶ τὰ βάρβαρα ὀνόματα πολλὴν μὲν ἔμφασιν πολλὴν δὲ συντομίαν, ἀμφιβολίας τε ἐλάττονος μετέσχηκε καὶ ποικιλίας καὶ τοῦ πλήθους τῶν λέξεων· διὰ πάντα δὴ οὖν ταῦτα συναρμόζει τοῖς κρείττοσιν. 5

1. φής] sic ACD, φωνῆς O. 5. ἀντὶ om. O. 7. ἐστὶ A, ἔστι CD. 8. 9. ἡ τῶν] ἡμῶν D. 11. καθερμηνευόμενα D. ‖ post τινὰ O add. καί. 18. κρείττουσιν D.

Sed obiicis, qui audit nomina ad significata respicit, atque adeo sufficit si eadem sit notio substrata, qualecunque tandem vocabulum. non est prout tu existimas. nam si nomina essent ex humano instituto posita, nihil interesset his an illis utereris, si vero rerum naturae accommodata sint, sane quae huic maxime congruunt ea diis sunt maxime amica. ex his igitur patet sacrarum gentium sermonem merito caeteris esse praepositum. adde quod eandem prorsus mentem non servant nomina in aliam linguam interpretata; sunt enim singulis gentibus quaedam idiomata, quae aliis gentibus per sua vocabula significari non possunt; et si forte possint verti, non tamen eandem suam potentiam conservant. adde quod barbara vocabula plurimam habeant emphasin et brevitatem non minorem. sed et ambiguitate et varietate dictionumque multitudine minus scatent. et per haec omnia diis sunt accommodatiora. 5

Ἄνελε οὖν ἐκ μεσῶν τὰς ἀποπιπτούσας τῆς ἀληθείας ὑπονοίας, ἢ ὡς Αἰγύπτιος ἢ Αἰγυπτίᾳ φωνῇ χρώμενός ἐστιν ὁ καλούμενος· ἀλλὰ μᾶλλον ἐκεῖνο ὑπολάμβανε, ὡς Αἰγυπτίων πρώτων τὴν μετουσίαν τῶν θεῶν διακληρωσαμένων, καὶ οἱ θεοὶ χαίρουσι τοῖς Αἰγυπτίων θεσμοῖς καλούμενοι· εἰ δ' αὖ γοήτων ἐστὶ ταῦτα πάντα τεχνάσματα, πῶς ἂν τὰ μάλιστα συνηνωμένα τοῖς θεοῖς καὶ ἡμᾶς πρὸς αὐτοὺς συνάπτοντα καὶ μόνον οὐχὶ τὰς ἴσας δυνάμεις ἔχοντα τοῖς κρείττοσι, φανταστικὰ ἂν εἴη πλάσματα, ὧν χωρὶς οὐδὲν ἱερατικὸν ἔργον γίνεται; ἀλλ' οὐδὲ προκαλύμματα ταῦτα διὰ τῶν ἐπιφημιζομένων τῷ θείῳ τῶν περὶ ἡμᾶς γίνεται παθῶν. οὐ γὰρ ἀφ' ὧν ἂν ἡμεῖς πάθωμεν, τοὐναντίον δὲ ἀπὸ τῶν οἰκείων τοῖς θεοῖς ὁρμώμενοι τὰς προσφόρους αὐτοῖς λέξεις κατὰ φύσιν προσφέρομεν· οὐδ' ἐναντίας ποιούμεθα περὶ τοῦ θείου τὰς ἐννοίας ᾗ αὐτὸ τῷ ὄντι διάκειται· ἀλλ' ᾗπερ ἔχει φύσεως, καὶ ὡς τετυχήκασι τῆς περὶ αὐτοῦ ἀληθείας οἱ πρῶτοι καταστησάμενοι τοὺς νόμους τῆς ἱερᾶς ἁγιστείας, οὕτως ἐν αὐτοῖς ἐμμένομεν· εἴπερ γάρ τι τῶν ἄλλων τῶν ἱερο-

6. εἰ δ'] οὐδ' A, οἱ δ' CD. 7. πῶς γὰρ ἂν ACD. || συννενωμένα B. 13. δ' ἀπὸ D. 14. προσφορὰς AC. 19. ἐμμένομεν] ὅτι τὰ πάτρια ἀκίνητα δέον μάλιστα μένειν margo Fesch.

Tolle interim has tuas suspiciones quae a veritate aberrant, quasi aut Aegyptius fuerit aut Aegyptiaca lingua aliquando usus qui invocatur. illud potius arbitrare, deos ideo Aegyptiorum ritibus maxime velle se invocari, quoniam Aegyptii mortalium primi praesentiam deorum sortiti sunt. si vero, quod subiunuis, haec omnia praestigiatorum essent fraudes, dic quaeso, qui fieri possit ut ea quae diis quam proxime uniuntur, quaeque nos iis uniunt, quae pene deorum ipsorum potestatem in se habent, quae omnia opera sacra ita complent, ut sine illis nihil fiat, haec, inquam, ut sint phantastica figmenta? sed neque involucra haec a nostris affectibus, quos diis vulgo ipsis tribuimus, ortum suum habuere; nec enim a nobis sed a deorum proprietatibus ordientes convenientia naturaliter vocabula apud eos proferimus; neque contrarias de divino comminiscimur notiones, contra videlicet ac ipsum revera se habet; sed prout natura eius se habet, et quemadmodum veritatem de ipso consecuti

πρεπῶς νομίμων καὶ τὸ ἀμετάπτωτον αὐτοῖς συναρμόζει· καὶ δεῖ τὰ τῶν παλαιῶν εὐχῶν, ὥσπερ ἱερὰ ἄσυλα, τηρεῖσθαι κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως, μήτε ἀφαιροῦντάς τι ἀπ' αὐτῶν μήτε προστιθέντας τι αὐταῖς ἀλλαχόθεν. σχεδὸν γὰρ καὶ τοῦτο αἴτιον νυνὶ γέγονε τοῦ πάντα ἐξίτηλα καθεστηκέναι καὶ τὰ ὀνόματα καὶ τὰ τῶν εὐχῶν, διότι μεταβαλλόμενα ἀεὶ διὰ τὴν καινοτομίαν καὶ παρανομίαν τῶν Ἑλλήνων οὐδὲν παύεται. φύσει γὰρ Ἕλληνές εἰσι νεωτεροποιοὶ καὶ ᾄττοντες φέρονται πανταχῇ, οὐδὲν ἔχοντες ἕρμα ἐν ἑαυτοῖς, οὐδ' ὅπερ ἂν δέξωνται παρά τινων διαφυλάττοντες, ἀλλὰ καὶ τοῦτο ὀξέως ἀφέντες πάντα κατὰ τὴν ἄστατον εὑρεσιλογίαν μεταπλάττουσι· βάρβαροι δὲ μόνιμοι τοῖς ἤθεσιν ὄντες καὶ τοῖς λόγοις βεβαίως τοῖς αὐτοῖς ἐμμένουσι· διόπερ αὐτοί τέ εἰσι προσφιλεῖς τοῖς θεοῖς καὶ τοὺς λόγους αὐτοῖς προσφέρουσι κεχαρισμένους· διαμείβειν δὲ αὐτοὺς κατ' οὐδένα τρόπον οὐδενὶ ἀνθρώπῳ θεμιτόν ἐστι. τοσαῦτα καὶ περὶ τῶν ὀνομάτων τῶν τε

3. ἀφαιροῦντες B. 5. ἐξήτηλα D. 7. κενοτομίαν D. 9. ἄττονες AC, ἄττοντας D. 11. ἀφιέντες ACD. 13. μόνυμοι D. || τοῖς] τῆς B.

sunt qui primi leges nobis de sanctimonia religionis tradidere, sic perseveramus in iis. si quid enim aliud in sacerdotalibus institutionibus deo congruat, sane constantia et immutabilitas praecipue. oportet etiam ritus adorationis antiquos tamquam sacra asyla semper conservare eosdem et eodem modo, nihil ab iis detrahendo nihil aliunde adiiciendo. ferme namque et hoc causa extitit, quod nunc tum nomina tum preces vim suam amisere; propterea quod iamdiu susque deque permutarunt ea et adhuc permutant Graeci novatores et violatores. Graeci sane rerum novarum studiosi sunt et leves circumquaque volitant, nihil habentes in se suburrae, quodque ab aliis acceperunt non possunt conservare, sed cito illud contemnunt omniaque transformant, instabiles et vocum novarum aucupes. barbari vero ut sunt moribus graves sic et in vocabulis firmiter permanent. quamobrem et ipsi sunt diis accepti et sermones iis gratos adferunt, quos quidem permutare nulli hominum apud eos fas est

ἀφθέγκτων καὶ τῶν βαρβάρων μὲν καλουμένων ἱεροπρεπῶν δὲ ὄντων πρός σε ἀποκρινόμεθα.

8, 1 *Τούτων δὲ ἀποστάς, ὡς φῄς, βούλει σοι δηλωθῆναι, τί τὸ πρῶτον αἴτιον ἡγοῦνται εἶναι Αἰγύπτιοι, πότερον νοῦν ἢ ὑπὲρ νοῦν, καὶ μόνον ἢ μετ' ἄλλου ἢ ἄλλων, καὶ πότερον ἀσώματον ἢ σωματικόν, καὶ εἰ τῷ δημιουργῷ τὰ αὐτὰ ἢ πρὸ τοῦ δημιουργοῦ, καὶ εἰ ἐξ ἑνὸς τὰ πάντα ἢ ἐκ πολλῶν, καὶ εἰ ὕλην ἴσασιν ἢ σωματοποιὰ πρῶτα, καὶ ἀγέννητον ὕλην ἢ γεννητήν;*

Ἐγὼ δή σοι πρῶτον ἐρῶ τὴν αἰτίαν, δι' ἣν ἔν τε γράμμασι τῶν ἀρχαίων ἱερογραμματέων πολλαὶ καὶ ποικίλαι δόξαι περὶ τούτων φέρονται, καὶ παρὰ τοῖς ἔτι ζῶσι τῶν σοφῶν τὰ μεγάλα οὐχ ἁπλῶς ὁ λόγος παραδίδοται. λέγω δὴ οὖν ὡς πολλῶν οὐσιῶν ὑπαρχουσῶν καὶ τούτων διαφερουσῶν πάμπληθες, πολλαὶ παρεδόθησαν αὐτῶν καὶ ἀρχαὶ διαφόρους ἔχουσαι τάξεις, ἄλλαι παρ' ἄλλοις τῶν παλαιῶν ἱερέων· τὰς μὲν οὖν ὅλας Ἑρμῆς ἐν ταῖς δισ-

2. δὲ] τε O. 3. ἀποστὰς om. D. 4. 5. πότερον οὖν ἢ A. 8. σώματα ποιὰ AD. 12. παρὰ] περὶ ABCD. 14. δὴ] δι' D. 16. διαφόρως CD.

tot tibi igitur respondimus super nominibus, quae licet inexplicabilia sint et barbara vocentur, sacris tamen rite conveniunt.

1 His derelictis postulas tibi ostendi, quidnam Aegyptii primam causam esse censeant, utrum intellectum an aliquid supra, utrum solum aliquid an cum alio vel aliis, et utrum incorporeum an corporeum, deinde utrum sit idem cum mundi opifice an superius opifice, praeterea an ex uno omnia an ex pluribus amplius, an materiam primam agnoscant an corpora qualia, denique materiam ingenitam an genitam ponant?

Ego vero causam prius tibi dicam, ob quam tum sacri et antiqui Aegyptiorum scriptores de his varia tradiderint, tum etiam cur qui hodie vivunt caetera quidem sapientes non eadem de his loquantur. dico igitur, multae cum sint in universo essentiae eaeque inter se valde diversae, multa quoque earum principia diversos habentia ordines tradita fuere, et ab aliis sacerdotibus alia. principia

μυρίαις βίβλοις, ὡς Σέλευκος ἀπεγράψατο, ἢ ταῖς τρισμυρίαις τε καὶ ἑξακισχιλίαις καὶ πεντακοσίαις καὶ εἴκοσι πέντε, ὡς Μανεθὼς ἱστορεῖ, τελέως ἀνέδειξε. τὰς δ' ἐπὶ τῶν κατὰ μέρος οὐσιῶν ἄλλοι ἄλλας διαβάλλοντες τῶν παλαιῶν πολλαχοῦ διερμηνεύουσι. δεῖ δὲ τἀληθὲς περὶ πασῶν ἀνευρεθῆναι, συντόμως τε αὐτό σοι κατὰ τὸ δυνατὸν διερμηνεῦσαι. καὶ πρῶτον μὲν ὃ πρῶτον ἠρώτησας περὶ τούτου ἄκουε.

Πρὸ τῶν ὄντως ὄντων καὶ τῶν ὅλων ἀρχῶν ἐστὶ 2
θεὸς εἷς, πρότερος καὶ τοῦ πρώτου θεοῦ καὶ βασιλέως, ἀκίνητος ἐν μονότητι τῆς ἑαυτοῦ ἑνότητος μένων. οὔτε γὰρ νοητὸν αὐτῷ ἐπιπλέκεται οὔτε ἄλλο τι· παράδειγμα δὲ ἵδρυται τοῦ αὐτοπάτορος αὐτογόνου καὶ μονοπάτορος θεοῦ τοῦ ὄντως ἀγαθοῦ. μεῖζον γάρ τι καὶ πρῶτον καὶ

1. *ὡς Σέλευκος*] „Isto nomine plures veniunt. sacerdos hic fuisse videtur ex hoc loco. et Porphyrius II. [c. 55] de abst. Seleucum theologum commemorat; Suidas ait Seleucum Alexandrinum scripsisse *περὶ θεῶν βιβλία ρ́*. credo Mercuriales in epitomen redegisse." Gale not. 1. 2. *τρισμυρίαις*] numerum 36525 non ad libros Hermeticos sed ad chronologiam pertinere patet ex Vetere Chronico apud Syncellum 1, 97 Dind. viginti et quinque periodi Sothiacae illum numerum conficiunt. 1461×25=36525. cf. Boeckh Manetho p. 17. 3. *Μενεθὼς* AC, Meneteus, Ficinus. 4. *διαλαβόντες* Gale not. 5. *δὲ*] *δὴ* A. 10. *πρότερος*] sic A, *πρώτιος* BCD et margo A, *πρῶτος* O. 14. *ὄντος* C.

quidem universalia Hermes ipse tradidit duabus voluminum myria- 2
dibus, ut narrat Seleucus, vel ut Manetho, librorum sex chiliadibus quingentis et viginti quinque supra tres myriadas perfectissime demonstravit. propria vero particularium essentiarum principia veterum alii alia sibi desumentes varie explicuerunt. oportet autem in omnibus veritatem investigare, eamque pro virili tibi breviter interpretari, et de quo primum interrogabas de eo primum audi.

Ante eas res quae vere sunt et ante principia universalium est deus unus, prior etiam primo deo et rege; est ille immobilis in solitudine suae unitatis permanens; neque enim intellectuale ei immiscetur neque aliquid aliud; estque exemplar ipsius qui est sui pater et de se genitus et unipater deus et vere bonus. est enim maius

πηγὴ τῶν πάντων καὶ πυθμὴν τῶν νοουμένων πρώτων ἰδεῶν ὄντων· ἀπὸ δὲ τοῦ ἑνὸς τούτου ὁ αὐτάρκης θεὸς ἑαυτὸν ἐξέλαμψε, διὸ καὶ αὐτοπάτωρ καὶ αὐτάρχης. ἀρχὴ γὰρ οὗτος καὶ θεὸς θεῶν, μονὰς ἐκ τοῦ ἑνός, προούσιος καὶ ἀρχὴ τῆς οὐσίας. ἀπ' αὐτοῦ γὰρ ἡ οὐσιότης καὶ ἡ οὐσία, διὸ καὶ οὐσιοπάτωρ καλεῖται· αὐτὸς γὰρ τὸ προόντως ὄν ἐστι, τῶν νοητῶν ἀρχή, διὸ καὶ νοητάρχης προσαγορεύεται· αὗται μὲν οὖν εἰσὶν ἀρχαὶ πρεσβύταται πάντων, ἃς Ἑρμῆς πρὸ τῶν αἰθερίων καὶ ἐμπυρίων θεῶν προτάττει καὶ τῶν ἐπουρανίων· ἑκατὸν μὲν περὶ τῆς ἱστορίας τῶν ἐμπυρίων καὶ ἰσάριθμα τούτοις περὶ τῶν αἰθερίων συγγράμματα παραδούς, χίλια δὲ περὶ τῶν ἐπουρανίων.

3 *Κατ' ἄλλην δὲ τάξιν προτάττει θεὸν τὸν Ἠμὴφ τῶν*

2. *ἰδεῶν*] sic ACD, *εἰδεῶν* B, *εἰδῶν* O. ‖ *δὲ*] *δὴ* AD. 3. *αὐτάρχης* D. 6—7. *διὸ καὶ οὐσιοπάτωρ — ἀρχή* om. O. 6. *τὸ*] sic AD, *τε* C Fesch., om. Reg. 6. 7. *προόντως*] sic ACD Fesch. *πρὸ ὄντος* Reg. 7. *ὄν*] sic ACD Reg., om. Fesch. ‖ *ἐστι*] sic ACD Fesch., om. Reg. et ponit post *νοητῶν*. 10—12. *ἑκατὸν —χίλια*] hi librorum Hermeticorum numeri nonnisi hoc loco memorantur. quadraginta et duos libros Hermeticos valde necessarios recenset Clem. Al. strom. 6. p. 269 Sylb. 10. *ἑκατῶν* A. 14. *προτάττει*] sic Gale not., *προστάττει* O. ‖ *Ἠμήφ*] hoc tantum loco memoratur; i. q. *Κνὴφ* vel *Καμῆφις* Gale not. p. 301; „generally supposed to be a mistake for *Κνεφ* (Neph)“ Wilkinson M. et C. 4, 216 not. ;„Emphe“ Champ. gramm. hierogl. p. 111;

quid et prius, fons omnium et radix intelligibilium idearum primarum entium. ab hoc autem uno deus per se sufficiens se ipse explicuit, proinde est sui- pater et sibi-sufficiens. est enim hic et principium et deus deorum, unitas ex uno, superessentialis et essentiae principium; nam ab eo fluit entitas et essentia, et propterea pater essentiae vocatur: ipse enim ens est ante ens, et rerum intelligibilium principium, quare noetarcha dicitur. haec igitur sunt principia omnium antiquissima, quae Hermes supra deos aethereos et empyreos et caelestes constituit, et de historia deorum empyreorum libros composuit centum, totidemque de aethereis, de caelestibus vero mille.

3 Secundum vero alium ordinem deum Emeph tamquam ducem

ἐπουρανίων θεῶν ἡγούμενον, ὅν φησι νοῦν εἶναι αὐτὸν ἑαυτὸν νοοῦντα καὶ τὰς νοήσεις εἰς ἑαυτὸν ἐπιστρέφοντα· τούτου δὲ τὸ ἓν ἀμερὲς καὶ ὅ φησι πρῶτον μαίευμα προτάττει, ὃν καὶ Εἰκτὼν ἐπονομάζει· ἐν ᾧ δὴ τὸ πρῶτόν ἐστι νοοῦν καὶ τὸ πρῶτον νοητόν, ὃ δὴ καὶ διὰ σιγῆς μόνης θεραπεύεται. ἐπὶ δὲ τούτοις τῶν ἐμφανῶν δημιουργίας ἄλλοι προεστήκασιν ἡγεμόνες. ὁ γὰρ δημιουργικὸς νοῦς καὶ τῆς ἀληθείας προστάτης καὶ σοφίας, ἐρχόμενος μὲν ἐπὶ γένεσιν, καὶ τὴν ἀφανῆ τῶν κεκρυμμένων λόγων δύναμιν εἰς φῶς ἄγων, Ἀμοῦν κατὰ τὴν τῶν Αἰγυπτίων γλῶσσαν λέγεται, συντελῶν δὲ ἀψευδῶς ἕκαστα καὶ τεχνικῶς μετ' ἀληθείας Φθά (Ἕλληνες δὲ εἰς Ἡφαι-

„the deity named in the hieroglyphical texts Meui or Moui, light and reason, personified the intellectual power of the sun, and frequently appeared under the name of Emphe, i. e. the leader of the heaven, apparently the Emeph of Jamblicus." Birch in Arundale and Bonomy Gallery of Eg. Antiqu. p. 22.

3. *μαίευμα*] sic Gale not., *μάγευμα* O, *μαγεῖον* Röth ägypt. Glaub. Not. 107. p. 63. 4. *ὃν καὶ Εἰκτὼν ἐπονομάζει* post *ἐπιστρέφοντα* v. 2 ponit Röth l. l. || *Εἰκτὼν*] *εἰχτων* C, Ichton margo D, icthon Ficinus; Ich-tho, spiritus universi vel mundi. Jablonski Panth. 1, 4, 6. Opusc. 1, 64. Hikto, imperator mundi, *παντοκράτωρ*. Röth l. l. p. 61. 63; in inscriptionibus hieroglyphicis hoc nomen non occurrit. 5. *νοοῦν*] *νοῦν* D. 6. 7. *δημιουργίαν* B. 8. *σοφία* CD Reg. 8. 9. *ἀρχόμενος* D. 10. *Ἀμοῦν* scripsi; *ἀμοῦν* ACD Reg. *Ἀμῶν* O, Amun margo D; hieroglyphice AMuN. 12. *Φθά*] *φασὶν Φθὰ* A, *φασίν* BCD, Vulcanus *Φθὰς* margo D; hieroglyphice PTaH.

diis caelestibus praeponit. ait hunc esse mentem se ipsam intelligentem et alias intellectiones ad se convertentem. ante hunc ponit unum impartibile quod etiam primum partum appellat et Eicton. in quo primum quod intelligit et intelligitur reperitur, quodque solo silentio colitur. praeter hos rerum apparentium opificio alii praesunt duces. opifex quippe mens qui et veritatis custos et sapientiae, quatenus ad generationem descendit, et incognitam rationum latentium vim producit in lucem, lingua Aegyptiaca dicitur Amun, quatenus vero perficit omnia summa cum veritate et arte, vocant

στον μεταλαμβάνουσι τὸν Φθὰ τῷ τεχνικῷ μόνον προσβάλλοντες), ἀγαθῶν δὲ ποιητικὸς ὢν Ὄσιρις κέκληται, καὶ ἄλλας δι' ἄλλας δυνάμεις τε καὶ ἐνεργείας ἐπωνυμίας ἔχει.

Ἔστι δὴ οὖν καὶ ἄλλη τις ἡγεμονία παρ' αὐτοῖς τῶν περὶ γένεσιν ὅλων στοιχείων καὶ τῶν ἐν αὐτοῖς δυνάμεων, τεττάρων μὲν ἀρσενικῶν τεττάρων δὲ θηλυκῶν, ἥντινα ἀπονέμουσιν ἡλίῳ· καὶ ἄλλη τῆς φύσεως ὅλης τῆς περὶ γένεσιν ἀρχή, ἥντινα σελήνῃ διδόασι. κατὰ μέρη τε διαλαμβάνοντες τὸν οὐρανὸν εἰς δύο μοίρας ἢ τέτταρας ἢ δώδεκα ἢ ἓξ καὶ τριάκοντα ἢ διπλασίας τούτων ἢ ἄλλως ὁπωσοῦν αὐτὰς διαιροῦντες, ἡγεμονίας καὶ τούτων προτάττουσι πλείονας ἢ ἐλάττονας, πᾶσι δὲ αὐτὸν ὑπερέχοντα αὐτῶν ἕνα προτιθέασι. καὶ οὕτως ἄνωθεν ἄχρι

2. ποιητικοὶ C. 5. ὅλως B. 6. τεττάρων — θηλυκῶν] ad mentem Röthii (äg. Glaub. Not. 185. p. 166 et Not. p. 234 a. pag. 199) quattuor mares sunt hi: Mui, Osiris, Arueris (Horus), Typhon-Set (Ombte-Typhon); quattuor feminae hae: Taphne, Isis, Anath, Nephthys. ad mentem Lepsii (über die Götter der vier Elemente. 1856. p. 188) quattuor elementa hic indicantur, quae singula teste Seneca (nat. quaest. 3, 14) in marem et feminam divisa, ab Aegyptiis ad radices *nu he ka ni* referuntur. || ἀρρενικῶν ACD. 8. ἀρχῆς O. || κατὰ] καὶ τὰ C, καὶ τὰ μὲν κατὰ Reg. Fesch. 9—10. δύο — διπλασίας τούτων] duo hemisphaeria, quattuor caeli partes, duodecim zodiaci signa, triginta sex decanos, et septuaginta duo quinum graduum sectiones hic indicari monet Röth. äg. Gl. Not. 252 pag. 216. 10—11. ἢ ἄλλως — καὶ τούτων om. O. 12. πᾶσι] πάλιν A.

eum Phtha (Graeci vero hunc Phtha nominant Vulcanum, artem in eo solam considerantes), quatenus autem beneficus est dicitur Osiris, aliasque denominationes propter alias potestates habet.

Est et alius principatus apud illos super elementa tota in generatione posita virtutesque eorum, nam quattuor masculae totidemque femininae sunt; hunc soli tribuunt. item alius principatus super naturam omnem in generatione versantem, quem lunae assignant. dividentes vero caelum in partes duas vel quattuor vel duodecim vel sex atque triginta vel harum duplas vel aliter quomodocunque, duces his praeficiunt aut plures aut pauciores: denique his omnibus

τῶν τελευταίων ἡ περὶ τῶν ἀρχῶν Αἰγυπτίοις πραγματεία ἀφ' ἑνὸς ἄρχεται, καὶ πρόεισιν εἰς πλῆθος τῶν πολλῶν αὖθις ὑφ' ἑνὸς διακυβερνωμένων, καὶ πανταχοῦ τῆς ἀορίστου φύσεως ἐπικρατουμένης ὑπό τινος ὡρισμένου μέτρου καὶ τῆς ἀνωτάτω ἑνιαίας πάντων αἰτίας. ὕλην δὲ παρήγαγεν ὁ θεὸς ἀπὸ τῆς οὐσιότητος ὑποσχισθείσης ὑλότητος, ἣν παραλαβὼν ὁ δημιουργὸς ζωτικὴν οὖσαν τὰς ἁπλᾶς καὶ ἀπαθεῖς σφαίρας ἀπ' αὐτῆς ἐδημιούργησε, τὸ δὲ ἔσχατον αὐτῆς εἰς τὰ γεννητὰ καὶ φθαρτὰ σώματα διεκόσμησε.

Διευκρινηθέντων δὴ οὖν τούτων οὕτως, καὶ τῶν ἐν 4 *τοῖς συγγράμμασιν, οἷς λέγεις περιτετυχηκέναι, σαφής ἐστιν ἡ διάλυσις· τὰ μὲν γὰρ φερόμενα ὡς Ἑρμοῦ Ἑρμαϊκὰς περιέχει δόξας, εἰ καὶ τῇ τῶν φιλοσόφων γλώττῃ πολλάκις χρῆται· μεταγέγραπται γὰρ ἀπὸ τῆς Αἰγυπτίας γλώττης ὑπ' ἀνδρῶν φιλοσοφίας οὐκ ἀπείρως ἐχόντων. Χαιρήμων*

3. *διακυβερνομένων* A. ‖ *τῆς*] *τοῦ* O. 5. 6. *παρήγαγον* C. 16. *Χαιρήμων*] *χαιρὴ μὴν* C „reperi in meo *Χαιρήμην*" Gale not. haud dubie hic idem est Chaeremon Stoicus, quem Porphyrius (de abst. 4, 8) vocat virum veritatis studiosum et accuratum, Hieronymus (2 adv. Jovin. 13) virum eloquentissimum, Tzetzes (Chil. 5, 6) sacrorum scribam, qui teste Suida hieroglyphica conscripsit; alius esse videtur Chaeremon, Aelii Galli comes, a Strabone (p. 806) vile habitus, quippe qui rerum aegyptiacarum scientiam profitebatur, sed ob inscitiam et arrogantiam fere plurimum deridebatur.

unum praeficiunt qui omnibus superior sit. atque ita Aegyptiorum doctrina de principiis desuper ad inferiora progrediens ab uno incipit, et desinit in multitudinem unius imperio gubernatam, et prorsus omnis indeterminata in se natura definitur et continetur aliquo certo termino, hoc est a suprema illa uniente omnia causa. materiam quod attinet deus eam produxit dividendo materialitatem ab essentialitate; hanc materiam opifex deus accipiens vitalem ex ea simplices incorruptibilesque sphaeras fabricavit, ipsius vero quod erat postremum ad corpora generabilia et corruptibilia facienda transtulit.

His ita distincte traditis facilis est solutio dubiorum quae tu 4 reperisti in libris quos dicis te vidisse. nam scripta quae sub Hermetis nomine circumferuntur, continent quidem Hermetis opiniones,

δὲ καὶ εἴ τινες ἄλλοι τῶν περὶ τὸν κόσμον ἅπτονται πρώτων αἰτίων, τὰς τελευταίας ἀρχὰς ἐξηγοῦνται· ὅσοι τε τοὺς πλανήτας καὶ τὸν ζωδιακὸν τούς τε δεκανοὺς καὶ ὡροσκόπους καὶ τοὺς λεγομένους κραταιοὺς καὶ ἡγεμόνας παραδιδόασιν, τὰς μεριστὰς τῶν ἀρχῶν διανομὰς ἀναφαίνουσι. τά τε ἐν τοῖς Σαλμεσχινιακοῖς μέρος τι βραχύτατον περιέχει τῶν Ἑρμαϊκῶν διατάξεων· καὶ τὰ περὶ ἀστέρων ἢ φάσεων ἢ κρύψεων, ἢ σελήνης αὐξήσεων ἢ μειώσεων ἐν τοῖς ἐσχάτοις εἶχε τὴν παρ' Αἰγυπτίοις αἰτιολογίαν. φυσικά τε οὐ λέγουσιν εἶναι πάντα Αἰγύπτιοι, ἀλλὰ καὶ τὴν τῆς ψυχῆς ζωὴν καὶ τὴν νοερὰν ἀπὸ τῆς φύσεως διακρίνουσιν οὐκ ἐπὶ τοῦ παντὸς μόνον ἀλλὰ καὶ

1. *οἵτινες* ACD. 2. post *αἰτίων* A addit *εἰ*. 3. *δεκανοὺς*] triginta sex decanos, a Firmico et Hephaestione memoratos, ex inscriptionibus hieroglyphicis restituit Lepsius. Chronol. 1. p. 71. 4. *τοὺς λεγομένους κραταιοὺς*] Cabiros hic indicari censet Röth. äg. Glaub. Not. 159. p. 118. 5. *παραδίδωσι* O. || post *παραδιδόασιν* A add. *εἰ*. 6 *Σαλμεσχινιακοῖς*] sic BC et Hephaestio apud Salmasium de annis clim. 605, *μεσχινιακοῖς* (add. prima man. in marg. *σαλ*) D, *σαλαμινιακοῖς* A, *σαλμενισχιακοῖς* codices in Galei notis citati, *ἀλμενικιακοῖς* margo B, *Ἀλμενισχιακοῖς* Gale not., *Ἀλμενιχιακοῖς* O cum Porphyrio apud Eusebium pr. ev. 3, 4, 1. p. 102 Hein., in salaminiacis, Ficinus; de etymo aegyptiaco huius vocis a Jablonskii sollertia praetermissae nil constat. Salmasius l. l. persicam esse vocem perhibet, ab Arabibus mutatam in Almanach. cf. etiam Salmas. prolegom. ad Solinum.

licet lingua saepe utantur Graecorum philosophorum, nam a viris philosophiae peritis translata sunt ex lingua Aegyptiaca. Chaeremon sane et quotquot alii tangunt causas rerum mundanarum primas, principatus infimos describunt: qui vero de planetis zodiaco decanis horoscopis et potentibus stellis et ducibus tractant, particulares principatuum divisiones ostendunt. porro quae habentur in Salmeschiniacis partem exiguam constitutionum Hermeticarum continent. denique quae de stellarum ortu et occasu, quae de lunae incrementis et detrimentis feruntur, in postremis tractantur ab Aegyptiis, causarumque assignationem habent. sed nec omnia Aegyptii naturalia esse dicunt, nam vitam animalem et intellectualem a naturali discernunt non solum in mundo sed etiam in nobis: mentem et rationem

ἐφ' ἡμῶν· νοῦν τε καὶ λόγον προστησάμενοι καθ' ἑαυτοὺς ὄντας, οὕτως δημιουργεῖσθαί φασι τὰ γιγνόμενα· προπάτορά τε τῶν ἐν γενέσει δημιουργὸν προτάττουσι, καὶ τὴν πρὸ τοῦ οὐρανοῦ καὶ τὴν ἐν τῷ οὐρανῷ ζωτικὴν δύναμιν γιγνώσκουσι· καθαρόν τε νοῦν ὑπὲρ τὸν κόσμον προτιθέασι, καὶ ἕνα ἀμέριστον ἐν ὅλῳ τῷ κόσμῳ, καὶ διῃρημένον ἐπὶ πάσας τὰς σφαίρας ἕτερον. καὶ ταῦτα οὐδὲ λόγῳ ψιλῷ θεωροῦσιν, ἀλλὰ καὶ διὰ τῆς ἱερατικῆς θεουργίας ἀναβαίνειν ἐπὶ τὰ ὑψηλότερα καὶ καθολικώτερα καὶ τῆς εἱμαρμένης ὑπερκείμενα παραγγέλλουσι πρὸς τὸν θεὸν καὶ δημιουργόν, μήτε ὕλην προσποιουμένους μήτε ἄλλο τι προσπαραλαμβάνοντας ἢ μόνον καιροῦ παρατήρησιν.

Ὑφηγήσατο δὲ καὶ ταύτην τὴν ὁδὸν Ἑρμῆς· ἡρμή- 5
νευσε δὲ Βίτυς προφήτης Ἄμμωνι βασιλεῖ ἐν ἀδύτοις

5. γιγνώσκουσι] sic AD, γινώσκουσι O. 8. οὐδὲ] sic A, οὐδ' ὅλως O || λόγῳ ψιλῷ] sic A, ψιλῷ λόγῳ O, ψιλῷ BCD Fesch. Reg., ἴσως· ψιλοθεωροῦσι margo B, cf. Creuzer Symb. 2, 270. ed. tert. || διὰ] ἐπὶ ACD. 9. ὑψιλότερα D. 10. παραγγέλουσι A. 15. Βίτυς προφήτης] bitis, Ficinus. Bitys librorum Hermeticorum interpres alioquin ignotus infra 10, 7 recurrit. regem Aegypti antiquissimum Bitem, ab Eusebio armeno (1, 200 ed. Aucher) memoratum, eundem quam nostrum esse censet Bunsenius. Aeg. Stelle 1, 102; 5, 220—224. || Ἄμμωνι βασιλεῖ] inter reges Aegypti recensetur Ἀμμὼν ἡμίθεος. Afric. ex Maneth. apud Syncellum p. 19 P; 1, 33 Dind. cf. Mercurii Trism. Poemand. p. 89 ed. Turneb. ubi legitur ὅροι Ἀσκληπιοῦ πρὸς Ἄμμωνα βασιλέα. || Ἄμμονι A.

per se existere credunt, et sic cuncta fieri existimant. atque eorum quae sunt in genesi primum et praecipuum patrem affirmant esse opificem. quinetiam vim vitalem tum supra caelos tum in caelis agnoscunt: item purum intellectum collocant supra mundum, et unum impartibilem in toto mundo, et alium per omnes sphaeras distributum. neque sola ratione haec speculantur, sed etiam per religiosas operationes hortantur adscendere ad superiora universaliora et ad ea quae supra fatum, nempe ad deum ipsum opificem, neque materiam adfectantes, nec aliud quidquam praeter opportuni temporis observantiam afferentes.

Hermes autem etiam hanc ad superiora viam docuit eamque 5
Bitys propheta inventam in sacrariis ad Sain in Aegypto hierogly-

εὑρὼν ἀναγεγραμμένην ἐν ἱερογλυφικοῖς γράμμασι κατὰ Σάιν τὴν ἐν Αἰγύπτῳ· τό τε τοῦ ϑεοῦ ὄνομα παρέδωκε τὸ διῆκον δι' ὅλου τοῦ κόσμου· εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ περὶ τῶν αὐτῶν συντάξεις, ὥστε οὐκ ὀρϑῶς μοι δοκεῖς πάντα ἐπὶ φυσικὰ ἀνάγειν αἴτια τὰ παρ' Αἰγυπτίοις. εἰσί τε γὰρ ἀρχαὶ παρ' αὐτοῖς πλείονες καὶ περὶ πλειόνων οὐσιῶν, ὑπερκόσμιοί τε δυνάμεις ἃς καὶ διὰ τῆς ἱερατικῆς ἁγιστείας ἐϑεράπευσαν. ἐμοὶ μὲν οὖν κοινὰς ταῦτα δοκεῖ παρέχεσϑαι ἀφορμὰς εἰς τὴν διάλυσιν καὶ τῶν μετὰ ταῦτα ἐπιζητουμένων ὅλων. ἀλλ' ἐπεὶ δεῖ μηδὲν ἀνεξέταστον αὐτῶν παραλιπεῖν, προστιϑώμεϑα καὶ τούτοις τοῖς προβλήμασι, περικρούσωμέν τε αὐτὰ πανταχόϑεν, ἵν' εἰδῶμεν ὅπῃ σαϑρόν τι διαδοξάζει.

6 Λέγεις τοίνυν ὡς Αἰγυπτίων οἱ πλείους καὶ τὸ ἐφ' ἡμῖν ἐκ τῆς τῶν ἀστέρων ἀνῆψαν κινήσεως. τὸ δὲ πῶς ἔχει δεῖ διὰ πλειόνων ἀπὸ τῶν Ἑρμαϊκῶν σοι νοημάτων

2. Σάιν] σών C. 3. τὸ διῆκον δι' ὅλου τοῦ κόσμου] similiter apud Plutarchum de J. et O. 40. legitur τὸ δὲ δεκτικὸν (πνεῦμα) Ἄμμωνα, Δήμητραν δὲ καὶ Κόρην τὸ διὰ τῆς γῆς καὶ τῶν καρπῶν διῆκον. 4. περὶ τῶν] sic AC Reg., περὶ O. 6. τε] sic AC, om. O. 10. ἐπιζητημένων B, ἐπεζητημένων ACD. || δεῖ] δὴ D. 11. προσιστώμεϑα ACD. 15. ἀέρων (corr. ἀστέρων) CD.

phicis scriptam regi Ammoni exposuit; ut et tradidit, dei nomen significare id quod totum mundum pervadit. sed et aliae multae sunt earundem rerum ordinationes, adeo ut mihi videaris minus recte omnia Aegyptiorum scita ad causas naturales revocare. sunt enim apud eos principia plura et quidem super plures essentias, sunt et potestates supermundanae quas re sacra colebant. et haec mihi quidem videntur ostendere universalem quandam rationem ad omnia quae sequuntur dubia expedienda: sed quoniam horum nihil impervestigatum oportet praetermittere, addamus ea his problematis, et undequaque contundamus, ut videamus siquid minus sane opinatus fueris.

6 Dicis igitur esse communem Aegyptiorum sententiam quod liberum arbitrium pendeat a motu astrorum. hoc autem quomodo se habet oportet tibi pluribus explicare ex Hermetis opinionibus. homo

διερμηνεῦσαι. δύο γὰρ ἔχει ψυχάς, ὡς ταῦτά φησι τὰ γράμματα, ὁ ἄνθρωπος· καὶ ἡ μέν ἐστιν ἀπὸ τοῦ πρώτου νοητοῦ, μετέχουσα καὶ τῆς τοῦ δημιουργοῦ δυνάμεως, ἡ δὲ ἐνδιδομένη ἐκ τῆς τῶν οὐρανίων περιφορᾶς, εἰς ἣν ἐπεισέρπει ἡ θεοπτικὴ ψυχή· τούτων δὴ οὕτως ἐχόντων ἡ μὲν ἀπὸ τῶν κόσμων εἰς ἡμᾶς καθήκουσα ψυχὴ ταῖς περιόδοις συνακολουθεῖ τῶν κόσμων, ἡ δὲ ἀπὸ τοῦ νοητοῦ νοητῶς παροῦσα τῆς γενεσιουργοῦ κυκλήσεως ὑπερέχει, καὶ κατ' αὐτὴν ἥ τε λύσις γίνεται τῆς εἱμαρμένης καὶ ἡ πρὸς τοὺς νοητοὺς θεοὺς ἄνοδος, θεουργία τε ὅση πρὸς τὸ ἀγέννητον ἀνάγεται, κατὰ τὴν τοιαύτην ζωὴν ἀποτελεῖται.

Οὐκέτι δὴ οὖν, ὃ σὺ ἀπορεῖς, δεσμοῖς ἀλύτοις ἀνάγκης 7
ἣν εἱμαρμένην καλοῦμεν ἐνδέδεται πάντα· ἔχει γὰρ ἀρχὴν οἰκείαν ἡ ψυχὴ τῆς εἰς τὸ νοητὸν περιαγωγῆς, καὶ τῆς ἀποστάσεως μὲν ἀπὸ τῶν γιγνομένων, ἐπὶ δὲ τὸ ὂν καὶ τὸ θεῖον συναφῆς. οὐδ' αὐτοῖς θεοῖς τὴν εἱμαρμένην ἀνήψαμεν, οὓς ὡς λυτῆρας τῆς εἱμαρμένης ἔν τε ἱεροῖς καὶ ξοάνοις θεραπεύομεν. ἀλλ' οἱ μὲν θεοὶ λύουσι τὴν

5. *δὴ*] *δὲ* A. 8. *κυκλήσεως*] sic AC, *κυκλώσεως* Fesch, *κλήσεως* D, *κινήσεως* O, *ἀναλύσεως* Reg. 19. *ζοάνοις* O.

duas habet animas, quod ipsa Hermetis sacra scripta ostendunt; una est a primo intelligibili, participat etiam de potentia opificis, altera vero nobis inditur ex circuitu caelestium mundorum, ad quem anima deum speculatura revertitur. his ita positis anima quae nobis advenit a mundis, mundorum quoque obtemperat motibus, illa vero quae ab intelligibili derivatur adestque intelligibiliter, est quidem supra orbem geniturae, et iuxta hanc solvimur a fati vinculis et ad deos adscendimus intelligibiles, et theurgia omnis quae quidem ad ingenitum ducit iuxta hanc vitam perficitur.

Non igitur, quod disputas tu, omnia insolubilibus vinculis ne- 7
cessitatis quod fatum vocant subiicimus. habet sane anima principium in se proprium, quo possit ad intelligibile restituere se ipsam, et a generabilibus refugere, et ad id quod est, quodque divinum est, se ipsam connectere. sed nec diis ipsis fatum applicamus, quos tamquam fati averruncos in templis statuisque colimus. certe dii

εἱμαρμένην, αἱ δ' ἀπ' αὐτῶν ἔσχαται φύσεις καθήκουσαι καὶ συμπλεκόμεναι τῇ γενέσει τοῦ κόσμου καὶ τῷ σώματι τὴν εἱμαρμένην ἐπιτελοῦσιν· εἰκότως ἄρα τοῖς θεοῖς ἁγιστείαν πᾶσαν προσάγομεν, ὅπως ἂν μόνοι διὰ πειθοῦς νοερᾶς τῆς ἀνάγκης ἄρχοντες τὰ ἀπὸ τῆς εἱμαρμένης ἀποκείμενα κακὰ ἀπολύωσιν.

Ἀλλ' οὐδὲ πᾶν δέδεται ἐν τῇ φύσει τῆς εἱμαρμένης, ἀλλ' ἔστι καὶ ἑτέρα τῆς ψυχῆς ἀρχὴ κρείττων πάσης φύσεως καὶ γεννήσεως, καθ' ἣν καὶ θεοῖς ἑνοῦσθαι δυνάμεθα καὶ τῆς κοσμικῆς τάξεως ὑπερέχειν, ἀιδίου τε ζωῆς καὶ τῶν ὑπερουρανίων θεῶν τῆς ἐνεργείας μετέχειν. κατὰ δὴ ταύτην οἷοί τέ ἐσμεν καὶ ἑαυτοὺς λύειν. ὅταν γὰρ δὴ τὰ βελτίονα τῶν ἐν ἡμῖν ἐνεργῇ, καὶ πρὸς τὰ κρείττονα ἀνάγηται αὐτῆς ἡ ψυχή, τότε χωρίζεται παντάπασι τῶν κατεχόντων αὐτὴν εἰς τὴν γένεσιν, καὶ ἀφίσταται τῶν χειρόνων, ζωήν τε ἑτέραν ἀνθ' ἑτέρας ἀλλάττεται, καὶ δίδωσιν ἑαυτὴν εἰς ἄλλην διακόσμησιν τὴν προτέραν ἀφεῖσα παντελῶς.

1. καθίκουσαι ACD. 7. πᾶν δέδεται] sic A, πᾶν δέχεται CD, πάντα ἔχεται O, πάντα περιέχεται Tayl. 9. γενέσεως A, γνώσεως CD.

fatum solvunt, sed potentiae ab iis derivatae ultimae, quae etiam mundo et materiae implicantur, hae quidem fato obnoxiae sunt. merito igitur deos omni sanctimonia colimus, ut ipsi quidem soli per intellectualem suadelam dominantes necessitati, mala nobis a fato impendentia solvant.

Sed nec omnia quae sunt in natura alligantur fato, sed est et aliud principium animae, natura omni et generatione praestantius, per quod possumus diis uniri et ordinem mundanum supergredi et vitam aeternam deorumque caelestium operationes participare. per hoc possumus nos ipsi a fato liberare. quando enim pars nostri melior operari incipiat, et ad meliora genera elevetur anima, tunc prorsus separatur ab iis quae eam ad genituram deorsum trahebant, a deterioribus recedit, aliamque vitam pro hac adquirit, prioremque ordinem derelinquens in alium sese inserit.

Τί οὖν; οἷόν τέ ἐστι διὰ τῶν πολευόντων θεῶν λύειν ἑαυτόν, καὶ τοὺς αὐτοὺς ἡγεῖσθαι μοιρηγέτας καὶ δεσμοῖς ἀλύτοις τοὺς βίους δεσμεύοντας; κωλύει μὲν ἴσως οὐδὲν καὶ τοῦτο, εἰ τῶν θεῶν πολλὰς περιεχόντων οὐσίας καὶ δυνάμεις ἐν ἑαυτοῖς, ἐνυπάρχουσιν ἐν αὐτοῖς ἄλλαι τε ἀμήχανοι ὅσαι διαφοραὶ καὶ ἐναντιώσεις. οὐ μὴν ἀλλὰ καὶ τοῦτο ἔνεστι λέγειν, ὡς ἐν ἑκάστῳ τῶν θεῶν καὶ τῶν ἐμφανῶν εἰσί τινες οὐσίας νοηταὶ ἀρχαί, δι' ὧν γίνεται ἡ ἀπὸ τῆς γενέσεως τῶν κόσμων ταῖς ψυχαῖς ἀπαλλαγή. εἰ δ' ἄρα τις καὶ δύο γένη περικοσμίων τε καὶ ὑπερκοσμίων θεῶν ἀπολείποι, διὰ τῶν ὑπερκοσμίων ἔσται ταῖς ψυχαῖς ἀπόλυσις· ταῦτα μὲν οὖν ἐν τοῖς περὶ θεῶν ἀκριβέστερον λέγεται, τίνες τέ εἰσιν ἀναγωγοὶ καὶ κατὰ ποίας αὐτῶν δυνάμεις, πῶς τε τὴν εἱμαρμένην λύουσι καὶ διὰ τίνων ἱερατικῶν ἀνόδων, τάξις τε ὁποία τῆς κοσμικῆς ἐστι φύσεως, καὶ ὅπως ἡ νοερὰ ταύτης ἐπικρατεῖ τελειοτάτη ἐνέργεια· ὥστε οὐδ' ὅπερ ἐκ τῶν Ὁμηρικῶν σὺ παρέθηκας, τὸ στρεπτοὺς εἶναι τοὺς θεούς, ὅσιόν ἐστι φθέγ- 8

7. ἐν om. C. 9. ἡ om. O. ‖ ἀπαλλαγή] ἡ ἀπόλυσις AC. 14. πῶς] πᾶς B. 15. ἀνόων A. 18. στρεπτοὺς εἶναι τοὺς θεούς] στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί, Hom. Jl. 9, 497.

Quid igitur? numquid potest quis se ipsum a fato liberare ope deorum circumcurrentium, atque eosdem fati auctores existimare quique vitas nostras vinculis insolubilibus constringant? forte nihil prohibet ita rem esse, nam cum habeant dii in se multas essentias et potentias, mirum ni et infinitae differentiae in iis et contrarietates reperiantur. iam vero et hoc licet dicere, in unoquoque deorum etiam apparentium inesse intelligibilia principia, per quae animabus a mundorum genesi fuga ostendatur et liberatio. si quis autem duos tantum deorum ordines relinquat, mundanos scilicet et supermundanos, per hos sane animae liberari possunt: et haec omnia in tractatu de diis accuratius disputantur, tum quinam dii ad superos praecipue duces sunt et secundum quales suas potentias, quomodo fatum solvunt et per quos sacrorum ascensus, et qualis ordo sit naturae mundanae, et quo pacto intellectualis actio perfecta huic dominetur. atque adeo quod tu ex Homero laudas „dii ipsi flexibiles sunt" nos dictu nefas esse censemus; legibus namque sinceris et intellectualibus 8

γεσθαι. νόμοις γὰρ ἀχράντοις καὶ νοεροῖς ὥρισται πάλαι τὰ ἔργα τῆς ἱερᾶς ἁγιστείας, τάξει τε μείζονι καὶ δυνάμει λύεται τὰ καταδεέστερα, εἰς βελτίονά τε μεθισταμένων ἡμῶν λῆξιν ἀπόστασις γίνεται τῶν καταδεεστέρων· καὶ οὐ παρὰ τὸν ἐξ ἀρχῆς τι θεσμὸν ἐπιτελεῖται ἐν τῷ τοιῷδε, ἵνα μεταστραφῶσιν οἱ θεοὶ κατὰ τὴν ὕστερον γιγνομένην ἱερουργίαν, ἀλλ' ἀπὸ τῆς πρώτης καθόδου ἐπὶ τούτῳ κατέπεμψεν ὁ θεὸς τὰς ψυχάς, ἵνα πάλιν εἰς αὐτὸν ἐπανέλθωσιν. οὔτε οὖν μεταβολή τις γίνεται διὰ τῆς τοιαύτης ἀναγωγῆς οὔτε μάχονται αἱ κάθοδοι τῶν ψυχῶν καὶ αἱ ἄνοδοι. ὥσπερ γὰρ καὶ ἐν τῷ παντὶ τῇ νοερᾷ οὐσίᾳ ἡ γένεσις καὶ τὸ πᾶν τόδε συνήρτηται, οὕτω καὶ ἐν τῇ τῶν ψυχῶν διακοσμήσει τῇ περὶ γένεσιν αὐτῶν ἐπιμελείᾳ συμφωνεῖ καὶ ἡ ἀπὸ γενέσεως λύσις.

9, 1 *Φέρε δὴ οὖν καὶ τὴν πολύτροπον ἀπορίαν τὴν περὶ τοῦ ἰδίου δαίμονος ποικίλαις τε ἀντιλήψεσι χρωμένην*

6. τὴν] τὴν εἰς AC. 11. ἄνωδοι D. 11. 12. τῇ νοερᾷ] νοερῷ τῇ A.

iamdiu definita stant sancta religionis opera, semper haec inferiora per ordinem et superiorem potestatem solvuntur, et quamprimum in meliorem sortem evecti simus, protinus ab inferioribus fuga nobis datur. nec interim in hoc fit aliquid contra legem olim latam, ut dii videantur ex posterius facta sacra operatione mutati, sed iamdudum ab initio ideo deus animas demisit, ut ad se aliquando reverterentur. haec igitur reductio non arguit in deo mutationem nec pugnant descensus et ascensus animarum; sed quomodo in universo ab essentia intellectuali genesis et universum hoc dependet, sic et in animarum ordine ab earum ad genesin inclinatione pendet haec ipsa a genesi liberatio.

1 Age vero quaestionem illam de proprio daemone satis anfractuosam multisque obnoxiam obiectionibus conemur pro viribus nostris

ἀπευθύνειν πειραθῶμεν τὸν δυνατὸν ἡμῖν τρόπον. ὡς μὲν οὖν ἁπλῶς εἰπεῖν, διττῆς οὔσης περὶ τὸν ἴδιον δαίμονα πραγματείας, τῆς μὲν θεουργικῆς τῆς δὲ τεχνικῆς, καὶ τῆς μὲν ἀπὸ τῶν ἄνωθεν αἰτιῶν αὐτὸν ἐπικαλουμένης, τῆς δὲ ἀπὸ τῶν ἐν τῇ γενέσει φανερῶν περιόδων, καὶ τῆς μὲν οὐδὲν προσχρωμένης γενεθλιαλογίᾳ, τῆς δὲ ἐφαπτομένης καὶ τῶν τοιούτων μεθόδων, καὶ τῆς μὲν ὑπὲρ τὴν φύσιν καθολικώτερον, τῆς δὲ μεριστῶς κατὰ τὴν φύσιν αὐτὸν θεραπευούσης, ἀτόπως μοι σὺ δοκεῖς τὴν τελειοτέραν ἱερουργίαν ἐπὶ τὴν ἀνθρωπίνην ὑπενεχθῆναι, καὶ ἐπὶ ταύτης γυμνάσαι τὰς σαυτοῦ ἐρωτήσεις.

Ἔπειτα καὶ ἐνταῦθά μοι φαίνῃ βραχύ τι μόριον τῆς 2
περὶ αὐτὸν πραγματείας ἀποτέμνεσθαι· εἰωθότων γὰρ τῶν περὶ τὴν φύσιν ἐργοτεχνιτῶν ἀπό τε τῶν δεκανῶν καὶ τῶν λειτουργῶν ζωδίων τε καὶ ἄστρων, ἡλίου τε καὶ σελήνης, καὶ ἀπὸ τῶν ἄρκτων, ἀφ' ὅλων τε τῶν στοιχείων καὶ ἀπὸ τοῦ κόσμου καλεῖν αὐτὸν τεταγμένως, οὐκ ὀρθῶς

5. *φανερῶς* D. 8. *καθολικοτέρων* D. || *τῆς*] *τοῖς* C. 9. *αὐτῶν* (corr. ead. man. *αὐτὸν*) A, *αὐτῶν* CD. || *ἀτόπως*] *ἀτόμοι* B. || *μοι*] sic ACD, om. O. 11. *γυμνασίαι* D. || *σαυτοῦ*] *αὐτοῦ* C. 12. *φαίνει* D. 13. *αὐτῶν* D. || *ἀποτέμεσθαι* ACD. 14. *ἐργοτεχνιτῶν*] sic Velsenius, *ἐργοτεχνητῶν* O.

ordine tractare. cum autem ut simpliciter dicam, duplex sit tractatus de daemone cuique proprio, alter quidem sacer alter artificialis, ille daemonem a supernis causis deducit, hic a circuitibus qui in generatione conspiciuntur, ille nihil curat explorationem geniturae uniuscuiusque, hic vero huiusmodi operatur rationibus, denique ille universali modo et supernaturali, hic particulari et ex natura illum colit. inepte igitur tu mihi videris praestantiorem culturam ad humanum colendi modum transtulisse, inque eo duntaxat quaestiones tuas exercuisse.

Quid quod et hic exiguam tantum desumpsisti partem de dae- 2
mone hoc disputationis; nam cum ii qui circa naturam ad hoc artificiose operantur, soleant ordinate vocare daemonem a decanis et zodiaci animalibus influxum dispensantibus, tum etiam a stellis a sole et luna et ipsis polis, ab omnibus elementis et mundo universo,

σὺ καταγειμάμενος ἕν τι βραχύτατον τὸ τοῦ οἰκοδεσπότου μόριον, περὶ αὐτὸ τὰς ζητήσεις ἐποιήσω. καὶ ἐνταῦθα πάλιν ἀφ' ἑνὸς τοῦ προκειμένου καὶ τοῦτο διερευνήσασθαι, πῶς μὲν ὁ οἰκοδεσπότης αὐτὸν δίδωσι, κατὰ τίνα δὲ καὶ ποίαν ἢ ἀπόρροιαν ἢ ζωὴν ἢ δύναμιν εἰς ἡμᾶς ἀπ' αὐτοῦ καθήκει, περὶ γενεθλιαλογίας ποιεῖς τὸν λόγον, εἴτε ὑφέστηκεν εἴτε μή, καὶ περὶ εὑρέσεως τοῦ οἰκοδεσπότου, εἴτε ἀδύνατός ἐστιν εἴτε δυνατή· ταῦτα δὴ τίνα ἔχει λόγον πρὸς τὴν περὶ τοῦ δαίμονος ἐπικράτειαν; δῆλον γὰρ ὡς οὐδὲν διαφέρει πρὸς τὴν οὐσίαν αὐτοῦ καὶ τὴν αἰτίαν τὰ τοιαῦτα τὸ ἡμᾶς εἰδέναι πῶς ὑφέστηκε. καὶ γὰρ ἐπὶ τῶν ἐν τῇ φύσει γιγνομένων, κἂν μὴ τυγχάνωμεν ἐπιστάμενοι, γίνεται τὰ ἐν τῷ παντί· ὅμως ἔχει τὴν οἰκείαν ἕκαστα βεβαιότητα τῆς ἑαυτῶν οὐσίας. κοινῶς μὲν οὖν οὕτως πρὸς τὰς ἀπορίας ἀπηντήσαμεν· κατ' ἰδίαν δὲ θέντες ὅσα ἐπιζητεῖς, πειρασώμεθα περὶ αὐτῶν ἀποδοῦναί σοι τὰς διαλύσεις.

1. *τὸ*] sic ACD, om. O. 2. *ἐποίησα* A. 3. *τοῦτο*] sic A, *τοῦ* D, *τὸ* O. 4. 5. *δὲ καὶ ποίαν*] *δ' ἀτοπίαν* CD Reg. Fesch. 5. *ἀπόρρειαν* A. 6. *ποιῇ* ACD. 10. *καὶ τὴν αἰτίαν* om. ACD. 13. *τῷ παντί*] „aliquid deesse videtur“ Gale not. 14. *οὖν*] sic AC, om. O. 15. *οὕτως*] sic AC, *οὕτω* O. 16. *πειρασόμεθα* AD.

non recte facis qui brevissimam horum omnium sumendo partem, scilicet ipsius domini domus, hinc solam instituisti disputationem; et hic rursus ab hoc uno supposito quaeris, quomodo dominus domus posset ipsum daemonem dare, et iuxta quem et qualem sive influxum sive vitam sive potentiam ad nos ab eo descendat, de genitura prorsus verba faciens, utrum detur nec ne, et de inventione domini domus, utrum impossibilis inventu sit an possibilis. haec autem qua ratione faciunt ad daemonis inventionem? nam constat nihil ad eius essentiam et causam pertinere quod nos utique intelligamus quomodo subsistat: certe in rebus naturalibus etiamsi ignoremus, gignuntur universalia; unumquodque tamen propriam essentiae habet stabilitatem. atque hactenus generaliter ad tuas dubitationes occurrimus: iam vero particularius ponentes quaecunque disputas, ad ea respondere conabimur.

Φῄς γὰρ δὴ ὡς οὗτος ἦν ἄρα εὐδαίμων ὅστις μαθὼν τὸ σχῆμα τῆς αὑτοῦ γενέσεως τὰ εἱμαρμένα ἐκθύσαιτο γνοὺς τὸν ἑαυτοῦ δαίμονα· ἐμοὶ δὲ δοκεῖς ταῦτα οὐ πάνυ σύμφωνα λέγειν οὔτε αὐτὰ πρὸς ἑαυτὰ οὔτε πρὸς τὴν ἀλήθειαν· εἰ μὲν γὰρ ἀπὸ τοῦ σχήματος τῆς γενέσεως ἀπονενέμηται ἡμῖν ὁ δαίμων, κἀκεῖθεν αὐτὸν ἀνευρίσκομεν, πῶς ἂν ἀπολυσαίμεθα τὰ εἱμαρμένα διὰ τῆς γνώσεως τοῦ καθ' εἱμαρμένην ἡμῖν δοθέντος δαίμονος; εἰ δὲ ἐκθυόμεθα ὄντως τὰ ἀναγκαῖα, ὥσπερ δὴ σὺ λέγεις, διὰ τοῦ δαίμονος, πῶς ἔτι καθ' εἱμαρμένην ἡμῖν συγκεκλήρωται; 3

Μάχεται μὲν οὖν οὑτωσὶ τὰ νῦν εἰρημένα πρὸς ἑαυτά, πρὸς δὲ τὴν ἀλήθειαν διαφωνεῖ· ἐπειδὴ οὐ πάντως ἀπὸ τοῦ σχήματος τῆς ἰδίας γενέσεως ὁ οἰκεῖος ἑκάστῳ δαίμων ἐφήκει, ἀλλ' ἤν τις αὐτοῦ καὶ πρεσβυτέρα ἀρχὴ ταύτης, ἣν εἰσαῦθις μέτιμεν. καὶ διότι, εἰ μόνως ἐντεῦθεν ἐθεωρεῖτο κατιὼν ὁ δαίμων, οὐκ ἄρα ἦν εὐδαίμων

1. *εὐδαίμων*] *δαίμων* D. 2. 3. *ἐκθύσαιτο*] sic Fesch., *ἐκθήσαιτο* ABCD Reg., *ἐκλύσαιτο* O. 3. *τὸν* om. O. || *δοκῇς* D. 6. *ἀπονενήμηται* D. 8. *γενἔσεως* A. 9. *ἐκθυόμεθα*] sic ACD Fesch. Reg., *ἐκλυόμεθα* O. 12. *μὲν* om. O. || *οὑτωσὺ* D. 13. *ἑαυτά*] *αὐτά* O. 15. *δαιμόνων* B. || *τις* om. O. 16. *μόνως*] sic ACD, *μόνος* O. 17. *ἦν ἄρα* AD.

Asseris autem quod is demum felix futurus sit qui suae geniturae schemate intellecto, cognitoque proprio daemone fata sacrificiis placaverit. sed haec mihi quidem a te videntur ita dicta ut nec sibi nec veritati consonent. si enim a schemate geniturae tribuatur nobis daemon, atque inde ipsum deprehendamus, quonam pacto fatalia fugiemus per cognitionem daemonis fato nobis attributi? si vero, quod tu ais, per daemonem placamus fatalem necessitatem, quomodo istum nobis fato sortimur?

Sic igitur a te iam dicta pugnant secum, sed et veritati ipsi 3
adversantur. nam non a solo schemate geniturae cuique suus advenit daemon, sed alia altior eius origo est quam deinceps explicamus. item si hinc duntaxat daretur daemon qui descendit, non tamen proinde felix est, qui genitalis daemonis cognitionem asse-

ὁ τῆς τοῦ γενεσιουργοῦ δαίμονος εὐτυχήσας γνώσεως. τίς δ' ἂν καὶ ὁδηγὸν αὐτὸν λάβοι πρὸς τὴν τῶν εἱμαρμένων ἔκθυσιν, εἰ ἐπὶ τούτῳ δέδοται, ὥστε ἀποπληρῶσαι τὰ ἀπὸ τῆς εἱμαρμένης ἀπονεμόμενα;

Ἔτι δ' ἔμοιγε δοκεῖ μέρος τι τῆς τοῦ δαίμονος θεωρίας καὶ τοῦτο ἔσχατον εἶναι τὸ τοιοῦτον, τὸ δ' ὅλον αὐτοῦ τῆς οὐσίας παραλείπεσθαι κατὰ τὴν τοιαύτην μέθοδον. ἀλλὰ ταῦτα μέν, εἰ καὶ ψευδῶς εἴρηται, ὅμως οὐκ ἔχει γέ τινα ἀλλοτριότητα, τὰ δ' ἐφεξῆς περὶ τῆς τῶν κανόνων διαριθμήσεως καὶ περὶ τῆς ἐπιστήμης τῆς γενεθλιαλογικῆς ἀπορηθέντα, ὥς εἰσιν ἀκατάληπτα, οὐδεμίαν ἔχουσι πρὸς τὸ προκείμενον ἀμφισβήτησιν· εἴτε γὰρ γνώριμοι εἴτε ἀκατάληπτοί εἰσιν αἵδε αἱ τέχναι, ὅμως ἡ ἀπὸ τῶν ἄστρων ἀπόρροια ἀπονέμει τὸν δαίμονα, ἄν τε ἡμεῖς γιγνώσκωμεν ἄν τε μή· δύναται δὲ ἡ θεία μαντικὴ διδάσκειν ἡμᾶς περὶ τῶν ἄστρων κατ' αὐτὸ τὸ ἀληθέστατον, καὶ οὐ πάντως δεόμεθα τῆς τῶν κανόνων διαριθμήσεως ἢ τῆς μαντικῆς τέχνης.

3. ἔκλυσιν O. 6. ὅλων D. 11. ἀκατάληπτοι ABCD. 11. 12. οὐδὲ μίαν A. 13. τέχναι] τύχαι A. || ἡ] οἱ A. 15. γιγνώσκωμεν] sic A, γινώσκωμεν D, γινώσκομεν O. 18. τῆς om. C.

quitur. ecquis enim sibi ducem ad fatalia placanda optaret, si datus sit in hunc ipsum finem, ut fatalia impleat?

Praeterea videtur mihi quidem haec tantum pars esse eaque ultima istius speculationis, quae solet esse de daemone, totumque adeo quod ad eius essentiam spectat, praetermitti hac ratione. sed haec non prorsus abhorrent ab instituto, quanquam falso dicantur, illa vero quae deinceps de canonum astrologicorum numero innumerabili, deque genethliaca scientia dubitando adfers, ad institutum hoc nihil habent difficultatis; sive enim istae artes a nobis intelligi possunt sive prorsus imperscrutabiles sunt, sane influxus stellarum daemonem nobis tribuet, nos intelligamus id necne. potest autem divinum vaticinium de stellis id quod certissimum docere, ut non opus habeamus ista canonum dinumeratione aut arte vaticinatrice.

Εἰ δὲ δεῖ καὶ τούτων ἀπαλλαγέντας ἐκεῖνο εἰπεῖν, 4 οὐ καλῶς μοι δοκεῖς τὸ ἀδύνατον εἰς γνῶσιν τῆς μαθηματικῆς ἐπιστήμης συλλογίζεσθαι, διότι πολλὴ διαφωνία περὶ αὐτὴν γέγονεν, ἢ ὅτι ὁ Χαιρήμων ἢ ἄλλος τις πρὸς αὐτὴν ἀντείρηκεν. ἐπεὶ τούτῳ γε τῷ λόγῳ πάντα ἔσται ἀκατάληπτα. μυρίους γὰρ ἐσχήκασιν αἱ ὅλαι ἐπιστῆμαι τοὺς ἀμφισβητοῦντας, καὶ τὰ ἐν αὐταῖς ἀπορήματα ἀναρίθμητα γέγονεν. ὥσπερ οὖν πρὸς τοὺς ἐριστικοὺς εἰώθαμεν ἀντιλέγειν, ὅτι δὴ καὶ τοῖς ἀληθέσι τἀναντία πέφυκε διαστασιάζειν, καὶ οὐ μόνα τὰ ψευδῆ πρὸς ἄλληλα μάχεται, οὕτω καὶ περὶ τῆς μαθηματικῆς ἀντεροῦμεν, ὡς ὑπάρχει μὲν ἀληθής, οἱ δὲ πλανώμενοι περὶ αὐτῆς οὐδὲν εἰδότες τῶν ἀληθῶν ἀντιλέγουσι. συμβέβηκε δὲ τοῦτο οὐ περὶ ταύτην μόνην, ἀλλὰ καὶ περὶ πάσας ἐκ θεῶν παραδοθείσας ἀνθρώποις ἐπιστήμας· προϊόντος γὰρ ἀεὶ τοῦ χρόνου, πολλῷ τῷ θνητῷ καὶ πολλάκις ἀνακεραννύμεναι, ἐξίτηλον τὸ θεῖον ἦθος τῆς γνώσεως ἀπεργάζονται.

Ἔνεστι μέντοι καὶ εἰ βραχὺ τοῦτο, ἔστιν ὅμως ἐναργὲς

6. ἀκατάλυπτα C. 9. τἀναντία] ταντία D. 17.18. ἀπεργάζεται Gale not. 19. ἐνεργές O.

Sed si his relictis illud addere oporteat, mihi quidem non recte 4 videris colligere, mathematicae scientiae huiusmodi impossibilem esse comprehensionem, quod in ea multa sit disputatio, quodque Chaeremon forte aut aliquis alius argumentatus sit contra eam. hoc enim argumento omnia erunt prorsus incomprehensibilia; omnes quippe scientiae innumeros habent litigatores, et in iis infinita dubitationum seges nascitur. quemadmodum igitur solemus eristicis reponere: veritati naturaliter repugnant contraria, et non tantum ipsa sibi invicem falsa: idem dicemus de hac mathesis parte, ipsa quidem vera est, qui autem ab ea aberrant atque adeo a veritate alieni sunt, ei contradicunt. et hoc non solum evenit in hac, sed in aliis omnibus divinitus datis scientiis; progressu enim temporis divinus scientiae in iis character paulatim evanescit, propterea quod saepe multumque humanis opinionibus contaminentur.

Est quidem in astrologia, et quanquam tenue sit, vestigium hoc

τι τεκμήριον τῆς ἀληθείας διασώζειν. ἐπεὶ καὶ τῆς τῶν θείων περιόδων ἀναμετρήσεως ἐν ὀφθαλμοῖς ἐστὶ κατάδηλα τὰ σημεῖα, ὁπόταν ἐκλείψεις ἡλίου καὶ σελήνης καὶ παραβολὰς πρὸς τοὺς ἀπλανεῖς ἀστέρας τῆς σελήνης προμηνύῃ, καὶ συνομολογουμένη φαίνηται τῇ προσημασίᾳ τῆς ὄψεως ἡ πεῖρα. οὐ μὴν ἀλλὰ καὶ αἱ διὰ παντὸς τοῦ αἰῶνος σωζόμεναι τῶν οὐρανίων τηρήσεις παρά τε Χαλδαίοις καὶ παρ' ἡμῖν συμμαρτυροῦσι πρὸς τὴν ἀλήθειαν τῆς ἐπιστήμης ταύτης. ἔχοι δ' ἄν τις καὶ γνωριμώτερα τούτων ἐπιδεικνύναι τεκμήρια, εἰ περὶ τούτων προηγουμένως ὁ λόγος γίγνοιτο· ἀλλ' ἐπεὶ περιττά ἐστι καὶ οὐδὲν προσήκοντα πρὸς τὴν περὶ τοῦ δαίμονος ἐπίγνωσιν, ἀφίημι αὐτὰ εἰκότως. ἐπὶ δὲ τὰ οἰκειότερα τούτων μέτειμι.

5 Φῂς γὰρ δὴ κατὰ τὸ σὸν γράμμα τῆς ἐπιστολῆς, ὡς ἡ τοῦ οἰκοδεσπότου τῆς γενέσεως λῆψις, ἢ τῶν οἰκοδεσποτούντων εἰ πλείους εἶεν ἑνός, σχεδὸν καὶ παρ' αὐτοῖς ὁμολογεῖται εἶναι ἀκατάληπτος, ἀφ' οὗ δή φασιν ἐνεῖναι τὸν οἰκεῖον καταμαθεῖν δαίμονα. καὶ πῶς ὁμολογεῖται

3. ἐκλείψει C. 5. προμηνύει O. || φαίνηται] sic Velsenius, φαίνεται O. 7. σωζόμενα D. 13. ἐπεὶ B.

veritatis servat manifestum. quoniam evidentia dat signa verae caelestium circuitionum mensurationis, quoties praedicit solis et lunae defectus aut lunae aspectus ad planetas, quam quidem praedictionem testimonio suo autopsia satis confirmat. quinimo multorum saeculorum de rebus caelestibus observationes tum apud Chaldaeos tum apud nos diligenter conditae testantur hanc esse veram scientiam. possit etiam quis manifestiora his adferre indicia, si hic eo fine institutus esset sermo; sed quia supervacanea sunt nihilque faciunt ad daemonem cognoscendum, libenter ea omitto, et transeo ad ea quae sunt ad hanc rem propiora.

5 Ais tu quantum colligo ex epistola abs te scripta, domus dominum in nativitate, vel dominos si plures uno sint, ipsis fatentibus astrologis non posse certo deprehendi, et tamen inde proprium daemonem esse quaerendum. at enim quomodo confitentur ii domus

εἶναι παρ' αὐτοῖς ἡ τοῦ οἰκοδεσπότου γνῶσις ἀκατάληπτος, ὁπότε μεθόδους παραδεδώκασι περὶ τῆς εὑρέσεως αὐτοῦ σαφεῖς, ἐπί τε τῶν ἀμφισβητουμένων στοιχεῖα πρὸς τὴν διάκρισιν ἀναδιδάσκουσιν οἱ μὲν πέντε οἱ δὲ καὶ πλείονα τούτων οἱ δὲ ἐλάττονα; πλὴν ἵνα τοῦτο παρῶμεν, ὡς μεῖζον ἔργον ἐπ' ἀμφότερα τὰ συμβαίνοντα σκεψώμεθα· εἴτε γὰρ δυνατὸν εὑρεῖν τὸν οἰκοδεσπότην τῆς γενέσεως, ἔστι δήπου καὶ ὁ ἀπ' αὐτοῦ διδόμενος δαίμων γνώριμος· εἴτε ἀκατάληπτός ἐστιν, ἡμεῖς μὲν αὐτὸν ἀγνοοῦμεν κατά γε τὴν ὑπόθεσιν ταύτην. οὐδὲν δὴ ἧττον ὅ τε οἰκοδεσπότης ἐστὶ καὶ ὁ ἀπ' αὐτοῦ διδόμενος δαίμων. τί οὖν κωλύει διὰ γενεθλιαλογίας μὲν δύσκολον αὐτὸν εἶναι εἰς εὕρεσιν, διὰ τῆς ἱερᾶς δὲ μαντείας ἢ θεουργίας εὐπορίαν εἶναι πολλὴν εἰς ἐπιστήμην; ὅλως δὲ οὐδὲ ἀπὸ τοῦ οἰκοδεσπότου μόνου ἐνδίδοται, ἀλλὰ πολλαί εἰσιν ἀρχαὶ αὐτοῦ καθολικώτεραι ἢ κατὰ τὸν οἰκοδεσπότην. ἔτι δὲ ἡ τοιαύτη μέθοδος τεχνικήν τινα εἰσάγει καὶ ἀνθρωπίνην τὴν περὶ τὸν ἴδιον δαίμονα πραγματείαν· οὐδὲν ἄρα ὑγιὲς ἐν τούτοις διαπορεῖς.

7. τὸν om. AC. || οἰκοδεσπότου A. 8. δήπου] sic AC, δὴ O. 12. δίσκολον D. 13. εὕρεσιν] sic C, εὕρησιν O. || δὲ om. O. 14. οὐδὲ om. D.

dominum esse impervestigabilem, qui quidem methodum facilem de eo inveniendo tradiderunt, et simul in dubiis ad exactam crisin canones, hi quidem quinque, alii autem plures, pauciores alii docent? sed mittamus quoque hoc, et consideremus quod maius est, quae utrinque accidere possint. sive enim domus dominus in nativitate inveniri possit, erit quoque qui ab eo datur cognoscibilis daemon; sive sit impervestigabilis, nos quidem ex hac hypothesi eum ignoramus. nihilominus erit utcunque tum domus dominus tum daemon ab eo descendens. potest ergo difficile esse eum invenire ex genethliacorum regulis; eiusdem facilis erit cognitio per sacrum vaticinium et theurgiam. omnino vero daemon ille non a solo domino domus datur, sed aliae sunt eius origines, eaeque universaliores, quam est domus dominus. quid quod huiusmodi methodus artificiosam quandam et plane humanam infert operationem circa daemonem proprium. quare nihil recti continet haec tua dubitatio.

6 Εἰ δὲ δεῖ σοι τὸν ἀληθῆ περὶ τοῦ οἰκείου δαίμονος λόγον ἀποκαλύψαι, οὐκ ἀφ' ἑνὸς μέρους τῶν ἐν τῷ οὐρανῷ οὐδ' ἀπό τινος στοιχείου τῶν ὁρωμένων ἀπονέμεται ἡμῖν οὗτος, ἀφ' ὅλου δὲ τοῦ κόσμου καὶ τῆς παντοδαπῆς ἐν αὐτῷ ζωῆς καὶ τοῦ παντοδαποῦ σώματος, δι' ὧν ἡ ψυχὴ κάτεισιν ἐπὶ τὴν γένεσιν, ἀπομερίζεταί τις ἐν ἡμῖν μοῖρα ἰδία πρὸς ἕκαστον τῶν ἐν ἡμῖν ἀπομεριζομένη κατ' ἰδίαν ἐπιστασίαν. οὗτος δὴ οὖν ὁ δαίμων ἕστηκεν ἐν παραδείγματι πρὸ τοῦ καὶ τὰς ψυχὰς κατιέναι εἰς γένεσιν· ὃν ἐπειδὰν ἕληται ἡ ψυχὴ ἡγεμόνα, εὐθὺς ἐφέστηκεν ὁ δαίμων ἀποπληρωτὴς τῶν βίων τῆς ψυχῆς, ὃς καὶ εἰς τὸ σῶμα κατιοῦσαν αὐτὴν συνδεῖ πρὸς τὸ σῶμα, καὶ τὸ κοινὸν ζῶον αὐτῆς ἐπιτροπεύει, ζωήν τε τὴν ἰδίαν τῆς ψυχῆς αὐτὸς κατευθύνει, καὶ ὅσα λογιζόμεθα, αὐτοῦ τὰς ἀρχὰς ἡμῖν ἐνδιδόντος, διανοούμεθα, πράττομέν τε τοιαῦτα οἷα ἂν αὐτὸς ἡμῖν ἐπὶ νοῦν ἄγῃ, καὶ μέχρι τοσούτου κυβερνᾷ τοὺς ἀνθρώπους, ἕως ἂν διὰ τῆς ἱερατικῆς θεουργίας θεὸν ἔφορον ἐπιστήσωμεν καὶ ἡγεμόνα τῆς

4. δὲ] δὴ C. 6. τις] τῆς BD. 11. ὃς καὶ om. ABCD; sed post σῶμα AC addunt τε οὖν, D addit τε. 18. ἐπιστησώμεθα (corr. ead. man. ἐπιστήσωμεν) A.

6 Quodsi de proprio daemone verum tandem sermonem aperire debeam, is sane daemon non distribuitur nobis a certa aliqua caeli parte aut elemento sensibili, sed decerpitur illa portio a totius mundi dispositione nec non vitae omnigenae in eo et corporum omnium, regnante tum cum anima per ea ad generationem descendit; haec autem portio sic decerpta in nobis propriam quandam sortitur in nostra omnia praefecturam. hic igitur daemon praeextiterat in paradigmate priusquam in genesin descenderet anima; hic ubi primum pro duce anima sibi adsciverit eum, statim animae adest, eiusque vitalia opera exequitur, ipsam ad genesin descendentem corpori alligat, totum in communi animal regit, vitamque animae propriam gubernat, quaeque cogitamus ab eo principium habent, et ea agimus quae nobis in mentem is induxerit, denique eatenus nos gubernat, quoad sacris perfectis pro daemone deum animae custodem et ducem

ψυχῆς· τότε γὰρ ἢ ὑποχωρεῖ τῷ κρείττονι ἢ παραδίδωσι τὴν ἐπιστασίαν, ἢ ὑποτάττεται, ὡς συντελεῖν εἰς αὐτὸν, ἢ ἄλλον τινὰ τρόπον ὑπηρετεῖ αὐτῷ ὡς ἐπάρχοντι.

Ἀπὸ δὴ τούτων ῥᾳδίως ἀποκρινοῦμαί σοι καὶ πρὸς 7
τὸ ἐφεξῆς ἐρώτημα. οὐ γάρ τινος τῶν ἐν ἡμῖν μέρους, πάντων δ' ἅπαξ ἁπλῶς ἡγεῖται, διήκει τε ἐπὶ πᾶσαν τὴν ἐφ' ἡμῖν ἀρχήν, ὥσπερ ἀφ' ὅλων τῶν ἐν τῷ παντὶ διατάξεων ἀπονενέμηται. καὶ γὰρ ὅπερ σοι δοκεῖ παρατίθεσθαι τεκμήριον τὸ περὶ τῶν κατὰ μέρη τοῦ σώματος ἐφεστηκότων δαιμόνων ὑγείας καὶ τοῦ εἴδους καὶ τῆς ἕξεως τῆς ἐν αὐτοῖς ὄντων συνοχέων καὶ ἑνὸς τοῦ ἐπὶ πᾶσι κοινῶς ἐπιβεβηκότος προστάτου, τοῦτο ποιοῦ δεῖγμα τῆς εἰς ἕνα δαίμονα πάντων τῶν ἐν ἡμῖν ἀνηκούσης προστασίας· μὴ τοίνυν διαίρει τὸν μὲν σώματος τὸν δὲ ψυχῆς τὸν δὲ νοῦ δαίμονα. καὶ γὰρ ἄτοπον, εἰ τὸ μὲν ζῷον ἕν ἐστιν, ὁ δὲ ἐφεστηκὼς αὐτῷ δαίμων πολυειδής· καίτοι πανταχοῦ τὰ ἄρχοντα τῶν ἀρχομένων ἐστὶν ἁπλούστερα· ἀτοπώτερον δ' ἔτι τούτου, εἰ μὴ συμφυῆ, διῃρημένα δ' ἔσται

8. ἀπονενόμηται B. ‖ σοι] σὺ ACD. ‖ δοκεῖ om. ACD. 9. post τῶν O add. θεῶν. 12. τούτου A. 13. εἰς om. C. 14. δὲ] τε A. 18. εἰ] sic A, εἰ δὲ O.

adipiscamur. tunc enim daemon vel prorsus cedit meliori traditque provinciam, aut subiicitur ei ita ut conferat ei aliquid, aut alio quovis modo ei subministret tamquam superiori.

Atque ex his etiam ad sequentem quaestionem facilis habetur 7
responsio. non enim unam aliquam partem in nobis, sed omnes simul et sine discrimine regit, extenditque se ad omnia nostrarum actionum principia, quemadmodum ipse ab universis mundi ordinibus nobis erat datus. quod igitur tu tamquam coniectando proponis, ac si plures essent daemones corporis nostri partibus praesidentes, ita ut unus valetudinem curet alius pulchritudinem caeterosque in iis habitus, quodque super hos omnes unus communis esset praeses, id velim habeas pro argumento quod unus est revera daemon qui omnia quae in nobis sunt gubernat. noli igitur alium corpori alium animae, intellectui alium daemonem attribuere; est enim hoc absurdum, ut sit animal unum, praefectus autem daemon multiplex. nam et ea quae regunt semper sunt simpliciora subditis; sed et illud adhuc

χωρὶς ἀπ' ἀλλήλων τὰ ἐπάρχοντα μόρια τῶν πολλῶν δαιμόνων. ποιεῖς δὲ καὶ ἐν αὐτοῖς ἐναντίωσιν τῶν μὲν ὡς ἀγαθῶν τῶν δὲ ὡς φαύλων, οὐδαμοῦ τῶν κακῶν ἡγεμονικὴν ἐχόντων λῆξιν οὐδὲ ἰσαξίως ἀντιδιαιρουμένων τοῖς ἀγαθοῖς.

8 Ἔπειτα τούτων ἀποστὰς ἐπὶ μὲν τὴν φιλόσοφον ἀπολισθαίνεις δόξαν, ἀνατρέπεις δὲ τὴν ὅλην περὶ τοῦ ἰδίου δαίμονος ὑπόθεσιν. εἰ γὰρ μέρος ἐστὶ τῆς ψυχῆς, οἷον τὸ νοερόν, καὶ οὗτός ἐστιν εὐδαίμων ὅστις νοῦν ἔχοι σοφόν, ἔτι ἑτέρα τάξις οὐδεμία κρείττων ἔσται ἢ δαιμόνιος, ἐπιβεβηκυῖα τῆς ἀνθρωπίνης ψυχῆς ὡς ὑπερέχουσα. μέρη δέ τινα τῆς ψυχῆς ἢ δύναμις διῃρημένως κυριωτέρα ἔσται τῶν πλειόνων εἰδῶν τῆς ἐν ἡμῖν ζωῆς, καὶ ταῦτα συμφυῶς, ἀλλ' οὐχ ὡς ἐξῃρημένα κατὰ φύσιν ἡμῶν τῆς ὅλης συστάσεως ἐπάρχοντα.

6. φιλόσοφον] sic ACD, φιλοσοφίαν B, φιλοσοφίας O. 6. 7. ἀπολισθάνεις AC, ἀπολισθένειν D, ἐπολισθαίνεις Gale not. 9. τὸ νοερὸν] τὸν νοερὸν D. 9—10. εὐδαίμων—ἔτι om. B. || ὅστις νοῦν etc.] ὁ τὸν νοῦν ἔχων ἔμφρονα οὐκέτι ἐστὶν ἑτέρα (ἕτερα A) τάξις οὐδεμία κρείττων ἢ δαιμόνιος (δαίμονος A) ἐπιβεβηκυῖα (ἐπιβεβιῖα A) ACD. 11. ψυχῆς om. AD. 13. ταῦτα] sic ACD, ταῦτα οὐ O. 13. 14. ἐμφυῶς Gale not. 14. οὐχ] sic AC, om. O. 15. ἐπάρχοντα] sic AC, ὑπερέχοντα O, ὑπάρχοντα BD et Gale not.

absurdius est, si non coniunctos inter se sed dispersos hos daemonas plures qui partibus imperitant constituas. introducis autem et in ipsis pugnam, tamquam dominantium daemonum alii boni alii mali sint, cum tamen mali spiritus nusquam praefecturas habeant nec pares vel auctoritate vel numero ex adverso bonorum distributi sint.

8 Mox his relictis in philosophicam delaberis speculationem, sed ita ut totam de daemone proprio subvertas hypothesin. si enim, quod ais, daemon ille sit animae quaedam pars velut intellectus, et is felix sit quisquis mente praeditus sit sapienti, non erit sane alius ordo melior illo ad daemonem pertinente et praesidente humanae animae tamquam praestantior; sed partes quaedam aut forte potentia quaedam tamquam divisa, omnium vitae in nobis rationum dominae erunt: idque adeo, cum omnia in nobis sint cognata, et pars nulla naturaliter tamquam separata toti compagi imperitet.

Μνημονεύεις τοίνυν μετὰ τοῦτο καὶ ἄλλης πραγματείας περὶ τὸν ἴδιον δαίμονα, τῆς μὲν ὡς πρὸς δύο τῆς δὲ ὡς πρὸς τρεῖς ποιουμένης τὴν θεραπείαν. αὕτη δ' ἐστὶ πᾶσα διημαρτημένη. τὸ γὰρ διαιρεῖν ἀλλὰ μὴ εἰς ἓν ἀνάγειν τὰ ἐφεστηκότα ἡμῖν αἴτια ψεῦδός ἐστι, καὶ διαμαρτάνει τῆς ἐν πᾶσιν ἐπικρατούσης ἑνώσεως. καὶ ἡ μερίζουσα δ' αὐτὸν εἰς τὸ σῶμα δόξα καὶ τὴν τοῦ σώματος προστασίαν, εἰς μέρος τι τὸ βραχύτατον αὐτοῦ καθέλκει τὴν ἡγεμονίαν. ὥστε τί δεῖ τὰς ἐχομένας τῆς τοιαύτης δόξης ἱερουργίας ἐπισκοπεῖν, αὐτῆς τῆς πρώτης αὐτῶν ἀρχῆς σαθρᾶς οὔσης; εἷς μὲν οὖν ἐστι καθ' ἕκαστον ἡμῶν ὁ οἰκεῖος προστάτης δαίμων, κοινὸν δὲ καὶ τὸν αὐτὸν πάντων ἀνθρώπων οὐ δεῖ αὐτὸν ὑπολαμβάνειν, οὐδ' αὖ κοινὸν μέν, ἰδίως δὲ ἑκάστῳ συνόντα· ἡ γὰρ κατ' εἶδος ἕκαστον διαίρεσις καὶ ἡ τῆς ὕλης ἑτερότης οὐκ ἐπιδέχεται τὴν τῶν καθ' αὑτὰ ἀσωμάτων κοινότητά τε καὶ ταὐτότητα· διὰ τί οὖν κοινῇ κλήσει καλεῖται ὑπὸ πάντων; ὅτι καθ' ἕνα τὸν κύριον θεὸν τῶν δαιμόνων ἡ κλῆσις αὐτῶν γίνεται, ὃς ἐξ ἀρχῆς τε ἀφώρισε τοὺς ἰδίους δαίμονας 9

2. ἴδιον] ἀΐδιον CD. 3. αὕτη] sic ACD, ἡ O, ἂν B. 5. τὰ om. O. || ante ἡμῖν C add. τὰ 12. ὁ om. O. || καὶ] sic A, ἢ C et Gale not.; om. O. 19. ἐφώρισε D.

Commemoras deinceps aliam disputationem de proprio daemone, ac si alii duos alii tres colerent. sed et haec tota falsa est. causas enim nobis praesidentes partire et non ad unum revocare est ideo error, quoniam recedit ab unitate quae omnibus praeest. quinimo et ea opinio quae daemonem corpori corporisque curae attribuit, eius quidem praefecturam nimium quantum coarctat. quare quid opus religiosum cultum ex hac opinione ortum amplius considerare, cum ipsa eius principia sana non sint? unus est igitur uniuscuiusque nostri proprius daemon gubernator, communem vero penitus, omniumque hominum eundem esse non oportet existimare, sed nec in sua quidem natura communem, propria vero conditione unicuique copulatum. nam differentia essentialis et materiae diversitas non capit communitatem et identitatem rerum per se incorporearum. quare igitur inquies communi modo invocamus daemonem? quoniam scilicet per deum unum dominum daemonum agitur eorum invocatio, 9

ἑκάστοις, καὶ δὴ καὶ ἐν ταῖς ἱερουργίαις ἀναφαίνει κατὰ τὴν ἰδίαν βούλησιν τοὺς ἰδίους ἑκάστοις. ἀεὶ γὰρ ἐν τῇ θεουργικῇ τάξει διὰ τῶν ὑπερεχόντων τὰ δεύτερα καλεῖται· καὶ ἐπὶ τῶν δαιμόνων τοίνυν εἷς κοινὸς ἡγεμὼν τῶν περὶ τὴν γένεσιν κοσμοκρατόρων καταπέμπει τοὺς ἰδίους δαίμονας ἑκάστοις. ἐπειδὰν μέντοι παραγένηται ὁ οἰκεῖος ἑκάστῳ, τότε καὶ τὴν ἰδίαν θεραπείαν ἑαυτοῦ καὶ τὸ σφέτερον ὄνομα ἐμφαίνει, τρόπον δὲ τῆς ἰδίας κλήσεως τὸν ἴδιον παραδίδωσι.

10 *Καὶ αὕτη τάξις ἐστὶν ἡ πρόσφορος τῶν δαιμόνων· ἡ μὲν συγγενὴς οὖσα τοῖς καλουμένοις, ἡ δ' ἀπὸ τῶν πρεσβυτέρων αἰτίων καθήκουσα, τρίτη δὲ κοινὴν ποιουμένη τὴν ἀπ' ἀμφοτέρων τούτων συντέλειαν. μὴ τοίνυν ἀφομοίου τὰς θείας κλήσεις ταῖς ἀνθρωπίναις μηδὲ τὰς ἀρρήτους ταῖς ῥηταῖς, μηδὲ τὰς πρὸ παντὸς ὅρου καὶ παντὸς ἀορίστου τρόπου ταῖς παρ' ἀνθρώποις παράβαλλε ὡρισμέναις ἢ ἀορίστοις προστάξεσιν. οὐδὲν γὰρ ἔχει κοινὸν τὰ παρ' ἡμῖν τῷ ὅλῳ γένει, καὶ καθ' ὅλην τὴν τάξιν*

4. *κεινὸς* D. 6. *παραγίνηται* A, *παραγίνεται* D. 8. *ἐκφαίνει* A. 14. *ἀφ' ὁμοίου* B, *ἀφομίου* D. 18. *καὶ* om. C.

qui et a principio suum cuique daemonem definivit, quique in sacris operationibus secundum propriam voluntatem suum unicuique ostendit. semper enim in ritibus sacris inferior per superiorem invocatur: quare etiam de daemonibus ut loquar, est unus quidem eorum dux qui generationis et mundi princeps est, isque ad unumquemque dimittit daemonem suum postquam autem adest suus unicuique, tunc et congruum sibi cultum nomenque suum docet, modumque quo velit se invocari ostendit.

10 Hae igitur cultus rationes daemonibus conveniunt; una est congrua iis qui invocantur, alia autem ab antiquioribus causis derivatur, tertia communiter ex utraque rite rem exequitur. noli igitur divinas invocationes humanis similes existimare, aut ineffabiles effabilibus comparare, neque eas quae omnem terminum omnemque indeterminatum modum superant humanis imperiis conferre, sive definita sunt haec sive indefinita; nihil enim habent haec nostra commune cum

ὑπερέχουσιν ἡμῶν, καὶ τῆς ὅλης τῆς οὐσίας ἡμῶν καὶ φύσεως ἐπάρχουσιν. ἀλλ' ἐνταῦθα καὶ μάλιστα σφάλματα συμβαίνει τοῖς ἀνθρώποις τὰ μέγιστα, ἡνίκα ἂν ἀπὸ τῆς ἀνθρωπίνης ἀσθενείας συλλογίζωνταί τι περὶ τῶν δαιμονίων ἐπιστασιῶν, καὶ τοῖς μικροῖς καὶ οὐδενὸς ἀξίοις καὶ διῃρημένοις τὰ μεγάλα καὶ ἀξιόλογα καὶ τέλεια τεκμαίρονται. τοσαῦτα καὶ περὶ τοῦ ἰδίου δαίμονος πρός σε ἀποκρινόμεθα πρὸς τοῖς ἔμπροσθεν εἰρημένοις.

Λείπεται δὴ τελευταῖος ὁ περὶ εὐδαιμονίας λόγος, **10, 1**
περὶ οὗ σὺ ποικίλως ἐπεζήτησας, τὰ μὲν πρῶτα ἐπιστάσεις ὑποτείνων ἔπειτα ἀπορῶν καὶ μετὰ ταῦτα διαπυνθανόμενος. θέντες οὖν ἕκαστα τῶν σῶν ᾗπερ αὐτὰ προήγαγες, ἀποκρινούμεθά σοι πρὸς αὐτὰ συμμέτρως. ἐπέστησας γὰρ

1. *τῆς ὅλης*] *τοῖς ὅλης* D. 2. *ὑπάρχουσιν* ABCD. 4. *συλλογίζωνταί*] sic CD, *συλλογίζονταί* O. 6. 7. *τεκμαίροντα* D. 7. *τοιαῦτα* D. ‖ *σε*] sic AC, *σε καὶ* O. 8. *ἀποκρινοίμεθα* O. 10. *ποκίλως* D. 11. *ὑποτίνων* O.

illis, quae toto genere et ordine naturam essentiamque nostram prorsus exsuperant. iam vero hinc maxime errores hominibus ingentes accidunt, quando ex humana infirmitate aliquid de dominationibus daemonicis ratiocinari solent, et ex parvis nihilique faciendis et divisis ingentes venerandasque et perfectas naturas mensurant. atque haec sunt quae tibi de daemone proprio respondemus praeter ea quae supra dicta sunt.

Restat iam ultimus de beatitudine sermo, in quo tu quidem **1**
varie agis, primo enim praetendis obiectiones mox dubitas iterum disquiris. ponemus igitur tua omnia dicta eo ordine quo tu adduxisti, deinde tibi prout decet respondebimus. suspicaris ne forte

μήποτε ἄλλη τις λανθάνῃ οὖσα ἡ πρὸς εὐδαιμονίαν ὁδός, καὶ τίς ἂν γένοιτο ἑτέρα ἀφισταμένη τῶν θεῶν εὔλογος πρὸς αὐτὴν ἄνοδος; εἰ γὰρ ἐν τοῖς θεοῖς ἡ οὐσία τῶν ἀγαθῶν ὅλων καὶ τελειότης περιέχεται, καὶ ἡ πρώτη δύναμις αὐτῶν καὶ ἀρχὴ παρὰ μόνοις ἡμῖν καὶ τοῖς ὁμοίως ἐχομένοις τῶν κρειττόνων, γνησίως τε τῆς πρὸς αὐτοὺς ἑνώσεως ἀντιλαμβανομένοις, ἡ τῶν ἀγαθῶν ὅλων ἀρχὴ καὶ τελευτὴ σπουδαίως ἐπιτηδεύεται· ἐνταῦθα δὴ οὖν καὶ ἡ τῆς ἀληθείας πάρεστι θέα καὶ ἡ τῆς νοερᾶς ἐπιστήμης, καὶ μετὰ τῆς τῶν θεῶν γνώσεως ἡ πρὸς ἑαυτοὺς ἐπιστροφὴ καὶ ἡ γνῶσις ἑαυτῶν συνέπεται.

2 Μάτην οὖν διαπορεῖς ὡς οὐ δεῖ πρὸς δόξας ἀνθρωπίνας βλέπειν. τίς γὰρ σχολὴ τῷ πρὸς τοῖς θεοῖς τὴν διάνοιαν ἔχοντι κάτω βλέπειν εἰς ἀνθρώπων ἐπαίνους; ἀλλ' οὐδὲ τὸ ἐπὶ τούτῳ πρὸς ἔπος ἐπαπορεῖς, ὡς ἡ ψυχὴ ἐκ τοῦ τυχόντος ἀναπλάττει μεγάλα. τίς γὰρ δὴ ἐν τοῖς ὄντως οὖσι πλασμάτων ἀρχὴ συνίσταται; οὐχ ἡ μὲν φαν-

5. καὶ (ante ἀρχὴ) om. D. || ἀρχαία Θ. 7. ὅλως O. 8. ἐπιτεδεύεται O. 9. 10. ἐπιστήμης] τελειότης A. || post ἐπιστήμης Tayl. add. κτῆσις. 12. οὐ δεῖ] οὐδεὶς D. 15. ἔπως D. 17. πλασμάτων] πραγμάτων B. || ἀρχῆς B. || οὐχ ἡ] οὐχὶ D.

alia quaedam ad beatitudinem praeter divinum cultum lateat via, et quae tandem illa sit quae deserens deos ducat ad felicitatem? profecto si in diis bonorum omnium essentia et perfectio habeatur, si prima potestas eorum sit apud nos sacerdotes et apud nostri similes meliorum studiosos veraeque unionis cum iis cupidos, omnium bonorum fons et finis summa cura colitur. certe hic est veritatis et intellectualis cognitionis contemplatio, et simul cum deorum cognitione hinc ad deos conversio et sui ipsius cognitio sequitur.

2 Frustra igitur vereris tu ne forte religiosus ex opinionibus humanis pendeat; quomodo enim tempus vacaret ei, cuius mens haeret in divinorum contemplatione, ad hominum laudes oculos deflectere? sed nec in eo quod sequitur, recte disputas, quasi anima religiosa magnifica forte sibi fingat. quodnam in rebus vere existentibus figmentorum esse possit initium? nonne est phantasiae nostrae fingere

ταστικὴ δύναμις ἐν ἡμῖν ἐστιν εἰδωλοποιός; φαντασία δ' οὐδεμία ἐγείρεται τῆς νοερᾶς ζωῆς τελείως ἐνεργούσης. οὐ παρὰ τοῖς θεοῖς συνυπάρχει ἡ ἀλήθεια κατ' οὐσίαν; ἀλλ' οὐχὶ κατὰ συμφωνίαν ἐνιδρυμένη τοῖς νοητοῖς; εἰκῆ τοίνυν τὰ τοιαῦτα καὶ παρὰ σοὶ καὶ παρ' ἄλλοις τισὶ θρυλεῖται. ἀλλ' οὐδὲ ὅσα ὡς ἀγύρτας καὶ ἀλαζόνας διασύρουσί τινες τοὺς τῶν θεῶν θεραπευτάς, οἷς καὶ σὺ παραπλήσια εἴρηκας, οὐδὲν οὐδὲ ταῦτα ἅπτεται τῆς ἀληθινῆς θεολογίας τε καὶ θεουργίας. εἰ δέ πού τινες παραφύονται τοιοῦτοι παρὰ τὰς τῶν ἀγαθῶν ἐπιστήμας (ὥσπερ καὶ παρὰ τὰς ἄλλας τέχνας αἱ κακοτεχνίαι παραβλαστάνουσιν), ἐναντιώτεραι δήπου αὗται πρὸς αὐτὰς ὑπάρχουσι μᾶλλον ἢ πρὸς ἄλλο ὁτιοῦν· τῷ γὰρ ἀγαθῷ τὸ κακὸν διαμάχεται μᾶλλον ἢ τῷ μὴ ἀγαθῷ.

Βούλομαι δὴ τὸ μετὰ τοῦτο καὶ τὰ ἄλλα ἐπιδρα- 3
μεῖν, ὅσα διαβάλλων τὴν θείαν πρόγνωσιν ἄλλας τινὰς μεθόδους αὐτῇ παραβάλλεις, περὶ τὴν τοῦ μέλλοντος προμήνυσιν διατριβούσας. ἐμοὶ γάρ, οὔτε εἴ τις ἐκ φύ-

1. εἰδολοποιός D. 4. ἐνιδρυμένην O. 7. 8. σὺ παραπλήσια] συμπαραπλήσια O. 9. τε] sic D, om. O. 9—11. καὶ θεουργίας — ὥσπερ] τε καὶ φιλοσοφίας, ἀλλ' ὥσπερ A ceteris omissis, τε, ὥσπερ C ceteris omissis. 13. ἄλλο] ἀλλ' A. 17. παραβάλλης AC.

idola? atqui cum perfecte operatur vita intellectualis, phantasia prorsus conquiescit; nonne penes deos secundum essentiam veritas ipsa una cum illis simul existit? nonne et haec in rebus intelligibilibus secundum convenientiam fundatur? quare frustra tu aliique nonnulli haec divulgatis. quod autem deorum cultores tamquam agyrtas et arrogantes homines nonnulli, quibuscum tu paria paene facis, calumniantur, nihil istoc ferit vel veram religionem vel theurgiam. si qui tales subnascantur surculi in cognitione divinorum (sicut in aliis artibus quibuscunque malae artes suppullulant), artes eiusmodi magis cum veritate pugnant quam cum alia re qualibet. malum enim bono magis quam non bono contrarium est.

Placet iam et illa percurrere quibus videris calumniam facere 3
vaticinationi divinae, alias quasdam artes circa futurorum praedictionem versantes cum ea comparando. si qua enim aptitudo nobis

σεως ἐπιτηδειότης εἰς σημασίαν τοῦ ἐσομένου παραγίνεται, ὥσπερ ἡ τοῖς ζώοις τῶν σεισμῶν ἢ τῶν ἀνέμων ἢ τῶν χειμώνων συμπίπτει πρόγνωσις, τίμιος εἶναι δοκεῖ. κατ' αἰσθήσεως γὰρ ὀξύτητα ἢ κατὰ συμπάθειαν ἢ κατ' ἄλλην τινὰ φυσικῶν δυνάμεων συγκίνησιν ἡ τοιαύτη ἔμφυτος συνέπεται μαντεία, οὐδὲν ἔχουσα σεμνὸν καὶ ὑπερφυές· οὔτε εἴ τις κατὰ λογισμὸν ἀνθρώπινον ἢ τεχνικὴν παρατήρησιν ἀπὸ σημείων τεκμηριοῦται ἐκεῖνα, ὧν ἐστὶ τὰ σημεῖα δηλωτικά (ὡς ἀπὸ συστολῆς ἢ φρίκης τὸν μέλλοντα πυρετὸν προγινώσκουσιν οἱ ἰατροί), οὐδὲν οὐδὲ οὗτός μοι δοκεῖ τίμιον ἔχειν καὶ ἀγαθόν. ἀνθρωπίνως τε γὰρ ἐπιβάλλει καὶ συλλογίζεται τῇ ἡμετέρᾳ διανοίᾳ, περί τε τῶν ἐν τῇ φύσει τοῖς γιγνομένοις ὁμολογουμένως, οὐ πόρρω τῆς σωματοειδοῦς τάξεως ποιεῖται τὴν διάγνωσιν. ὥστε οὐδ' εἰ φυσική τις ἔνεστιν ἐν ἡμῖν ἐπιβολὴ τοῦ μέλλοντος, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἡ δύναμις ἥδε ἐναργῶς ἐνεργοῦσα διαφαίνεται, οὐδὲν οὐδὲ αὕτη μακαριστὸν τῷ ὄντι κέκτηται· τί γὰρ ἂν εἴη γνήσιον καὶ τέ-

1. ante *εἰς* A add. *τῷ*. 3. *χειμόνων* O. ‖ *τίμως* D. 6. *ματεία* D. 11. *ἀγαθών* D. 12. *γὰρ*] *γὰρ καὶ* D. 13. *ὁμολογουμένοις* D. 17. *ἐναργοῦσα* O. ‖ *οὐδὲν οὐδὲ*] sic ACD, *οὐδὲν δὲ* O.

naturaliter insit ad futuri praesagium, quemadmodum animalibus terrae motuum ventorum et tempestatum inest praecognitio, mihi quidem nihil venerabile videtur habere. nam secundum sensus acumen vel compassionem vel alium quendam consensum virium naturalium eiusmodi praesagium naturale sequitur, nihil habens venerabile neque supernaturale; neque si quis ex rationis discursu vel artificiosis observationibus signorum ea coniectet quae per signa praemonstrantur (quemadmodum medici febrem praevidere solent ex systole pulsus et rigore), videtur mihi istiusmodi praescientia plurimi facienda; nam humano modo coniectat et ex ratione nostra tantum concludit, deque rebus naturalibus, quae factis congruunt, non autem extra ordinem rerum naturalium crisin facit. quare si sit in nobis vis quaedam naturalis coniectandi, qualis est illa in ceteris omnibus manifesto se prodens, nihil revera habet illa praecipuum; quidnam

λειον καὶ ἀίδιον ἀγαθὸν τῶν ὑπὸ τῆς φύσεως τῆς ἐν γενέσει εἰς ἡμᾶς ἐμφυομένων;

4 Μόνη τοίνυν ἡ θεία μαντικὴ συναπτομένη τοῖς θεοῖς ὡς ἀληθῶς ἡμῖν τῆς θείας ζωῆς μεταδίδωσι, τῆς τε προγνώσεως καὶ τῶν θείων νοήσεων μετέχουσα καὶ ἡμᾶς θείους ὡς ἀληθῶς ἀπεργάζεται· ἡ δὲ αὐτὴ καὶ τὸ ἀγαθὸν ἡμῖν γνησίως παρέχει, διότι πεπλήρωται τῶν ἀγαθῶν ὅλων ἡ μακαριωτάτη τῶν θεῶν νόησις· οὐ τοίνυν προορῶσι μέν, ὡς σὺ τοπάζεις, οἱ ταύτην ἔχοντες τὴν μαντικήν, οὐ μήν εἰσιν εὐδαίμονες· ἀγαθοειδὴς γάρ ἐστι πᾶσα ἡ θεία πρόγνωσις, οὐδὲ προορῶσι μὲν τὰ μέλλοντα, χρῆσθαι δὲ αὐτοῖς καλῶς οὐκ ἐπίστανται· ἀλλ' αὐτὸ τὸ καλὸν καὶ τὴν τάξιν τὴν ἀληθῆ καὶ πρέπουσαν μετὰ τῆς προγνώσεως παραδέχονται· πάρεστι δ' αὐτῇ καὶ τὸ ὠφέλιμον. οἱ γὰρ θεοὶ καὶ δύναμιν τοῦ φυλάξασθαι τὰ ἐπιόντα ἀπὸ τῆς φύσεως δεινὰ παραδιδόασι· καὶ ὅταν μὲν ἀσκεῖν δέῃ τὴν ἀρετὴν καὶ συμβάλληται πρὸς τοῦτο ἡ τοῦ μέλλοντος ἀδηλία, ἀποκρύπτουσι τὰ ἐσόμενα ἕνεκα τοῦ τὴν ψυχὴν βελτίονα ἀπεργάζεσθαι. ὅταν δὲ πρὸς

8. μακαριοτάτη D. 15. 16. τὰ ἐπιόντα om. D. 17. δέῃ] δεῖ O. || συμβάλλεται O. 19. τοῦ] τῆς B.

enim perfectum et naturale et aeternum bonum sperari potest ex iis rebus quae nobis obveniunt per naturam in genesi positam?

4 Sola igitur divina vaticinatio ab ipsis diis pendens nos vere participes facit vitae divinae; cumque ipsa possideat praescientiam et divinas notiones nos quoque eadem divinitate beat; ipsa quoque bonum pure nobis exhibet; est enim beatifica deorum cognitio omnibus bonis plena. nec tamen praevident futura, ut tu coniicis, qui hac praediti sunt vaticinatione, et tamen sunt interim ipsi infelices; nam omnis divina praescientia est formaliter bona, neque futura possunt praevidere, iisque recte uti nesciunt: una enim cum divina praenotione bonum et ordinem verissimum convenientissimumque hauriunt, et praeterea simul utilitatem. dii namque una cum vaticinatione facultatem quoque ad cavenda incommoda nobis naturaliter impendentia suggerunt. et quoties virtutem oporteat exercere atque ad id conferat ignoratio futurorum, occultant ipsi futura ut animus

τοῦτο μηδὲν διαφέρῃ, λυσιτελεῖ δὲ ταῖς ψυχαῖς τὸ προγινώσκειν, ἕνεκα τοῦ σώζειν αὐτὰς καὶ ἀνάγειν, τὴν ἐν ταῖς μαντείαις πρόγνωσιν ἐν μέσαις αὐτῶν ταῖς οὐσίαις ἐντιθέασιν.

Ἀλλὰ τί ταῦτα ἀπομηκύνω; διὰ πολλῶν ἐν τοῖς ἔμπροσθεν τὸ τῆς θείας μαντικῆς πρὸς τὴν ἀνθρωπίνην ἐπιδείξας ὑπερέχον· βέλτιον οὖν, ὅπερ ἀπαιτεῖς παρ' ἡμῶν, τὴν εἰς εὐδαιμονίαν ὁδὸν ἐπιδεῖξαί σοι, καὶ ἐν τίνι κεῖται ἡ αὐτῆς οὐσία· ἀπὸ γὰρ τούτου τό τε ἀληθὲς εὑρίσκεται καὶ ἅμα τὰς ἀπορίας πάσας ἔνεστι διαλύειν ῥᾳδίως. λέγω τοίνυν, ὡς ὁ θεατὸς νοούμενος ἄνθρωπος, ἡνωμένος τῷ πρόσθεν τῇ θέᾳ τῶν θεῶν, ἐπεισῆλθεν ἑτέρᾳ ψυχῇ τῇ περὶ τὸ ἀνθρώπινον μορφῆς εἶδος συνηρμοσμένῃ, καὶ διὰ τοῦτο ἐν τῷ τῆς ἀνάγκης καὶ εἱμαρμένης ἐγένετο δεσμῷ.

Σκοπεῖν δὴ δεῖ τίς αὐτοῦ γίνεται λύσις καὶ ἀπαλλαγὴ τῶν δεσμῶν. ἔστι τοίνυν οὐκ ἄλλη τις ἢ τῶν θεῶν γνῶσις· ἰδέα γάρ ἐστιν εὐδαιμονίας τὸ ἐπίστασθαι τὸ ἀγαθόν, ὥσπερ τῶν κακῶν ἰδέα συμβαίνει ἡ λήθη τῶν

3. ταῖς (alterum) om. O. 8. τὴν εἰς] εἰς τὴν D, τὴν C.
9. τό τε] sic AC, τό τε τὸ O. 10. τὰς] τῆς AC, καὶ D.
11. θεατὸς] sic A, θεητὸς Gale not., θεωτὸς O, θεώτερος Tayl.
12. θέᾳ] θεία D. 14. δεσμῶν B. 16. οὐκ om. C.

inde melior fiat; quando vero ad hoc nihil interest, expedit vero animis praescire, ut salvi ad sublimia revertantur, tunc cognitionem vaticinatricem mediis animarum essentiis inserunt.

Sed quid pluribus? cum fuse ostenderim in prioribus quantum divina vaticinatio humana sit superior. praestat, quod nos rogas, ostendere tibi viam ad beatitudinem, et in quo eius sit posita ratio et essentia. hinc enim cum veritas ipsa invenitur tum omnes dubitationes facile diluuntur. dico igitur: homo ille contemplabilis et intelligibilis olim cum esset deorum visioni coniunctus, postea aliam subingressus est animam illam quae humanam formae speciem concomitatur, et propterea venit sub fati et necessitatis iugum.

Considerare igitur oportet qua tandem ratione ab his vinculis solvi et liberari possit. praeter deorum autem cognitionem alia ratio nulla est. idea quippe felicitatis est ipsum cognoscere bonum, quem-

ἀγαθῶν καὶ ἀπάτη περὶ τὸ κακόν· ἡ μὲν οὖν τῷ θείῳ σύνεστιν, ἡ δὲ χείρων μοῖρα ἀχώριστός ἐστι τοῦ θνητοῦ· καὶ ἡ μὲν τὰς τῶν νοητῶν οὐσίας ἱερατικαῖς ὁδοῖς ἀναμετρεῖ, ἡ δὲ παρακρουσθεῖσα τῶν ἀρχῶν προΐησιν ἑαυτὴν ἐπὶ τὴν καταμέτρησιν τῆς τοῦ σώματος ἰδέας· καὶ ἡ μὲν γνῶσίς ἐστι τοῦ πατρός, ἡ δὲ παραγωγὴ ἀπ' αὐτοῦ καὶ λήθη τοῦ προουσίου αὐταρκοῦντος πατρὸς θεοῦ· καὶ ἡ μὲν σώζει τὴν ἀληθινὴν ζωὴν ἐπὶ τὸν πατέρα αὐτῆς ἀνάγουσα, ἡ δὲ κατάγει τὸν γεναρχοῦντα ἄνθρωπον ἄχρι τοῦ μηδέποτε μένοντος ἀλλ' ἀεὶ ῥέοντος. αὕτη μὲν οὖν νοείσθω σοι πρώτη τῆς εὐδαιμονίας ὁδός, νοερὰν ἔχουσα τῆς θείας ἑνώσεως ἀποπλήρωσιν τῶν ψυχῶν, ἡ δ' ἱερατικὴ καὶ θεουργικὴ τῆς εὐδαιμονίας δόσις καλεῖται μὲν θύρα πρός θεὸν τὸν δημιουργὸν τῶν ὅλων, ἢ τόπος ἢ αὐλὴ τοῦ ἀγαθοῦ· δύναμιν δ' ἔχει πρώτην μὲν ἁγνείαν τῆς ψυχῆς πολὺ τελειοτέραν τῆς τοῦ σώματος ἁγνείας,

2. χειρῶν] χωρίων D. 3. νοητῶν] sic A, θνητῶν O. 4. πρόησιν B. 6. ἀπ' αὐτοῦ om. D. 7. προσσίου Reg. || αὐταρχοῦντος C. || πατρὸς] πρὸς D. 11. πρώτη τῆς] sic A, πρὸ τῆς B, πρώτη O. || ὁδός om. D. 14. θεὸν] τε O. || τὸν om. D. 15. αὐλὴ] αὐτὴ D. || ἁγνείας O. 16. τῆς post τελειοτέραν om. AC.

admodum est malorum idea, ipsa bonorum oblivio et circa malum error. cognitio autem illa divinitati affixa manet, haec deterior sors a rebus mortalibus avelli non potest; illa intelligibilium essentias per sanctimoniae vias pervestigat, haec a principiis errans demittit se ad corporales ideas contemplandas; illa est ipsius patris cognitio, haec autem est discessus una cum oblivione ab ipso deo patre, qui est superessentialis et sibi- sufficiens; veram illa vitam servat quoniam ad sui patrem restituit, haec autem hominem qui genesi esse posset superior usque ad id detrudit, quod permanet quidem nusquam perpetuoque in fluxu versatur. haec itaque intelligatur prima felicitatis via, intellectualem habens unionis divinae penes animas plenitudinem, sacra vero et deifica felicitatis traditio appellatur quidem porta ad ipsum omnium opificem deum, aut sedes et boni regio: et primam quidem qualitatem requirit animae sanctitatem omni

ἔπειτα κατάρτυσιν τῆς διανοίας εἰς μετουσίαν καὶ θέαν τοῦ ἀγαθοῦ καὶ τῶν ἐναντίων πάντων ἀπαλλαγήν, μετὰ δὲ ταῦτα πρὸς τοὺς τῶν ἀγαθῶν δοτῆρας θεοὺς ἕνωσιν.

6 Ἐπειδὰν δὲ κατ' ἰδίαν ταῖς μοίραις τοῦ παντὸς συνάψῃ καὶ ταῖς διηκούσαις δι' αὐτῶν ὅλαις θείαις δυνάμεσι, τότε τῷ ὅλῳ δημιουργῷ τὴν ψυχὴν προσάγει καὶ παρακατατίθεται, καὶ ἐκτὸς πάσης ὕλης αὐτὴν ποιεῖ μόνῳ τῷ ἀιδίῳ λόγῳ συνηνωμένην· οἷον ὃ λέγω τῇ αὐτογόνῳ καὶ τῇ αὐτοκινήτῳ καὶ τῇ ἀνεχούσῃ πάντα καὶ τῇ νοερᾷ καὶ τῇ διακοσμητικῇ τῶν ὅλων καὶ τῇ πρὸς ἀλήθειαν τὴν νοητὴν ἀναγωγικῇ καὶ τῇ αὐτοτελεῖ καὶ τῇ ποιητικῇ καὶ ταῖς ἄλλαις δημιουργικαῖς δυνάμεσι τοῦ θεοῦ κατ' ἰδίαν συνάπτει, ὡς ἐν ταῖς ἐνεργείαις αὐτῶν καὶ ταῖς νοήσεσι καὶ ταῖς δημιουργικαῖς τελέως ἵστασθαι τὴν θεουργικὴν ψυχήν. καὶ τότε δὴ ἐν ὅλῳ τῷ δημιουργικῷ θεῷ τὴν ψυχὴν ἐντίθησι. καὶ τοῦτο τέλος ἐστὶ τῆς παρ' Αἰγυπτίοις ἱερατικῆς ἀναγωγῆς.

1. κατάρτησιν O. 2. πάντως A. 4. 5. συνάψῃ] συνάγει D. 7. τῷ om. C. 6 7. προκατατίθεται B, παρακατίθεται D. 8. συνενωμένην O. 9. τῇ ante αὐτοκινήτῳ] sic ACD, om. O. 10. τῇ πρὸς] τὴν πρὸς D. ‖ τὴν] sic AC, αὐτὴν O. 11. ἀναγωγικῇ] sic Gale not.; ἀναγωγῇ O. 13. ἐνεργίαις D. ‖ ante τελέως excidisse videtur δυνάμεσι. Gale not. 16. τῆς] τοῖς AC, ταῖς B.

corporea puriorem, deinde praeparat animam ad participationem et boni contemplationem simulque ad contrariorum reiectionem, post haec ad unionem cum diis bonorum omnium fontibus.

6 Postquam autem tum mundi partibus singulis tum etiam divinis potestatibus per partes mundi diffusis animam conciliaverit, tunc animam opifici universali sistit et apud eum deponit, liberatamque ab omni materia cum solo aeterno verbo connectit. planius dicam: theurgia ipsi dei potestati per se genitae per se mobili, omnia sustentanti, intellectuali, omnia exornanti, ad veritatem intelligibilem revocanti, perfectae et perficienti, potestatibusque ceteris dei opificibus gradatim pro cuiusque proprietatibus ita coaptat, ut in actionibus earum intelligentiisque architecticis anima sacris peractis perfecte confirmetur; et tum demum in toto demiurgo deo animam collocat. et hic finis est sacrae apud Aegyptios anageges.

7 *Αὐτὸ δὲ τἀγαθὸν τὸ μὲν θεῖον ἡγοῦνται τὸν προεννοούμενον θεόν, τὸ δὲ ἀνθρώπινον τὴν πρὸς αὐτὸν ἕνωσιν, ὅπερ Βίτυς ἐκ τῶν Ἑρμαϊκῶν βίβλων μεθηρμήνευσεν. οὐκ ἄρα παρεῖται τοῦτο τὸ μέρος τοῖς Αἰγυπτίοις, ὃ σὺ ὑπονοεῖς, ἀλλὰ θεοπρεπῶς παρεδόθη· οὐδὲ περὶ σμικρῶν οἱ θεουργοὶ τὸν θεῖον νοῦν ἐνοχλοῦσιν, ἀλλὰ περὶ τῶν εἰς ψυχῆς κάθαρσιν καὶ ἀπόλυσιν καὶ σωτηρίαν ἀνηκόντων· οὐδὲ χαλεπὰ μὲν διαμελετῶσιν οὗτοι, ἄχρηστα δὲ τοῖς ἀνθρώποις, ἀλλὰ τοὐναντίον τὰ τῇ ψυχῇ πάντων ὠφελιμώτατα· οὐδ' ὑπὸ πλάνου τινὸς φεναχίζονται δαίμονος οἱ ἐν πᾶσι τὴν ἀπατηλὴν καὶ δαιμονίαν φύσιν ἐπικρατήσαντες, ἐπὶ δὲ τὴν νοητὴν καὶ θείαν ἀναχθέντες.*

8 *Τοσαῦτά σοι καθ' ἡμετέραν δύναμιν ἀπεκρινάμεθα περὶ ὧν ἠπόρησας περὶ τῆς θείας μαντικῆς τε καὶ θεουργίας. εὔχομαι δὴ οὖν τὸ λοιπὸν τοῖς θεοῖς ἐπὶ τῷ τέλει τῶν λόγων, τῶν ἀληθῶν νοημάτων ἐμοί τε καὶ σοὶ παρ-*

2. δὲ om. D. 3. Βίτυς] Bytis, Ficinus. || βιβλίων D. 4. παρεῖται] προεῖται D. 7. ψυχὴν D. 10. 11. φαιναχίζονται A. 11. οἱ ἐν] sic AC, οἱ O. 12—13. ἐπὶ — ἀναχθέντες om. B. 12. 13. ἀνενεχθέντες ACD. 15. τε] sic A, τῆς D, om. O.

Ipsum autem bonum divinum censent esse deum ante omnem 7
intellectum, bonum autem humanum cum deo unionem; et hoc quidem Bitys ex scriptis Hermetis interpretatus est. non igitur, quod tu arbitratus es, omittitur haec pars ab Aegyptiis, sed divino plane modo nobis tradita est. nec de rebus exiguis sacerdotes divinam mentem interpellant, sed de iis rebus quae spectant ad animae purgationem solutionem salutem. sed neque difficilia isti meditantur, hominibusque interim inutilia, sed contra res animae omnium utilissimas. neque subdolo et seductore aliquo daemone in errores impelluntur qui omnibus in rebus fallacem daemonicamque naturam longe excedunt, et ad intelligibilem divinamque ascendunt.

Atque haec tibi respondimus ad ea quae quaesivisti super di- 8
vina vaticinatione et theurgia: quod reliquum est in calce sermonis deos comprecor, mihi tibique dare velint ut firmiter custodiamus

ἔχειν τὴν φυλακὴν ἀμετάπτωτον, εἴς τε τὸν ἀίδιον αἰῶνα δι' αἰωνίων ἀλήθειαν ἐντιθέναι, καὶ τελειοτέρων νοήσεων περὶ θεῶν χορηγεῖν μετουσίαν, ἐν αἷς δὴ τὸ μακάριστον τέλος τῶν ἀγαθῶν ἡμῖν πρόκειται καὶ αὐτὸ τὸ κῦρος τῆς ὁμονοητικῆς φιλίας τῆς πρὸς ἀλλήλους.

1. τε om. D. 2. διὰ τῶν αἰωνίων Gale not. 3. χωρηγεῖν D. || δὴ] δὴ καὶ C.

quae vere intelligimus, insinuentque nobis per sempiterna saecula veritatem, praestentque adhuc perfectiores de diis notiones, in quibus omnium bonorum beatissima possessio nobis reponitur et denique inter nos unanimitatis et amicitiae confirmatio.



Index.

